Eulogikon
Ancient Greek Texts — Free & Open source

eul_wid: oag-aa

*Ἀπολλωνίου τοῦ Ῥοδίου Σχόλια* · Apollonius of Rhodes Scholia

# Scholia-Apollonius Rhodius's Argonautica

*Σχόλια εἰς Ἀργοναυτικά Ἀπολλωνίου*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

1 (1t) PROLEGOMENA A a. Γένος Ἀπολλωνίου τοῦ ποιητοῦ τῶν Ἀργοναυτικῶν Ἀπολλώνιος ὁ τῶν Ἀργοναυτικῶν ποιητὴς τὸ μὲν γένος ἦν Ἀλεξανδρεὺς φυλῆς Πτολεμαΐδος, υἱὸς δὲ Σιλλέως, ὡς δέ τινες Ἰλλέως. ἐγένετο δὲ ἐπὶ τοῦ 〈τρίτου〉 Πτολεμαίου, Καλλιμάχου μαθητής. τὸ μὲν πρῶτον συνὼν Καλλιμάχῳ τῷ ἰδίῳ διδασκάλῳ 〈...〉 ὀψὲ δὲ ἐπὶ τὸ ποιεῖν ποιήματα ἐτράπετο. τοῦτον λέγεται ἔτι ἔφηβον ὄντα ἐπιδείξασθαι τὰ Ἀργοναυτικὰ καὶ κατεγνῶσθαι, μὴ φέροντα δὲ τὴν αἰσχύνην τῶν πολιτῶν καὶ τὸ ὄνειδος καὶ τὴν διαβολὴν τῶν ἄλλων ποιητῶν, καταλιπεῖν τὴν πατρίδα καὶ κατεληλυθέναι εἰς Ῥόδον, κἀκεῖ αὐτὰ ἐπιξέσαι καὶ ὀρθῶσαι καὶ οὕτως ἐπιδείξασθαι καὶ ὑπερευδοκιμῆσαι· διὸ καὶ Ῥόδιον ἑαυτὸν ἐν τοῖς ποιήμασιν ἀναγράφει.

2 ἐπαίδευσε δὲ λαμπρῶς ἐν αὐτῇ καὶ τῆς Ῥοδίων πολιτείας καὶ τιμῆς ἠξιώθη. LGP b. Ἀπολλωνίου βίος Ἀπολλώνιος ὁ ποιητὴς τὸ μὲν γένος ἦν Ἀλεξανδρεύς, πατρὸς δὲ Σιλλέως ἤτοι Ἰλλέως, μητρὸς δὲ Ῥόδης. οὗτος ἐμαθήτευσε Καλλιμάχῳ ἐν Ἀλεξανδρείᾳ ὄντι γραμματικῷ, καὶ συντάξας ταῦτα τὰ ποιήματα ἐπεδείξατο. σφόδρα δὲ ἀποτυχὼν καὶ ἐρυθριάσας παρεγένετο ἐν τῇ Ῥόδῳ κἀκεῖ ἐπολιτεύσατο καὶ σοφιστεύει ῥητορικοὺς λόγους, ὅθεν αὐτὸν καὶ Ῥόδιον ἀποκαλεῖν βούλονται. ἐνταῦθα τοίνυν διάγων καὶ ἐπιξέσας αὐτοῦ τὰ ποιήματα, εἶτα ἐπιδειξάμενος σφόδρα εὐδοκίμησεν, ὡς καὶ τῆς Ῥοδίων ἀξιωθῆναι πολιτείας καὶ τιμῆς. τινὲς δέ φασιν, ὅτι ἐπανῆλθεν ἐν Ἀλεξανδρείᾳ καὶ αὖθις ἐκεῖσε ἐπιδειξάμενος εἰς ἄκρον εὐδοκίμησεν, ὡς καὶ τῶν βιβλιοθηκῶν 〈καὶ〉 τοῦ Μουσείου ἀξιωθῆναι αὐτὸν καὶ ταφῆναι δὲ σὺν αὐτῷ τῷ Καλλιμάχῳ. LGP B a. Καὶ τὰ μὲν τοῦ γένους ταῦτα· ἡ δὲ ὑπόθεσις τῶν Ἀργοναυτικῶν Ἀπολλωνίου τοῦτον ἔχει τὸν τρόπον. Τυρὼ ἡ Σαλμωνέως καὶ Ἀλκιδίκης θυγάτηρ ἐποίησεν ἐκ τοῦ Ποσειδῶνος Νηλέα καὶ Πελίαν. εἶτα γαμεῖ Κρηθέα τὸν Αἰόλου παῖδα καὶ ποιεῖ ἐξ αὐτοῦ Αἴσονα, Φέρητα, Ἀμυθάονα. καὶ γίνεται ἐκ μὲν Αἴσονος Ἰάσων, ἐκ δὲ Φέρητος Ἄδμητος, ἀπὸ δὲ Ἀμυθάονος Μελάμπους. καὶ ὁ μὲν Ἰάσων ἐκδίδοται Χείρωνι τρέφεσθαι καὶ τὴν ἰατρικὴν μανθάνειν, Αἴσονος τοῦ πατρὸς αὐτοῦ τὴν βασιλείαν τὴν ἰδίαν τῷ ἀδελφῷ Πελίᾳ καταλιπόντος καὶ ἄρχειν καὶ κρατεῖν τῆς Θεσσαλίας κελεύσαντος, ἕως οὗ ὑποστρέψει Ἰάσων ἀπὸ Χείρωνος.

3 χρησμὸν δὲ ἦν εἰληφὼς παρὰ τοῦ Ἀπόλλωνος ὁ Πελίας φυλάττεσθαι τὸν ἐπιόντα πρὸς αὐτὸν μονοπέδιλον· τεθνήξεται γὰρ δι' αὐτοῦ. ὁ δὲ Ἰάσων αὐξηθεὶς ἔρχεται πρὸς τοὺς ἀδελφοὺς τοῦ πατρός, μεθέξων καὶ αὐτὸς τῆς τοῦ πατρὸς βασιλείας. γενόμενος δὲ ἐν τῷ Ἀναύρῳ τῷ ποταμῷ —ἔστι δὲ οὗτος Θεσσαλίας— καὶ βουλόμενος παρελθεῖν, εὑρίσκει ἐπὶ τῆς ὄχθης τὴν Ἥραν γραΐ

ὁμοιωθεῖσαν, βουλομένην μὲν διαπερᾶσαι, φοβουμένην δέ, καὶ ἑστῶσαν, φησίν (III 72), ὡς γραῦν. εἶτα τοῦτο γνοὺς ὁ Ἰάσων λαβὼν ἐπὶ τῶν ὤμων διασώζει, κατὰ μέσον τοῦ ποταμοῦ τὸ ἓν πέδιλον καταλιπὼν ἐπὶ τοῦ πηλοῦ. εἶτα ἀπέρχεται ἐπὶ τὴν πόλιν μονοπέδιλος καὶ εὑρίσκει πανήγυριν δημοσίαν καὶ θυσίαν ἀγομένην τοῖς θεοῖς παρὰ Πελίου. θεασάμενος οὖν τὸν Ἰάσονα μονοπέδιλον ὁ Πελίας ὑπομιμνήσκεται τοῦ χρησμοῦ. εὐλαβούμενος δὲ αὐτὸν ἀνελεῖν ἆθλον αὐτῷ προστάσσει τοιοῦτον, εἰπὼν ὅτι ἀπελθὼν εἰς τὴν Σκυθίαν τὸ χρυσόμαλλον δέρας κόμισον καὶ λαμβάνεις τὴν βασιλείαν τοῦ σοῦ πατρός. τοῦτο δὲ προσέταττεν, οὐχ ὡς τοῦ κωδίου τοῦ χρυσοῦ δεόμενος, ἀλλ᾽ οἰόμενος αὐτὸν ἐν τῇ ἀλλοδαπῇ ἀναιρεῖσθαι ὑπό τινος ἢ ἐν τῇ θαλάσσῃ ναυαγήσοντα. LGP b. τὸ δὲ κατὰ τὸ χρυσόμαλλον δέρας ταύτην ἔχει τὴν ὑπόθεσιν. Ἀθάμας, υἱὸς Αἰόλου, ἀδελφὸς Κρηθέως, ὡς αὐτός φησιν Ἀπολλώνιος (III 360) ‘ἄμφω γὰρ Κρηθεὺς Ἀθάμας τ᾽ ἔσαν Αἰόλου υἷεσ‘, ποιεῖ ἐκ Νεφέλης δύο παῖδας Φρίξον καὶ Ἕλλην. τελευτησάσης δὲ ταύτης γαμεῖ δευτέραν γυναῖκα τὴν Ἰνώ. αὕτη ὡς μητρυιὰ ἐπεβούλευε τοῖς παιδίοις τοῖς ἐκ τῆς προτέρας γυναικὸς καὶ φρύττουσα τὰ σπέρματα παρεῖχε τοῖς γεωργοῖς πρὸς σπόρον. οἱ δὲ ἔσπειρον μὲν ἐν τῇ γῇ, ἡ δὲ γῆ λαβοῦσα οὐκ ἔφερεν τοὺς καρποὺς τοὺς ἐτησίους διὰ τὸ πεφρύχθαι αὐτὰ καὶ οὕτως σπαρῆναι.

4 λοιπὸν Ἀθάμας τοὺς μάντεις συναγαγὼν ὡς βασιλεὺς ἐπερωτᾷ τὴν αἰτίαν βουλόμενος μαθεῖν. ἡ δὲ πέμπει πρὸς αὐτούς, δῶρα ἐπαγγελλομένη διδόναι πολλά, ὥστε εἰπεῖν, εἰ μὴ πρότερον τὰ παιδία τὰ ἐκ τῆς Νεφέλης τῆς προτέρας γυναικὸς Ἀθάμαντος ἀναιρεθείη, οὐκ ἂν φύσειεν ἡ γῆ τοὺς καρπούς. πεισθέντες οἱ μάντεις λέγουσι ταῦτα ὑποστρέψαντες τῷ Ἀθάμαντι. μελλόντων δὲ τῶν παίδων Νεφέλης, Φρίξου καὶ Ἕλλης, φονεύεσθαι κατῆλθε κριός. εἶτα ἐπὶ τῶν νώτων λαβὼν εἴσεισιν εἰς τὴν θάλασσαν καὶ οὕτως ἄρχεται κολυμβᾶν. ἐλθὼν δὲ περὶ τὸ Τρωικὸν πέλαγος ἀποβάλλει τὴν Ἕλλην, ὅθεν καὶ ἀπ᾽ αὐτῆς Ἑλλήσποντος ὠνομάσθη, τὸν δὲ Φρίξον ἐπὶ τὴν Σκυθίαν διακομίζει. ἔνθα αὐτὸς σφάζει μὲν τὸν κριὸν καὶ θύει Διὶ Φυξίῳ, ὅτι ἐξέφυγε τὴν ἐπιβουλὴν τῆς μητρυιᾶς· γαμεῖ δὲ Χαλκιόπην θυγατέρα Αἰήτου τοῦ Σκυθῶν βασιλέως καὶ ποιεῖ ἐξ αὐτῆς παῖδας τέσσαρας Ἄργον, Κυτίσωρον, Μέλανα, Φρόντιν, καὶ οὕτως ἐκεῖσε τελευτᾷ. LGP C Ὅσοι ἔρχονται Ἀργοναῦται εἰς τὴν ναῦν μετὰ Ἰάσονος Ὀρφεὺς Οἰάγρου παῖς Θρᾷξ Ἀστερίων Κομήτου Πολύφημος Ἐλάτου Ἴφικλος Φυλάκου Ἄδμητος Φέρητος Εὔρυτος Ἑρμοῦ Ἐχίων Ἑρμοῦ Γνωτὸς Αἰθάλου Κόρωνος Καινέως Μόψος Ἀμφιλόχου Εὐρυδάμας Κτιμένου Μενοίτιος Ἄκτορος Εὐρυτίων Τελέοντος Εὐρυβώτης Οἰλεύς Κάνθος Κανήθου Κλυτίος Εὐρύτου Ἴφιτος Εὐρύτου Τελαμὼν Αἰακοῦ Πηλεὺς Αἰακοῦ Βούτης Τελέοντος Φάληρος Ἄλκωνος Θησεὺς Αἰγέως Τῖφυς Ἁγνίου Φλίας Διονύσου Ταλαὸς Βίαντος Ἀρήιος Βίαντος Λεώδοκος Βίαντος Ἡρακλῆς Διός Ὕλας Θειοδάμαντος Ναύπλιος Κλυτονήου ἢ Ποσειδῶνος Ἴδμων Ἀπόλλωνος Πολυδεύκης Διός Κάστωρ Διός Λυγκεὺς Ἀφαρέως Ἴδας Ἀφαρέως Περικλύμενος Νηλέως Ἀμφιδάμας Ἀλεοῦ Κηφεὺς Ἀλεοῦ Ἀγκαῖος Λυκούργου Αὐγείας Ἡλίου Ἀστέριος Ὑπερασίου Ἀμφίων Ὑπερασίου Εὔφημος Ποσειδῶνος Ἐργῖνος Ποσειδῶνος Ἀγκαῖος Ποσειδῶνος Μελέαγρος Οἰνέως Λαοκόων Πορθέως Παλαιμόνιος Ἡφαίστου Ἴφικλος Θεστίου Ἴφιτος Ναυβόλου Ζήτης Βορέου Κάλαϊς Βορέου Ἄκαστος Πελίου Ἄργος Διός Ἰάσων Αἴσονος.

6,col2 LG A 1—4a Ἀρχόμενο ς: ἀπὸ περιεκτικοῦ ῥήματος ἡ μετοχὴ ἐσχημάτισται.

7 (1t) περιεκτικὰ δέ εἰσιν, ὅσα 〈καὶ〉 δρᾶσιν καὶ πάθος ἐμφαίνουσιν, οἷον βιάζομαι, δωροῦμαι, σφαγιάζομαι. οὕτω καὶ τὸ ἄρχομαι τὸ μέν τι σημαίνει ‘ἀπὸ σοῦ τὴν ἀρχὴν ποιοῦμαι‘—ἔθος γὰρ ἀπὸ θεῶν προοιμιάζεσθαι· ‘ἐκ Διὸς ἀρχώμεσθα‘ (Arat. Phaen. i; Theocr. XVII i)—, τὸ δέ τι σημαίνει ‘ἀρχαιρεσιαζόμενος ὑπὸ σοῦ‘ οἷον ἐνθουσιῶν. παραπλησίως γὰρ τοὺς ποιητὰς τοῖς μαινομένοις ἐνθουσιᾶν 〈λέγεται〉. κέχρηται δὲ ἐπὶ τοῦ ἀρχόμενος παρατατικοῦ μετοχῇ, ἀντὶ τοῦ ἀρξάμενος. b ὁ λόγος· ἀρχαιρεσιασθεὶς ὑπὸ σοῦ, Ἄπολλον, τὸ κλέος τῶν ἡρώων εἰς μνήμην ἄξω τῶν κατὰ τὸν Πελίαν 〈...〉. L m P c παλαιγενέω ν: διαφέρει τὸ παλαιὸν τοῦ ἀρχαίου. τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν γὰρ παλαιὸν καὶ ἀρχαῖον, τὸ δὲ ἀρχαῖον οὐκ ἔστι παλαιόν. τὸ γὰρ ἀρχαῖον ἀναφέρει 〈εἰσ〉 τὸ ἀρχῆς ἔχεσθαι. d ἐύζυγο ν: εὐκάθεδρον. L g P e ἤλασαν Ἀργ ώ: ὁ μὲν Ἀπολλώνιος καλεῖ τὴν Ἀργὼ ἀπὸ Ἄργου τοῦ κατασκευάσαντος, Φερεκύδης (3 fg 106 J.) δὲ ἀπὸ Ἄργου τοῦ Φρίξου υἱοῦ.

8 ταύτην δὲ λέγουσι πρώτην ναῦν γεγενῆσθαι. ἄλλοι δὲ λέγουσιν, 〈ὅτι〉 Δαναὸς διωκόμενος ὑπὸ Αἰγύπτου 〈τὴν〉 πρώτην κατεσκεύασε, ὅθεν καὶ Δαναῒς ἐκλήθη. 5a τοίην γὰρ Πελ 〈ίησ〉 : τὸ τοίην τίθεται καὶ ἀνταποδοτικῶς, καθ’ ὁμοίωσιν, πρὸς τὰς παραβολάς· ‘οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν‘ (Z 146)· καὶ ἀναφορικῶς· ‘ἀλλὰ καὶ ὣς τοίη περ ἐοῦσα‘ (Γ 159). νῦν δὲ δύναται μὲν ἐπὶ θαυμασμοῦ κεῖσθαι τοῦ κατὰ προαίρεσιν λόγου, δύναται 〈δὲ〉 καὶ κατὰ ἀναφορὰν πρὸς τὰ ἐπιφερόμενα. b φάτις δὲ καὶ φήμη ἐπειδὰν ἐπὶ μέλλοντος λέγωνται, πρόρρησίν τινα σημαίνουσιν. P 7 〈 δημόθε ν:〉 ἐκ τοῦ δήμου Ἰωλκίων. L g 9 〈 Ἀναύρο υ:〉 Ἄναυρον λέγει τὸν χείμαρρον ποταμόν, ἐπειδὴ οἱ ἐξ ὑετῶν συνιστάμενοι οὕτω καλοῦνται. 11 προχοῇσ ι: τῶν ποταμῶν οἱ συμβάλλοντες τόποι τῇ θαλάσσῃ προχοαὶ λέγονται, ὡς Ὅμηρος (P 263): ‘ὡς δ’ ὅτ’ ἐπὶ προχοῇσι διιπετέος.‘ 14 Ἥρης δὲ Πελασγίδ〈οσ〉 : Ὁμηρικῶς τὴν Ἥραν Πελασγίδα εἶπεν, ἐκ τῆς Θεσσαλικῆς χώρας. Πελασγοὶ γάρ εἰσιν, οἳ τὴν Φθιωτικὴν κατῴκουν, ὥς φησιν Ὅμηρος (B 681)· ‘νῦν αὖ τούς, ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον‘, ἀφορίζων τῆς Πελοποννήσου, ἣν Ἀχαϊκὸν καλεῖ Ἄργος. 23—25a πρῶτά νυν Ὀρφῆο ς: Ἡρόδωρος (31 fg 42 J.) δύο εἶναι Ὀρφεῖς φησιν, ὧν τὸν ἕτερον συμπλεῦσαι τοῖς Ἀργοναύταις. φερεκύδης ἐν τῇ ς′ (3 fg 26 J.

9 ) Φιλάμμωνά φησι καὶ οὐκ Ὀρφέα συμπεπλευκέναι. ἔστι δέ, ὡς Ἀσκληπιάδης (12 fg 6c J.), Ἀπόλλωνος καὶ Καλλιόπης· ἔνιοι δὲ ἀπὸ Οἰάγρου καὶ Πολυμνίας. ζητεῖται δέ, διὰ τί Ὀρφεὺς ἀσθενὴς ὢν συνέπλει τοῖς ἥρωσιν: ὅτι μάντις ὢν ὁ Χείρων ἔχρησε δύνασθαι καὶ τὰς Σειρῆνας παρελθεῖν αὐτοὺς Ὀρφέως συμπλέοντος. b 〈σκοπιῇσ〉 Πιμπληίδος ἄγχι τεκ〈έσθαι〉 : Πίμπλεια χωρίον κατὰ Πιερίαν· οἱ δὲ ὄρος Θρᾴκης, οἱ δὲ κρήνην καὶ κώμην τῆς Πιερίας. 27 θέλξα ι: ἀπατῆσαι καὶ τέρψαι. τάσσεται δὲ ἡ λέξις ἐπὶ τῆς μετὰ βλάβης ἀπάτης· νῦν δὲ ὑπερβολικῶς κεῖται. ἀοιδάων δὲ ἐνοπῇ τῇ τῶν ᾠδῶν εὐρυθμίᾳ. οὐκ εὖ δέ· ἡ γὰρ ἐνοπὴ ἀεὶ ἐπὶ θορύβου τίθεται. 29 Θρηικίης Ζώνης ἐπιτη〈λεθόωσαι〉 : Ζώνη ἐστὶν ὀρεινὸς τόπος οὕτω καλούμενος καὶ πόλις ὁμώνυμος, ὥς φησι Νίκανδρος (fg 28 Schn.). 30 ἑξείης στιχόωσιν 〈ἐπήτριμοι〉 : στοιχηδόν εἰσι καὶ ἑξῆς πυκναί. 31—34a Πιερίηθε ν: Πιερία ὄρος Θρᾴκης, ἐν ᾗ διέτριβεν Ὀρφεύς. φησὶ δὲ Ἡρόδωρος (31 fg 43a J.), ὅτι παρῄνησεν ὁ Χείρων τῷ Ἰάσονι, ὅπως τὸν Ὀρφέα σὺν τοῖς Ἀργοναύταις παραλάβῃ. b 〈 τοῖο ν:〉 οἷον εἴπομεν δηλονότι. L g c Βιστωνίδι κοιρανέοντ α: γράφεται καὶ Βιστῶνι τε κοιρανέοντ α . L m P 35 〈 αὐτοσχεδό ν:〉 ἀντὶ τοῦ παραχρῆμα, εὐθέως. L g 37—38a 〈 Πειρεσιά ς:〉 ὄνομα πόλεως· ὡς Ἐρυθραί καὶ Πειρεσιαί.

10 L g b Ἀπιδανός τε μέγας καὶ δ〈ῖοσ〉 : Ἀπιδανὸς καὶ Ἐνιπεὺς ἀμφότεροι Θεσσαλίας ποταμοί. τὸ δὲ Φυλλήιον ὄρος Μαγνησίας. c. ἡ δὲ Πειρεσία χώρα ἢ πόλις, ἧς ἐγγὺς ἦν τὸ Φυλλεῖον. P 40—41 Λάρισαν δ ’ ἐπὶ τοῖ〈σι〉 : Λάρισαν τὴν τὴν Θεσσαλίας λέγει, ἣν ἔκτισεν Ἀκρίσιος, ἥτις ὠνομάσθη ἀπὸ Λαρίσης τῆς Πελασγοῦ, ὥς φησιν Ἑλλάνικος (4 fg 91 J.). εἰσὶ δὲ Λάρισαι τρεῖς· ἀρχαιοτάτη μὲν ἡ Ἀργειῶτις, ἥτις ἐστὶν αὐτὴ ἡ ἀκρόπολις· δευτέρα δὲ ἡ ἐν τῷ Πελασγικῷ τῆς Θεσσαλίας, ἣν Ὅμηρος (B 738) Ἄργισσάν φησι, πλησίον οὖσα τῆς Γυρτώνης, ἧς νῦν ὁ Ἀπολλώνιος μέμνηται· ἔστι δὲ καὶ περὶ Τροίαν, ἧς Ὅμηρος (B 840 sq.) μνημονεύει· ‘φῦλα Πελασγῶν τῶν, οἳ Λάρισαν.‘ τὸν δὲ Πολύφημον Ἐλάτου παῖδα εἶπεν Ἀπολλώνιος, Σωκράτης (fg 10 M. IV 498) δὲ καὶ Εὐφορίων (fg 87 Scheidw.) Ποσειδῶνος. οἱ δὲ Λαπίθαι ἀπὸ Λαπίθου τοῦ Ἀπόλλωνος καὶ Στίλβης νύμφης ὠνομάσθησαν. 45—47a οὐδὲ μὲν Ἴφικλο ς: οὔτε Ὅμηρος οὔτε Ἡσίοδος (fg 50 Rz. 2 ) οὔτε Φερεκύδης (3 fg 110 J.) λέγουσι τὸν Ἴφικλον συμπεπλευκέναι τοῖς

Ἀργοναύταις. ὅτι δὲ μητρὸς ἦν Ἀλκιμέδης ὁ Ἰάσων, Φερεκύδης (3 fg 104a J.) μὲν συμφωνεῖ τῷ Ἀπολλωνίῳ. Ἡρόδωρος (31 fg 40 J.) δὲ Πολυφήμην τὴν Αὐτολύκου φησὶν Ἰάσονος εἶναι μητέρα. Ἄνδρων δὲ ἐν τῇ ἐπιτομῇ τῶν Συγγενειῶν (10 fg 5 J.) Αἴσονος καὶ Θεογνήτης τῆς Λαοδίκου 〈φησὶν Ἰάσονα γεγονέναι υἱόν〉 .

11 b τὸν δὲ Ἴφικλον Ἡσίοδος (fg 117 Rz. 2 ) ἐπὶ πυρίνων ἀθέρων τρέχειν φησίν, Δημαρέτης (42 fg 1 J.) δὲ ἐπὶ τῆς θαλάσσης. ἔστι δὲ υἱὸς Φυλάκου καὶ Κλυμένης τῆς Μινύου. c ὁ δὲ τρόπος ἀντίφρασις. ἀντὶ τοῦ ‘ταχέως δὲ ὁ Ἴφικλος ἦλθεν‘· ‘οὐ πολὺν χρόνον ἔμεινεν ἐν Φυλάκῃ‘. d 〈 μήτρω ς:〉 ὁ θεῖος. L gr e κασιγνήτην γὰρ ὄπυιε ν: διὰ τοῦ παρεπομένου τὸ προηγούμενον δηλοῖ. f 〈 ὄπυιε ν:〉 τὸ ἐγεγαμήκει· ἤτοι ἀπὸ τῶν ὠπῶν ἐσχηματισμένης τῆς λέξεως, ὅ ἐστιν ὀφθαλμῶν· ἢ ἀπὸ τοῦ ὄπτω καὶ ἐπιτηρῶ· ἢ ἀπὸ τῆς ὀπός, τῆς φωνῆς, διὰ τὰς τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας ὁμιλίας, ἀφ’ οὗ καὶ ‘ὄαροι‘ (I 327) αἱ γυναῖκες. 48a 〈 πηοσύν η:〉 συγγένεια L g . b ταύτης δὴ αὐτὸν ἡ συγγένεια παρεκέλευσεν. L mr 49a οὐδὲ Φεραῖς Ἄδμη〈τοσ 〉 : αἱ Φεραὶ ὠνομάσθησαν ἀπὸ Φέρητος τοῦ Κρηθέως, τοῦ Ἀδμήτου πατρός. b 〈 εὐρρήνεσσ ι:〉 ταῖς καλὰ πρόβατα ἐχούσαις. L gr c εὐρρήνεσσι δὲ ἀντὶ τοῦ πολυπροβάτοις. P 50 ὄρος ὑπεράνω Φερῶν τὸ Χαλκωδόνιο ν. L g (P) 51—52 οὐ δ ’ Ἀλόπῃ μίμνο ν: Θεσσαλίας πόλις ἢ Μαγνησίας. πολυλήιοι δὲ ἤτοι ἀπὸ τοῦ ληίου, τουτέστι σιτοφόρου πεδίου, ἢ ἀπὸ τῆς λείας, ὅπερ βέλτιον· ἐπιφέρει γὰρ εὖ δεδαῶτε δόλου ς. ἱστοροῦνται δὲ ἄυπνοι καὶ δεινοὶ καὶ φερέπονοι. 53 〈 γνωτό ς:〉 ἀντὶ τοῦ ἀδελφός. L g 54—55a Αἰθαλίδη ς: ὄνομα κύριον.

12 ἔστι δὲ υἱὸς Ἑρμοῦ καὶ Εὐπολεμείας τῆς Μυρμιδόνος. b Ἄμφρυσσος γράφεται καὶ διὰ τοῦ β , ὡς Διονύσιος (32 fg 12 J.). ἔστι δὲ ποταμὸς Θεσσαλίας. προπαροξύνεται δέ, ὡς ἐν τῇ η′ τῆς Καθόλου (Herodian. I 213, 16 L.) 57—64a Γυρτῶνα Κόρωνο ς: ἣν Ὅμηρός φησι (B 738) ‘Γυρτώνην τε νέμοντο‘. ἔστι δὲ πόλις Θεσσαλίας ἢ Περραιβίας, ὡς 〈Σου〉 ίδας (fg 5 M. II 464), ὠνομάσθη δὲ ἀπὸ Γυρτώνης τῆς Φλεγύου. ὁ δὲ Κόρωνος υἱός ἐστι Καινέως. μεμύθευται δὲ ὁ Καινεὺς πρότερον γεγονέναι γυνή, εἶτα Ποσειδῶνος αὐτῇ πλησιάσαντος μεταβληθῆναι εἰς ἄνδρα· τοῦτο γὰρ ᾔτησε καὶ ἀτρωσίαν. ἤρισε δὲ καὶ Ἀπόλλωνι καὶ ἐνικήθη. καὶ ἐκέλευε τοὺς παριόντας ὀμνύναι εἰς τὸ δόρυ αὐτοῦ· ἔνθεν ἡ παροιμία ‘τὸ Καινέως δόρυ‘. τινὲς δέ φασι Καινέα συμπλεῦσαι τοῖς Ἀργοναύταις, οὐ Κόρωνον· ὁ δὲ Ἀπολλώνιος παρὰ Πινδάρου εἴληφε λέγοντος (fg 167 Schr.)· ‘ὁ δὲ χλωραῖς ἐλάτῃσι τυπεὶς ᾤχετο Καινεύς, σχίσας ὀρθῷ ποδὶ γᾶν.‘ τοῦτο δὲ αὐτῷ συνέβη διὰ τὸ μήτε θύειν τοῖς θεοῖς μήτε εὔχεσθαι ἀλλ’ 〈ἢ〉 τῷ ἑαυτοῦ δόρατι· διὸ Ζεὺς ἐφορμᾷ αὐτῷ τοὺς Κενταύρους, οἵτινες κατὰ γῆν αὐτὸν ὠθοῦσιν. b 〈 Κενταύροισι ν:〉 ἀντὶ τοῦ ὑπὸ Κενταύρων. L g c 〈 καταΐγδη ν:〉 καταφορικῶς, μεθ’ ὁρμῆς. L g 65 Ἀμπύκου υἱὸς ὁ Μόψος τοῦ Τιτάρωνος, μητρὸς δὲ Χλώριδος. L m (P) 67—68a ἄγχι δὲ λίμνης Ξ〈υνιάδοσ 〉 : Ξυνιὰς λίμνη τῆς Θεσσαλίας· τινὲς δὲ πόλιν, ᾗ παράκειται 〈.

13 ..〉 Βοιβηὰς λίμνη. ἀπὸ δὲ τῆς πόλεως εἴρηκε 〈λίμνην〉 Ξυνιάδα, ἐπειδὴ πλησίον αὐτῆς ἐστιν ἡ πόλις. ξυνὸν δὲ εἴρηται τὸ κοινόν· κοινὴ δέ ἐστιν Θεσσαλίας καὶ Βοιωτίας αὕτη. b Κτιμένην Δολοπηίδ α: Κτιμένη πόλις τῆς Θεσσαλίας. Δολοπηίδα δὲ τὴν Θεσσαλικὴν εἶπε· Δόλοπες γὰρ ἔθνος Θεσσαλίας. Ὅμηρος (I 484)· ‘ναῖον δ’ ἐσχατιὴν Φθίης Δολόπεσσιν ἀνάσσων‘. 69 ἐξ Ὀπόεντο ς: Ὀποῦς πόλις τῆς Λοκρίδος, ἀπὸ Ὀπόεντος τοῦ Ἠλείου. Ὅμηρος (B 531)· ‘οἳ Κῦνόν τ’ ἐνέμοντ’ Ὀπόεντά τε Καλλίαρόν τε.‘ 71—74 ἀλκήεις Ἐρ〈ιβώτησ 〉 : ἰσχυρός· παραγωγῶς δὲ ἐσχημάτισται παρὰ τὴν ἀλκήν, ὡς φωνήεις παρὰ τὴν φωνήν. Ἡρόδωρος δὲ ἐν τοῖς Ἀργοναυτικοῖς (31 fg 5 J.) τοῦτον Εὐρυβάτην καλεῖ καί φησιν αὐτὸν Τελέοντος υἱόν. Ἄκτορος δὲ υἱοὶ Μενοίτιος καὶ Ἶρος, τούτων δὲ υἱοί, Μενοιτίου μὲν καὶ Σθενέλης Πάτροκλος, Ἴρου δὲ Εὐρυτίων. 75—76 καὶ ἐπαΐξα ι: ἀντὶ τοῦ ἐπιδιῶξαι. περιττὸν μὲν τὸ μετόπισθεν, λείπει δὲ ὁ καί· καὶ ὅτε κλίνειαν φάλαγγας, εἰς φυγὴν τρέψειεν. 77—78 Κάνθος κί ε: τὸν Κάνθον καὶ ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κλέων καταλέγει. ἔστι δὲ Κανήθου υἱός, ἀφ’ οὗ 〈τὸ〉 ὄρος ἐν Βοιωτίᾳ· ἦν δὲ 〈οὗτοσ〉 Ἄβαντος παῖς, ἀφ’ οὗ οἱ Εὐβοεῖς Ἄβαντες.

14 79a 〈 Κήρινθο ν:〉 πόλις Εὐβοίας. L g b 〈 ὑπότροπο ς:〉 ὑποστρέψας. L g 81—82 δηωθῆνα ι: καινότερον νῦν δηωθῆναι τὸ φθαρῆναι. ἑξῆς δὲ ὁ ποιητὴς ὡς δυσφορῶν ἐπὶ τῇ ἀπωλείᾳ τῶν ἡρώων ἐπιφωνεῖ· ὡς οὐκ ἀνθρώ〈ποισιν 〉. ὁ δὲ νοῦς· οὐδέν ἐστι μέγιστον κακόν, οὗ ἄνθρωπος ἀποτυγχάνει. ἔδει οὖν διὰ τοῦ α ἀπαυρεῖ ν. ἢ ὅτι οὐδὲν κακὸν μέγιστον, ὃ εἴη 〈ἂν〉 ἀνθρώποις δυσχερὲς ἐπαυρεῖν, ὅ ἐστιν ἐπιτυχεῖν. 83—85 δύσιές τε καὶ ἀντολ〈αί 〉 : τοσοῦτόν φησι κεχωρισμένους τῆς τῶν Κόλχων χώρας, ὅσον τῶν ἀνατολῶν αἱ δύσεις ἀφεστήκασιν, ἐπεὶ ἡ μὲν Λιβύη ἐν δύσει, ἡ δὲ Κολχὶς ἐν ἀνατολῇ. 87 Οἰχαλίης ἐπίουρο ι: παῖδες Ἀντιόπης. Οἰχαλίας δὲ τῆς ἐν Εὐβοίᾳ. οἱ γὰρ νεώτεροί φασιν ἐν Εὐβοίᾳ εἶναι, Ὅμηρος δὲ ἐν τῷ Πελασγικῷ Ἄργει καταλέγει τὴν Οἰχαλίαν (B 730)· ‘οἵ τ’ ἔχον Οἰχαλίην πόλιν Εὐρύτου Οἰχαλιῆοσ‘, οἱ δὲ ὁμώνυμόν φασιν. 90—94a οὐ δ ’ ὁμόθε ν: οὐδ’ ἐκ τοῦ αὐτοῦ τόπου. τὸ δὲ οὐ μέν ἀντὶ τοῦ οὐ μήν. διεχωρίσθησαν γὰρ διὰ τὸν φόνον Φώκου, καὶ ὁ μὲν ἐν Σαλαμῖνι κατῴκησεν, ἥν φησι νῆσον Ἀτθίδα, ὁ δὲ Πηλεὺς ἐν Φθίᾳ. ἀφραδίῃ δὲ ἤτοι ἀνοίᾳ ἢ κακοβουλίᾳ. b 〈 λιασθεί ς:〉 ἀντὶ τοῦ φυγών. L g 95—96 τοῖς δ ’ ἔπι Κεκροπίηθε ν: ἀντὶ τοῦ· σὺν τούτοις ἀπὸ τῆς Ἀττικῆς. Κεκροπία γὰρ λέγεται ἡ Ἀττικὴ ἀπὸ Κέκροπος τοῦ βασιλεύσαντος. ἕτερος δέ ἐστιν ὁ Τελέων οὗτος ὁ Βούτου πατὴρ παρὰ τὸν πρότερον (v.

15 72) εἰρημένον, τὸν τοῦ Ἐριβώτου πατέρα. ἐυμελίης δὲ ὁ πολεμικός, ἀπὸ τῆς μελίας. 97—100 Ἄλκω ν: ὄνομα κύριον, πατὴρ Φαλήρου. τὸν δὲ Ἄλκωνα Πρόξενός (fg 5 M. II 462) φησιν Ἐρεχθέως. φυγεῖν δὲ αὐτὸν λέγει ἀπὸ τῆς Ἀττικῆς μετὰ τῆς θυγατρὸς Χαλκιόπης εἰς Εὔβοιαν, ἐξαιτοῦντος δὲ τοῦ πατρὸς οὐκ ἐκδοῦναι τοὺς Χαλκιδέας. τὸ δὲ τηλύγετον ἐνταῦθα οὐ τὸν μονογενῆ, πρόσκειται γὰρ καὶ μοῦνον ἐόντ α, ἀλλὰ καταγηράσαντι αὐτῷ γενόμενον· οἱ γὰρ τοιοῦτοι τῶν παίδων εἰσὶ προσφιλεῖς. 101—04a Θησέα δ ’ ὃς περὶ πά〈ντασ 〉 : Θησεὺς καὶ Πειρίθοος, ὄντες τὸ γένος ὁ μὲν ἐκ Διός, ὁ δὲ Ποσειδῶνος, ἐφάμιλλον τῷ γένει τὴν πρᾶξιν ἐποιοῦντο. καὶ ὁ μὲν Θησεὺς τῆς Ἑλένης ἐρασθεὶς ἔσχεν συμπράττοντα αὐτῷ τὸν Πειρίθουν, ὁ δὲ Πειρίθους τὴν Περσεφόνην ἐθελήσας ἀγαγέσθαι ἀναγκαίως εἶχε τὸν Θησέα ἑπόμενον. καὶ δὴ διὰ Ταινάρου κατελθόντες καὶ ἐπί τινος πέτρας καθεσθέντες αὖθις ἀναστῆναι οὐ δεδύνηνται. Ἡρακλῆς δὲ ὕστερον κατελθὼν διὰ τὸν Κέρβερον, τὸν μὲν Θησέα ἀπέσωσεν ὡς μὴ ἑκοντὶ κατελθόντα, τὸν δὲ Πειρίθουν εἴασεν, ἐπειδὴ προαιρέσει ἰδίᾳ κατῆλθεν. ἐπεστράτευσαν δὲ κατὰ τῆς Τροιζῆνος οἱ Διόσκουροι διὰ τὴν ἀδελφὴν Θησέως ὄντος ἐν Ἅιδου καὶ πορθήσαντες ἔλαβον αἰχμάλωτον Αἴθραν τὴν Θησέως μητέρα. b Ταιναρίη ν: Φερεκύδης ἐν τῇ θ′ (3 fg 39 J.) φησὶν ὅτι ‘Ἔλατος ὁ Ἰκαρίου γαμεῖ Ἐριμήδην τὴν Δαμασίκλου· τῶν δὲ γίνεται Ταίναρος, ἀφ’ οὗ Ταίναρον καλεῖται ἡ πόλις καὶ ἡ ἄκρα καὶ ὁ λιμήν‘. L m P c κεινὴν ὁδό ν: ἀντὶ τοῦ ματαίαν.

16 ὁ δὲ νοῦς· ἀμφότεροι γὰρ οὗτοι συνοδεύσαντες πάντας ἂν μόχθων ἀνέπαυσαν τοὺς Ἀργοναύτας. τὴν δὲ αἰτίαν ἐνταῦθά φησιν ὁ Ἀπολλώνιος τοῦ μὴ συμπλεῦσαι αὐτούς. ἀναγινώσκεται δὲ καὶ κείνην βαρυτόνως κατὰ ἀναφορὰν καὶ κεινὴν ὀξυτόνως ἀντὶ τοῦ κενήν. 105—08a Τῖφυς δ ’ Ἁγνιάδ〈ησ 〉 : αἱ Σῖφαι τῆς Βοιωτίας πόλις, Σιφαεὺς δὲ δῆμος Θεσπιέων· Θέσπεια δὲ 〈καὶ〉 πόλις Θεσσαλίας. Φερεκύδης (3 fg 107 J.) δὲ Ποντέως ἱστορεῖ τὸν Τῖφυν, ὁ δὲ Αἰσχύλος ἐν τῇ Ἀργοῖ (fg 21 N. 2 ) τὸν Τῖφυν Ἶφυν καλεῖ. b προδαῆνα ι: προμαθεῖν. ἀρίστου γὰρ αὕτη τέχνη κυβερνήτου. ὁ δὲ λόγος· ἀγαθὸς μὲν καὶ ἡμέρας τῷ ἡλίῳ, νυκτὸς δὲ πρός τινα τῶν ἀστέρων τὸν καιρὸν τοῦ πλοῦ τεκμήρασθαι. 109 Τριτωνί ς: Τρίτωνες τρεῖς, Βοιωτίας, Θεσσαλίας, Λιβύης· ἐν δὲ τῷ κατὰ Λιβύην ἐτέχθη ἡ Ἀθηνᾶ. 112 〈 κείνης ὑποθημοσύνῃσ ι:〉 διὰ τὸ ταῖς βουλαῖς τῆς Ἀθηνᾶς γενέσθαι. L g 115 Φλείας δ ’ αὖ τ ’ ἐπὶ τοῖσι ν: πόλις Πελοποννήσου ἡ Ἀραιθυρέα, ἡ νῦν ὀνομαζομένη Φλιοῦς ἀπὸ Φλιοῦντος τοῦ Διονύσου καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Χθονοφύλης. κεῖται δὲ ἡ Φλιοῦς ἐπὶ ὅροις τῆς Σικυῶνος. καὶ αὐτὸς δὲ Διόνυσος Φλιοῦς ὠνομάζετο ἀπὸ τοῦ φλεῖν τὸν οἶνον, ὅ ἐστιν εὐθηνεῖν. 117 ἐφέστιος Ἀσωπ 〈οῖο 〉 : Ἀσωπὸς ποταμὸς Θηβῶν ἔχων τὰς πηγὰς ἐν Ἀραιθυρέᾳ.

17 ἐκεραυνώθη δὲ ὑπὸ Διὸς διώκων αὐτὸν διὰ τὸ ἡρπακέναι τὴν θυγατέρα αὐτοῦ Αἴγιναν, ὡς καὶ Καλλίμαχός (fg 375 Schn.) φησιν. 〈...〉 εἰς Αἴγιναν τὴν πόλιν 〈...〉. 118—21a Ἀργόθεν αὖ Ταλαό ς: ἐκ τοῦ Ἄργους τῆς χώρας, οὐ τῆς πόλεως. ἐν δὲ ταῖς Μεγάλαις Ἠοίαις (Hesiodi fg 149 Rz. 2 ) λέγεται, ὡς ἄρα Μελάμπους φίλτατος ὢν τῷ Ἀπόλλωνι ἀποδημήσας κατέλυσε παρὰ Πολυφόντῃ. βοὸς δὲ αὐτῷ τεθυμένου, δράκοντος ἀνερπύσαντος παρὰ τὸ θῦμα, διαφθεῖραι αὐτὸν τοὺς θεράποντας τοῦ βασιλέως· τοῦ δὲ βασιλέως χαλεπήναντος τὸν Μελάμποδα λαβεῖν καὶ θάψαι, τὰ δὲ τούτου ἔγγονα τραφέντα ὑπὸ τούτου λείχειν τὰ ὦτα καὶ ἐμπνεῦσαι αὐτῷ τὴν μαντικήν. διόπερ κλέπτοντα αὐτὸν τὰς βόας τοῦ Ἰφίκλου περιληφθέντα δεθῆναι καὶ τοῦ οἴκου μέλλοντος πεσεῖν, ἐν ᾧ ἦν ὁ Ἴφικλος, τῇ διακόνων πρεσβύτιδι μηνῦσαι καὶ τούτου χάριν ἀφεθῆναι τῷ Ἰφίκλῳ. σαφὴς δὲ ἡ ἱστορία. b 〈 τῆς δ ’ ἀμφ ί:〉 διὰ τὸν ἀδελφὸν Βίαντα. L g c 〈 Αἰολίδη ς:〉 Ἀμυθάονος γάρ ἐστι τοῦ Κρηθέως τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διός. L m (P) d σταθμοῖσιν ἐν Ἰφίκ 〈λοιο 〉 : Ἴφικλος Φυλάκου παῖς τοῦ Δηιονέως. μήτηρ δὲ Μελάμποδος Δωρίππη, ὡς Διευχίδας (fg 9 M. IV 390). φησὶ δὲ καὶ τὴν αἰτίαν τοῦ ὀνόματος, ὅτι τεκοῦσα αὐτὸν ἡ μήτηρ εἰς σύνδενδρον ἐξέθετο τόπον, συνέβη δὲ τοὺς πόδας αὐτοῦ ὑπὸ ἡλίου μελανθῆναι ἀσκίους ὄντας. 124—29a νεῖον ἀ π ’ Ἀρκαδ 〈ίησ 〉 : προπερισπωμένως ἀντὶ τοῦ νεωστί, ὀξυτόνως δὲ τὴν γῆν.

18 ὁ δὲ ἑξῆς λόγος οὕτω· ἐπειδὴ ἤκουσε μέλλειν πλεῖν τοὺς Ἀργοναύτας, νεωστὶ διεληλυθὼς τὸ Ἄργος, καθ’ ἣν ὁδὸν ἐκόμιζε τὸν κάπρον ζῶντα ἐκ τοῦ Ἐρυμανθίου ὄρους, ὅπου κατὰ τὰς βήσσας ἐνέμετο Λαμπείας τε καὶ Ἐρυμάνθου, ἦλθεν ὡς Ἰάσονα. Λάμπεια δὲ ὄρος Ἀρκαδίας, ἐξ ἧς Ἐρύμανθος ποταμὸς ἔχει τὰς πηγάς. b Λυγκήιο ν: ἀπὸ Λυγκέως τοῦ βασιλεύσαντος Ἄργους. ἐὰν δὲ Λυρκήιον, ἀπὸ ὄρους Ἄργους ἀκουστέον, ἀφ’ οὗ ὁ Ἴναχος καταφέρεται ποταμός. c τῖφο ς: ὁ κάθυγρος τόπος, ἔνθα διέτριβεν ὁ κάπρος. περὶ δὲ τοῦ κάπρου καὶ Ἡρόδωρός (31 fg 24 J.) φησιν, ὅτι ἐπὶ τὰς πύλας τῶν Μυκηνῶν κομίσας αὐτὸν ἀπέθετο. ἰλλόμενον δὲ δεδεμένον. διὰ δὲ τοῦ ἀπεθήκατο τοῦ βαστάζοντος ἐπιδείκνυται ἡ δύναμις, ὅτι εὐχερῶς. 131 σὺν καί οἱ Ὕλα ς: οὗτος Ἡρακλέους ἐρώμενος, υἱὸς δὲ Θειοδάμαντος τοῦ Δρύοπος. καὶ Μνασέας (fg 10 M. III 151) μὲν οὕτως. Ἑλλάνικος (4 fg 131a J.) δὲ Θειομένη ἀντὶ Θειοδάμαντος ὀνομάζει. 132a 〈 ἰῶ ν:〉 τῶν βελῶν. L g b φύλακο ς: Ἰωνικῶς ὁ φύλαξ. Ἴωνες γὰρ τὰς γενικὰς ποιοῦσιν εὐθείας· τοῦ φύλακος ὁ φύλακος, τοῦ μάρτυρος ὁ μάρτυρος. τοῦ δὲ φύλακος ὀξυτονητέον τὴν πρώτην· Ἡρωδιανὸς (I 150, 3 L.) δὲ τὴν τελευταίαν ὀξύνει. φορεὺς δὲ ὁ φέρων. L m (P) 133—38 Ναύπλιος υἱὸς Ποσειδῶνος καὶ Ἀμυμώνης τῆς Δαναοῦ. οὗτος δὲ ἀπὸ τοῦ ἀρχαίου Ναυπλίου ἐστίν.

19 Προίτου δὲ λέγει τοῦ Βελλεροφόντου ἐχθροῦ, ἀνδρὸς δὲ Ἀντείας· καὶ Ὅμηρος (Z 152 sqq.) οἶδεν. 139—44a Ἴδμων δ ’ ὑστάτ 〈ιοσ 〉 : Χαμαιλέων (fg 6 Koepke De Cham. peripatetico, Progr. gymn. Frider. Berol. 1856, 18 ) φησὶ τὸν Θέστορα Ἴδμονα παρὰ τοῖς ἀρχαίοις καλεῖσθαι διὰ τὸ ἔμπειρον εἶναι, ἄλλοι φασὶ καὶ Θέστορα συμπλεῦσαι τοῖς Ἀργοναύταις. τὸν Ἀμφιάραον δέ φησι συμπλεῦσαι Δηίοχος (fg 1 M. II 17). ὁ δὲ Ἴδμων, ὡς ἱστορεῖ Φερεκύδης (3 fg 108 J.), ἐγένετο παῖς Ἀστερίας τῆς Κορώνου καὶ Ἀπόλλωνος, οὗ καὶ Λαοθόης Θέστωρ· τοῦ δὲ Κάλχας. ἀναιρεῖται δὲ Ἴδμων ἐν Μαριανδυνίᾳ ὑπὸ κάπρου. ὅτι δὲ Ἄβαντος υἱὸς Ἴδμων, φησὶ καὶ Ἡρόδωρος (31 fg 44 J.). b 〈 ὑστάτιο ς:〉 τῶν ἐξ Ἄργους ὕστατος. L g c μὴ ὁ δῆμος μέμψηται αὐτοῦ τὸ κλέος. L m (P) d Αἰολίδῃσι ν: τοῖς υἱωνοῖς 〈Αἰόλου〉. Αἰόλου γὰρ τοῦ Ἕλληνος Κρηθεὺς καὶ Ἀθάμας, Κρηθέως δὲ Αἴσων, Αἴσονος δὲ ὁ Ἰάσων. Ἄβας δὲ Μελάμποδος ἦν τοῦ Ἀμυθάονος τοῦ Κρηθέως τοῦ Αἰόλου. L m (P) 146—49a καὶ μὴν Αἰτωλὶς κρα 〈τερόν 〉 :

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰκότως αὐτὴν Αἰτωλίδα εἶπεν, ἐπεὶ Αἰτωλὸς ὁ Θέστιος. καὶ εἴρηκεν ἀπὸ τῆς χώρας, ὡς ἐάν τις τὸν Συρακόσιον Σικελὸν λέγῃ ἢ τὸν Ῥωμαῖον Ἰταλόν. ὁ δὲ Ἴβυκος (fg 41 B. III 249) αὐτὴν Πλευρωνίαν φησίν, Ἑλλάνικος (4 fg 119 J.) δὲ Καλυδωνίαν. ἡ δὲ Λήδα ἦν Θεστίου θυγάτηρ τοῦ βασιλέως τῆς Αἰτωλίας, Ἄρεως υἱοῦ καὶ Δημοδίκης, μητέρα δὲ αὐτῆς ⟨λέγουσι Δηιδά⟩ μειαν. Γλαύκου δὲ αὐτὴν τοῦ Σισύφου εἶναι πατρὸς ἐν Κορινθιακοῖς λέγει Εὔμηλος (fg 6 Kink. 191) καὶ Παντειδυίας μητρός, ἱστορῶν ὅτι τῶν ἵππων ἀπολομένων ἦλθεν εἰς Λακεδαίμονα ὁ Γλαῦκος καὶ ἐκεῖ ἐμίγη Παντειδυίᾳ· ἣν ὕστερον γήμασθαι Θεστίῳ, ὥστε τὴν Λήδαν γόνῳ μὲν οὖσαν Γλαύκου λέγεσθαι Θεστίου.

20 Φερεκύδης δὲ ἐν τῇ β′ (3 fg 9 J.) ἐκ Λαοφόνης τῆς Πλευρῶνος Λήδαν καὶ Ἀλθαίαν Θεστίῳ γενέσθαι φησίν. ὅτι δὲ Γλαύκου ἐστὶ θυγάτηρ, καὶ Ἀλκμὰν (fg 8 B. III 17) αἰνίττεται, λέγων· ‘τοὺς τέκε θυγάτηρ Γλαύκω μάκαιρα‘. φασὶ τὸν μὲν Πολυδεύκην Διός, τὸν δὲ Κάστορα Τυνδάρεω. τηλυγέτους δὲ νῦν ἀντὶ τοῦ ἀγαπητούς, Ὅμηρος δὲ τοὺς ἐν γήρᾳ γεννωμένους. b Αἰτωλὶς δὲ ἤτοι διὰ τὴν χώραν ἢ ἀπὸ Αἰτωλοῦ τοῦ ἥρωος. L 152 Ἀρήνηθε ν: Φερεκύδης (3 fg 127 J.) τὴν μητέρα τῶν περὶ Ἴδαν Ἀρήνην φησίν, ἀφ’ ἧς ἡ πόλις, Πείσανδρος (16 fg 2 J.) Πολυδώραν, Θεόκριτος (XXII 206) Λαοκόωσαν. οὗτοι δὲ συνήκμασαν τοῖς Διοσκούροις. Ἀρήνη δὲ πόλις Πελοποννήσου πλησίον Πύλου· καὶ Ὅμηρος (B 591)· ‘οἱ δὲ Πύλον τ’ ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινήν‘. 156—60a σὺν δὲ Περικλύμενο ς: ὅτι Νηλέως παῖς Περικλύμενος, δῆλον. φησὶ γὰρ ὁ ποιητής (λ 286)· ‘Νέστορά τε Χρόμιόν τε Περικλύμενόν τ’ ἀγέρωχον‘. τοῦτον δὲ ὡς ἔγγονον αὑτοῦ ὁ Ποσειδῶν—Νηλεὺς γὰρ Ποσειδῶνος—καὶ τοῖς ἄλλοις ἐκόσμησεν καὶ ἐχαρίσατο αὐτῷ εἰς πάντα μεταβάλλεσθαι, ὡς καὶ ὁ Εὐφορίων (fg 74 Scheidw.)· ‘ὅς ῥά τε πᾶσιν ἔικτο, θαλάσσιος ἠύτε Πρωτεύσ‘. ἀνῄρηκεν δὲ αὐτὸν Ἡρακλῆς εἰς μυῖαν μεταβληθέντα ἐν τῷ πρὸς Πυλίους πολέμῳ κατὰ συμβουλὴν Ἀθηνᾶς τῷ ῥοπάλῳ αὐτὸν πλήξας ⟨.

21 ..⟩ ἐμπαγέντα ὥσπερ μέλισσαν τῷ κέντρῳ· Ἡσίοδος (fg 14 Rz. 2 ) δὲ μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ὀμφαλῷ τοῦ ζυγοῦ τῶν Ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωι, τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι τῆς Ἀθηνᾶς ὑποδειξάσης. φησὶ δὲ οὕτως· ‘Περικλύμενόν τ’ ἀγέρωχον ὄλβιον, ᾧ πόρε δῶρα Ποσειδάων Ἐνοσίχθων παντοῖ’· ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν αἰετός, ἄλλοτε δ’ αὖτε πελέσκετο—θαῦμα ἰδέσθαι— μύρμηξ, ἄλλοτε δ’ αὖτε μελισσέων ἀγλαὰ φῦλα, ἄλλοτε δ’ αἰνὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα παντοῖ’, οὐκ ὀνομαστά, τά μιν καὶ ἔπειτα δόλωσεν βουλῇ Ἀθηναίησ‘. b ⟨ Πύλ ῳ:⟩ ἀφ’ ἧς ἦν ὁ Νέστωρ, ἥτις ἐστὶ καὶ ἀμμώδης ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. Νηλεὺς δὲ ἔσχεν παῖδας ἐκ μὲν Χλώριδος Νέστορα, Περικλύμενον, Χρόμιον, ἐκ δὲ διαφόρων γυναικῶν Ταῦρον, Ἀστέριον, Πυλάωνα, Δηίμαχον, Εὐρύβιον, Ἐπιλέοντα, Φράσιν, Ἀντιμένη, Εὐαγόραν ἤ, ὡς Ἀσκληπιάδης (12 fg 21 J.) φησίν, Ἀλάστορα. καὶ ὁ ποιητής (Λ 692)· ‘δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν‘. c ⟨ ξυνοχ ῇ:⟩ τῇ συμβολῇ. L g 161—63 οἳ Τεγέη ν: Τεγέα πόλις Ἀρκαδίας. κλῆρον δὲ ⟨ Ἀφειδάντειον ⟩ τὴν βασιλείαν τὴν Ἀφείδαντος. ὁ γὰρ Ἀλεὸς ἱστορεῖται Ἀφείδαντος υἱὸς εἶναι τοῦ Ἀρκάδος, ἀφ’ οὗ καὶ ἡ χώρα Ἀρκαδία.

22 Ἀφείδας δὲ ὁ Ἀρκάδος, ἀρχαῖος ἥρως, ἐβασίλευσε Τεγέας. δύο δέ εἰσι Κηφεῖς, ὁ μὲν Ἀλεοῦ, οὗ μνημονεύει Ἀπολλώνιος, ὁ δὲ ἕτερος ⟨...⟩ , οὗ μνημονεύει Ἑλλάνικος ἐν τῷ Περὶ Ἀρκαδίας (4 fg 37 J.). 164 Ἀγκαῖο ς: Λυκούργου καὶ Ἀντινόης Ἀγκαῖος καὶ Ἔποχος. τιμᾶται δὲ ὁ Λυκοῦργος παρ’ Ἀρκάσιν, ὥς φησιν Ἀριστομένης (M. IV 336). μνημονεύει καὶ Ὅμηρος τούτου τοῦ Λυκούργου (H 142—45)· ‘τὸν Λυκόοργος—ὑποφθὰς δουρὶ μέσον περόνησε‘. καὶ ἄγεται Μώλεια ἑορτὴ παρὰ Ἀρκάσιν, ἐπειδὴ Λυκοῦργος λοχήσας κατὰ τὴν μάχην εἷλεν Ἐρευθαλίωνα· μῶλος δὲ ἡ μάχη. 168—70 βῆ δ ’ ὅγε Μαιναλίη ς: Μαίναλος ὄρος Ἀρκαδίας καὶ πόλις, ἀπὸ Μαινάλου τοῦ Ἀρκάδος, οὗ πατὴρ Λυκάων. καλιῇ δὲ ἀντὶ τοῦ οἰκίᾳ, κυρίως δὲ ἡ ἐκ κάλων κατεσκευασμένη· κᾶλα δὲ τὰ ξύλα. ξυλίναις γὰρ ἐχρῶντο τὸ παλαιὸν οἰκίαις λιθ⟨ίν⟩ ων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μηδέπω ἐπινοηθέντων. 172—73 βῆ δὲ καὶ Αὐγείη ς: οὗτος γόνῳ μὲν ἦν Ἡλίου, ἐπίκλησιν δὲ Φόρβαντος ἐκ τῆς Νηλέως Ὑρμίνης· οἱ δέ φασιν ἀπὸ τῆς Νυκτέως, οἱ δὲ αὐτὴν Ἐπειοῦ θυγατέρα εἶναι. δοκοῦσι δὲ ἀκτῖνες ἀπολάμπειν αὐτοῦ τῶν ὀφθαλμῶν. τούτου δὲ τῶν βοσκημάτων ὁ Ἡρακλῆς τὴν κόπρον ἐκάθηρεν. 176 Ἀστέριος δ έ: τὸν Ἀστερίωνα λέγει. ἀπὸ δὲ τοῦ Ὑπερασίου βασιλέως τῆς Ἀχαίας πόλις Ὑπερασία. Ὅμηρος (Β 573)· ‘οἵ θ’ Ὑπερασίην‘. 177 Πελλήνη ς: ἡ Ἀχαϊκὴ Πελλήνη διὰ τοῦ ε , ἡ δὲ ἑτέρα ἡ τῆς Ἀρκαδίας διὰ τοῦ α γράφεται, Παλλήνη.

23 Ἀχαιὶς δὲ μέρος τῆς Θεσσαλίας, ἧς ἡ Πελλήνη. 179 Ταίναρον ἀκρωτήριον τῆς Λακωνικῆς ἀπὸ Ταινάρου τοῦ Ποσειδῶνος. 181 Εὐρώπη Τιτυοῦ τοῦ Ἐλάρης παιδός. οὗτος δὲ ἐν Ἅιδου τετιμώρηται διὰ τὸ εἰς Πυθῶνα στελλομένην κατασχεῖν τὴν Λητώ, ὡς καὶ Ὅμηρος (λ 576)· ‘Τιτυὸν Γαίης υἱόν‘. ὁ δὲ Εὐφορίων (fg 123 Scheidw.) Ἀρτέμιδός φησιν αὐτὸν ἧφθαι καὶ διὰ τοῦτο τιμωρεῖσθαι. 184 διερῇ πεφόρητ ο: διερὴ κυρίως ἡ ἐκ Διὸς γινομένη κάθυγρος γῆ, ἐξ οὗ καὶ διαίνω τὸ βρέχω. παρὰ δὲ τὸ Ὁμηρικόν (Υ 226—29)· ‘αἱ δ’ ὅτε δὴ σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν‘ καὶ τὰ ἑξῆς. 185—88a καὶ δ ’ ἄλλω δύο παῖδ ε: ὁ μὲν ἦν υἱός, ὁ δὲ Ἐργῖνος ἀπόγονος· Ἀγκαῖος υἱὸς Ἀστυπαλαίας τῆς Φοίνικος καὶ Ποσειδῶνος, Ἐργῖνος δὲ Κλυμένου τοῦ Πρέσβωνος καὶ Βουζύγης τῆς Λύκου. ὁ δὲ Μίλητος, ἀφ’ οὗ καὶ ἡ πόλις Μίλητος, Εὐξαντίου τοῦ Μίνωος, οἱ δέ φασιν αὐτὸν Ἀπόλλωνος καὶ Ἀρείας τῆς Κλεόχου· ἐκλήθη δὲ Μίλητος, ὅτι ἐκρύβη ὑπὸ τῆς μητρὸς ἐν μίλακι. οἱ δέ φασιν ὑπὸ Σαρπηδόνος τοῦ Διὸς Μίλητον κτισθῆναι, ὀνομασθεῖσαν ἀπὸ τῆς ἐν Κρήτῃ. ὀνομασθῆναι δὲ αὐτὴν πρῶτον λέγουσι Πιτυοῦσσαν, οἱ δὲ Ἀστερίαν, εἶτα Ἀνακτορίαν, εἶτα Μίλητον. καὶ Ἀριστόκριτός (fg 1 M. IV 334) φησι, ὅτι Ἀρεία θυγάτηρ ἐγένετο Κλεόχου, ἧς καὶ Ἀπόλλωνος γενέσθαι βρέφος, καὶ τοῦτο ἐκτεθῆναι εἰς μίλακα, τὸν δὲ Κλέοχον ἀνελέσθαι καὶ ὀνομάσαι ἀπὸ τῆς μίλακος Μίλητον· τοῦτον δὲ ἀνδρωθέντα καὶ φθονούμενον ὑπὸ τοῦ Μίνωος ἀναχωρῆσαι εἰς τὴν Σάμον, ἀφ’ οὗ καὶ τόπος ἐκεῖ Μίλητος.

24 καὶ ἀπὸ τῆς Σάμου μεταβὰς εἰς τὴν Καρίαν ἔκτισε πόλιν, Μίλητον ἀφ’ ἑαυτοῦ καλέσας. μαρτυρεῖ Ἡρόδωρος (31 fg 45 J.). b 〈 ὁ δ ’ Ἰμβρασίης ἕδος Ἥρης Παρθενίη ν:〉 τὴν Σάμον φησίν. Ἴμβρασος γὰρ ποταμὸς Σάμου, ὃς μετεκλήθη Παρθένιος διὰ τὸ ἐκεῖ παρθένον ἔτι οὖσαν τετράφθαι τὴν Ἥραν. καὶ Καλλίμαχος (fg 213 Schn.) μέμνηται. ὁ δὲ Ταρραῖος οὕτως (fg 10 Linnenkugel De Lucillo Tarrh., Diss. Monast. 1926, 92 )· Παρθενία δὲ ἡ Σάμος ἀπὸ Παρθενίας τῆς Σάμου γυναικὸς ὠνομάσθη. L m (P) c [ Παρθενίη ς ] Ἀγκαῖο ς: Ἀριστοτέλης (fg 530 Rose 1566a 13) φησὶ τιθεὶς ἐπὶ Ἀγκαίου τὴν παροιμίαν, ὅτι γέγονε φιλογέωργος Ἀγκαῖος καὶ πολλὰς ἐφύτευσεν ἀμπέλους. εἰπόντος δὲ αὐτῷ τοῦ θεράποντος, ὅτι θᾶττον ἀποθανεῖται ἢ πίεται ἐκ τῶν καρπῶν τῆς ἀμπέλου, Ἀγκαῖος ὡρίμου γενομένου τοῦ καρποῦ, τρίψας βότρυν ἐκάλεσε τὸν θεράποντα καὶ εἶπεν, ὡς ἔζησεν μέχρις οὗ καρποφορήσῃ ἡ ἄμπελος, καὶ ἔμελλε πίνειν. τοῦ δὲ θεράποντος εἰπόντος ‘πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου‘ διηγγέλη αὐτῷ τις σῦς διαλυμαινόμενος τὴν χώραν· ἐφ’ ὃν ἐκδραμὼν πρὶν πίῃ, ἀνῃρέθη ὑπ’ αὐτοῦ. διὸ ἐπεκράτησεν ἡ παροιμία ἐπὶ τῶν παρὰ προσδοκίαν τι πασχόντων. καὶ Φερεκύδης ἐν τῇ η′ (3 fg 36 J.) φησὶ τὸν Ἀγκαῖον ὑπὸ τοῦ Καλυδωνίου συὸς πληγέντα τὸν μηρὸν ἀποθανεῖν. 193 ἀλλά ἑ θῆσσα γυ 〈νή 〉 : θῆσσα ἡ δούλη. Ἀθηναῖοι δὲ καὶ τοὺς πενιχροὺς θῆτας λέγουσιν ἀπὸ τοῦ θητεύειν ἐπὶ μισθῷ διὰ τὸ ἐνδεεῖς εἶναι τῶν ἐπιτηδείων· καὶ ὥσπερ τῷ Κρής παράκειται τὸ Κρῆσσα θηλυκόν, οὕτω καὶ τῷ θής θῆσσα.

25 194 〈 κοσμήτορ α:〉 ἀντὶ τοῦ καθηγητήν. L g 195a 〈 ὦ δ ’ ἔτι κουρίζω ν:〉 οὕτως ἀκμάζων ἔτι. L g b τὸ δὲ κουρίζων ἐνταῦθα ἀντὶ τοῦ κοῦρος ὤν, ἀλλαχοῦ δὲ καὶ ἀντὶ τοῦ κούρους τρέφων. P 196 〈 τοῦ δ’:〉 τοῦ Μελεάγρου. L g 198 〈 λυκάβαντ α:〉 ἐνιαυτόν. L g 199/201a μήτρω ς: Ἀλθαία καὶ Ἴφικλος ἀδελφοὶ ἐκ Δηιδαμείας τῆς Περιήρους. L m (P) b Θεστιάδης Ἴφικλο ς: κασίγνητος Τοξέως καὶ Πληξίππου καὶ Ἀλθαίας τῆς Μελεάγρου μητρός. μήτρως οὖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ Ἴφικλος Μελεάγρου [ἐκ τῆς Ἐφύρης ἵκανεν]. H 202 Ὠλενίοι ο: Ὤλενοι δύο, τῆς Ἀχαΐας 〈καὶ〉 τῆς Αἰτωλίας. Ὅμηρος (B 639)· ‘οἳ Πλευρῶν’ ἐνέμοντο καὶ Ὤλενον‘. 204a σιφλό ς: ἀντὶ τοῦ κεκακωμένος· οἱ δὲ τὸν κακόποδα καὶ ἐπιμωμητὸν ἀπέδοσαν. σίφλος δὲ ὁ μῶμος. b 〈 σιφλό ς:〉 χωλός. S g 205 〈ὅ:〉 ἀντὶ τοῦ διό. L g 207—09a ἐκ δ ’ ἄρα Φωκή〈ων 〉 : οἱ Φωκεῖς ἐκλήθησαν ἀπὸ Φώκου τοῦ Αἰακοῦ. τὸν δὲ Ἴφιτον γενεαλογοῦσι Ναυβόλου καὶ Περινείκης τῆς Ἱππομάχου. ἡ δὲ Πυθὼ πόλις Φωκίδος, ἔνθα τὸ μαντεῖον, ἀπὸ τοῦ πυνθάνεσθαι τῶν μαντειῶν οὕτω κληθεῖσα ἢ ἀπὸ τοῦ ἐκεῖσε σεσῆφθαι τὸν δράκοντα. b 〈 ξεῖνο ς:〉 τοῦ Ἰάσονος φίλος ἦν.

26 L g 211—15a. 〈 Ζήτη ς:〉 ὄνομα κύριον. L g b 〈 Κάλαϊ ς:〉 ὄνομα κύριον. L g c Ζήτης καὶ Κάλαϊ ς: τούτους ἐκ διαφόρων τόπων συμπλεῦσαι τοῖς Ἀργοναύταις φασίν. οἱ μὲν γὰρ ἐκ Θρᾴκης ὡς Ἀπολλώνιος, Ἡρόδωρος (31 fg 46 J.) δὲ ἐκ Δαυλίδος, Δοῦρις (76 fg 86 J.) δὲ ἐξ Ὑπερβορέων. καταλέγει δὲ τούτους καὶ Ἀντίμαχος (fg 7 B. II 290). Φανόδικος δὲ ἐν α′ Δηλιακῶν (fg 1 M. IV 473) ἐξ Ὑπερβορέων φησὶν αὐτοὺς ἐλθεῖν ἐπὶ τὸν πλοῦν. τὴν δὲ Ὠρείθυιαν Σιμωνίδης (fg 3 B. III 382) ἀπὸ Βριλησσοῦ φησιν ἁρπαγεῖσαν ἐπὶ τὴν Σαρπηδονίαν πέτραν τῆς Θρᾴκης ἐνεχθῆναι· ἔστι γὰρ καὶ τῆς Κιλικίας ὁμώνυμος, ὡς Καλλισθένης (124 fg 39 J.) Στησίχορος δὲ ἐν τῇ Γηρυονίδι (fg 10 B. III 210) καὶ νῆσόν τινα ἐν τῷ Ἀτλαντικῷ πελάγει Σαρπηδονίαν φησί. περὶ δὲ τῆς Θρᾳκίας Σαρπηδονίας πέτρας, ὅτι πρὸς τῷ Αἵμῳ ὄρει ἐστί, Φερεκύδης (3 fg 145 J.) φησί, περὶ τῆς ἁρπαγῆς ἱστορῶν τῆς Ὠρειθυίας. Χοιρίλος (fg 5 Kink.) δὲ ἁρπασθῆναί φησιν αὐτὴν ἄνθη ἀμέργουσαν ὑπὸ τὰς τοῦ Κηφισοῦ πηγάς. Ἡραγόρας δὲ ἐν τοῖς Μεγαρικοῖς (fg 4 M. IV 427) τὸν τὴν Ὠρείθυιαν ἁρπάσαντα Βορέαν υἱὸν Στρυμόνος φησίν, οὐχὶ δὲ τὸν ἄνεμον. ἡ δὲ Ὠρείθυια Ἐρεχθέως θυγάτηρ, ἣν ἐξ Ἀττικῆς ἁρπάσας ὁ Βορέας ἤγαγεν εἰς Θρᾴκην, κἀκεῖσε συνελθὼν ἔτεκε Ζήτην καὶ Κάλαϊν, ὡς Σιμωνίδης ἐν τῇ Ναυμαχίᾳ (v. supra). 〈...〉 Φινεὺς δὲ Κλεοπάτραν τὴν Ὠρειθυίας πρώτην ἔγημεν, μετὰ ταῦτα δὲ Ἰδαίαν τὴν Δαρδάνου, ἥτις ἀπεχθῶς ἔχουσα πρὸς τοὺς προγόνους, λέγω δὴ πρὸς τοὺς ἀπὸ Κλεοπάτρας υἱούς, ἐπειρᾶτο τυφλῶσαι αὐτούς. οἱ δέ, ὅτι ὁ πατὴρ ἐτύφλωσεν αὐτοὺς διαβαλούσης τῆς μητρυιᾶς πρὸς αὐτόν. d Κεκροπίηθε ν: 〈.

27 ..〉 Κρέουσα, Ὠρείθυια, Πρόκρις· Ὠρειθυίας δὲ Χιόνη, Χθονία, Κλεοπάτρα, Ζήτης καὶ Κάλαϊς. ὁ δὲ Βορέας ἰδὼν παίζουσαν Ὠρείθυιαν πρὸς τῷ Ἰλισσῷ ἠράσθη· αὐτῆς· ἐξ ἧς οὗτοι. e Κεκροπίηθε ν: ἡ ἀκρόπολις τῆς Ἀττικῆς Κεκροπία ἐκαλεῖτο τὸ πρότερον. L m (P) f 〈 Ἰλισσο ῦ:〉 ποταμὸς Ἀττικῆς. L g 216—17a Σαρπηδονίην ὅθι πέ〈τρην 〉 : πόλις τῆς Ἀστικῆς ἀπὸ Σαρπηδόνος τοῦ τῆς Θρᾴκης βασιλέως, ἀδελφοῦ Πόλτυος. 〈 ποταμοῖο παρὰ ῥόον Ἐργίνοι ο:〉 τοῦτο δὲ προσέθηκεν, ἐπὶ καὶ ἑτέρα ἐστὶ Σαρπηδονία πέτρα τῆς Κιλικίας. b 〈 Ἐργίνοι ο:〉 ποταμὸς Θρᾴκης. L g 218 λυγαίοι ς: σκοτεινοῖς, κατὰ μετωνυμίαν· λύγος γὰρ τὸ σκότος ἀπὸ τοῦ λύγου τοῦ φυτοῦ, ὅπερ ἐστὶ πυκνὸν καὶ δασύ. L m P 219—20 ἐ π ’ ἀκροτάτοισι ποδ〈ῶν 〉 : τοῖς σφυροῖς ἢ τοῖς ἀστραγάλοις. ἐρεμνὰς δὲ ἤτοι κατὰ συγκοπὴν τὰς ἐρεβεννάς, τουτέστι [καταπληκτικὰς] σκοτεινὰς κυρίως, ἐξ οὗ μελαίνας. ὁ δὲ λόγος· ἔσειον μελαίνας πτέρυγας κινούμενοι, καταπληκτικὰς τῷ ἰδέσθαι. 221—22 φολίδεσσ ι: ταῖς στίξεσι, τοῖς ποικίλμασι τῶν πτερῶν. 〈κράατοσ〉 ὑπάτοιο δὲ ἄκρας κεφαλῆς. 224—26a οὐδὲ μὲν οὐ δ ’ αὐτοῖο πά〈ισ 〉 : Ἄκαστος Πελίου υἱὸς ἔγημεν Κρηθηίδα ἤ, ὥς τινες, Ἱππολύτην. ἡ δὲ Πηλέως ἐρασθεῖσα ἀπῄτει συνελθεῖν.

28 ὡς δὲ ἀπετύγχανεν, προβαλοῦσα τὸν Πηλέα τῷ ἀνδρὶ κατηγόρει, ὅτι ἤθελεν αὐτῇ συνελθεῖν. ὁ δὲ δεξάμενος τὸν Πηλέα ὡς ἐπὶ θήραν εἰς τὸ Πήλιον κατέλειψεν ἄοπλον, ἵνα ὑπὸ θηρίων διαφθαρῇ. ἐπιστὰς δὲ Ἑρμῆς ἤ, ὥς τινες, Χείρων ἔδωκεν αὐτῷ ἡφαιστότευκτον μάχαιραν. καὶ τὰ ἐπιτυγχάνοντα θηρία ἀναιρῶν ἦλθεν εἰς τὴν πόλιν καὶ ἀνεῖλεν Ἄκαστον αὐτόν 〈τε〉 καὶ τὴν τοῦ Ἀκάστου γυναῖκα. εἰ δὲ ἐπὶ κίνδυνον αὐτοὺς ἔπεμπεν ὁ Πελίας, διὰ τί ὁ υἱὸς αὐτοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξήρχετο; καὶ οὗτος μέν φησιν, ἄκοντος τοῦ πατρός· Δημάγητος δέ, ὅτι ἐκέλευσεν ὁ Πελίας τὴν Ἀργὼ ἀραιοῖς γόμφοις παγῆναι, ἵνα ταχέως ἀπολέσῃ αὐτούς· ὁ δὲ Ἄργος τοὐναντίον πεποίηκεν, καὶ πιστὸν ἔχων τὸν τέκτονα Ἄκαστος ἐπέβη. b Ἄργος τε θεᾶς ὑπ〈οεργόσ〉 : διὰ τὸ τὴν Ἀργὼ κατασκευάσαι Ἀθηνᾶς προνοίᾳ. διὰ τοῦτο ὁ ποιητής φησιν (I 19) Ἀθηνᾶς ὑποθημοσύνῃσι γενέσθαι αὐτήν. 228 〈 συμμήστορε ς:〉 σύμβουλοι. L g 230—33a ἀντὶ τοῦ γὰρ ὁ ἐπε ί . L g b ἐπεὶ Μινύαο θυγα〈τρῶν〉 : ὁ γὰρ Μινύας πολλὰς εἶχεν θυγατέρας. καὶ γὰρ ὁ Ἰάσων Ἀλκιμέδης ἐστὶ τῆς Κλυμένης τῆς Μινύου θυγατρός. Στησίχορος (fg 54 B. III 225) δὲ Ἐτεοκλυμένης φησίν, Φερεκύδης (3 fg 104 b J.) δὲ Ἀλκιμέδης τῆς Φυλάκου. Ἰσονόης δὲ τῆς Δαναοῦ καὶ Διὸς γίνεται Ὀρχομενός, ἀφ’ οὗ καὶ ἡ πόλις Ὀρχομενὸς καλεῖται· Ὀρχομενοῦ δὲ καὶ Ἑρμίππης τῆς Βοιωτοῦ γίνεται Μινύας—ἐπίκλησιν, φύσει δὲ Ποσειδῶνος—, ὃς ᾤκει ἐν Ὀρχομενῷ, ἀφ’ οὗ ὁ λαὸς Μινύαι ἐκλήθησαν· ἐκ δὲ Μινύου καὶ Κλυτοδώρας γίνεται Πρέσβων καὶ Περικλυμένη καὶ Ἐτεοκλυμένη, ἐκ δὲ Φανοσύρας τῆς Παιῶνος καὶ Μινύου Ὀρχομενὸς καὶ Διοχθώνδης καὶ Ἀθάμας.

29 ὁ δὲ Σκήψιος Δημήτριός (fg 51 Gaede) φησι τοὺς τὴν Ἰωλκὸν οἰκοῦντας Μινύας προσαγορεύεσθαι. 238 Παγασα ί: ἀκρωτήριον Μαγνησίας· ὠνομάσθη δὲ ἀπὸ τοῦ ἐκεῖ πεπῆχθαι τὴν Ἀργώ. ὁ δὲ Σκήψιος (Demetrii Scepsii fg 52 Gaede) ἀπὸ τοῦ πηγαῖς περιρρέεσθαι τοὺς τόπους. ἔστι δὲ καὶ Παγασαίου Ἀπόλλωνος ἱερόν. 240 ἀστέρες ὣς νεφέ〈εσσι〉 : πρὸς τὸ γένος καὶ τὴν τύχην καὶ τὴν ἀνδρίαν ἀπιδών, ἀστέρας μὲν τοὺς ἥρωάς φησι, νεφέλας δὲ τοὺς δημοτικοὺς ὄχλους. 242—43 πόθι τόσσον ὅμιλο ν: οὐχ ὑγιῶς τὸ πόθ ι· ἔστι γὰρ τοῦ ἐν τόπῳ δηλωτικόν. ἔδει οὖν ποῖ εἰπεῖν. τὸ δὲ ἔκτοθι βάλλει ἀντὶ τοῦ ἀποστέλλει. Παναχαιίδα δὲ τὴν Θεσσαλίαν φησίν, ὅτι αὕτη πρώτη ἐκλήθη Ἀχαία ἀπὸ Ἀχαιοῦ τοῦ Ξούθου. 244 πυρὶ δῃώσεια ν: συμφλέξειαν, καταπολεμήσειαν, καταστρέψειαν. δόμους δὲ τὴν χώραν, τὴν γῆν, συνεκδοχικῶς. 246a ἀλ λ ’ οὐ φυκτὰ κέλ〈ευθα〉 : ἀλλ’ οὐκ ἐκφεύξιμος αὐτοῖς ἡ ὁδός, κατ’ ἀνάγκην γάρ ἐστιν· οὐδὲ ἄπρακτος ὁ ἆθλος, ἀνύσουσι γὰρ ῥᾳδίως, οἷον εὐκατόρθωτος· [ἢ οὕτως] ὥστε εἶναι τὸν λόγον· ἀλλ’ οὐχ ὑποφεύξιμα, οἷον ἀδύνατον ἦν αὐτοῖς μὴ ἐπιτελέσαι τὴν ἐπιταγήν, 〈...〉. b πόνος δ ’ ἄπρηκτος ἰοῦσι ν: κατὰ κοινοῦ τὸ ο ὐ, ἵνα ᾖ· ἀλλ’ οὐ φυκτὰ κέλευθα οὐδὲ ὁ πόνος ἄπρακτος, πρὸς τὸ αὐτῆμαρ δὲ δόμους ὀλοῷ πυρὶ δῃώσειαν Αἰήτεω ὅτε μή σφιν ἑκὼν δέρος ἐγγυαλίξ ῃ. οἱ δὲ οὕτως· 〈 οὐ φυκτά 〉 οὐκ εὔπλοα 〈καὶ〉 ἄπρηκτος δύσπρακτος, δυσεργής, δυσκατόρθωτος. 247—49a 〈 αἱ δὲ γυναῖκε ς:〉 καὶ τοῦτο ὡς πρὸς γυναικείαν φύσιν.

30 ἄγαν θαυμαστῶς πρὸς τὰς φύσεις καὶ τοὺς λόγους ἀμφοτέροις ἀνέπλασεν. τοῖς μὲν γὰρ ἀνδράσιν, ἐπεὶ θρασυτέρα ἡ φύσις, ἄνυσιν καὶ τέλος τῶν μελλόντων εἰσάγει, ταῖς δὲ γυναιξίν, ἐπεὶ ἀσθενέστεραι, εὐχὰς καὶ ἱκεσίας ποιεῖ. τοιαῦται γὰρ ἐπὶ τῶν μεγάλων καὶ φοβερῶν πραγμάτων αἱ γυναῖκες. b νόστοιο τέλος θυμηδέ ς: θυμῆρες. 251—52 δειλὴ Ἀλκιμέδ η: ἐπίπονε. ὁ δὲ νοῦς· εἰ καὶ ὀψέ, ὅμως δ’ οὖν ἦλθε καὶ σοὶ κακόν, Ἀλκιμέδη. λείπει δὲ ἡ διὰ πρόθεσις· καὶ οὐ διετέλεσας λαμπρῶς τὸν βίον, αὐχοῦσα ἐπὶ τοιούτῳ υἱῷ. 254—55a 〈 εἰ τὸ πάροιθε ν :〉 [ ἧ τέ οἱ ἦε ν ] πρὸ τοῦ τὸν ἆθλον ἐπιστῆναι. κακῶν δὲ ἤτοι τῶν ἰδίων ἢ τῶν μελλόντων ἐπιτελεῖσθαι τοῖς Ἀργοναύταις. b κτερέεσσι ν: ἐνταφίοις. L g (P) 256—59 ὡς ὄφελεν καὶ Φρίξο ν: λέγεται γάρ, ὅτι τῆς Ἕλλης καταπεσούσης ἀγωνιῶντι τῷ Φρίξῳ κατὰ Διὸς βούλησιν ἐφθέγξατο θαρσύνων αὐτὸν ὁ κριὸς διασώσειν αὐτὸν εἰς τὴν Σκυθίαν. τοῦτο δὲ αὐτὸ τῇ Ἀλκιμέδῃ ἔμελλε κακὸν γενέσθαι τοῦ υἱοῦ ἐκεῖσε στελλομένου. ἡ δὲ ἱστορία κεῖται παρὰ Ἑκαταίῳ (1 fg 17 J.), ὅτι ὁ κριὸς ἐλάλησεν. ἔνιοι δέ φασιν αὐτὸν ἐπὶ κριοπρώρου σκάφους πλεῦσαι. Διονύσιος δὲ ἐν β′ (32 fg 2b J.) Κριόν φησι Φρίξου τροφέα γενέσθαι καὶ συμπεπλευκέναι αὐτῷ εἰς Κόλχους· διὸ καὶ μεμυθεῦσθαι τὰ περὶ τῆς τοῦ κριοῦ θυσίας αὐτόθι. 260 ἐπὶ προμολῇσ ι: 〈ἐπὶ〉 τῇ ἐξόδῳ τῶν ἀριστέων· ἀπὸ τοῦ εἰς τοὔμπροσθεν μολεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐντεῦθεν καὶ τὰς πρώτας προβάσεις τῶν ὀρῶν προμολὰς λέγουσι. 262—63a 〈 βεβολημέν η:〉 λύπῃ βλαβεῖσα ἢ δυσθυμοῦσα. L g b ὀξὺ δ ’ ἑκάστη ν: μετενήνεκται ἀπὸ τῶν κατὰ τὴν ἁφήν, ὡς παρ’ Ὁμήρῳ (Λ 269)· ‘ὡς δ’ ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξύ‘.

31 ἄχος δέ ἐστι σύγχυσις ψυχῆς, λύπη ἐπιτεταμένη· σαφὲς δὲ ἐκ τοῦ λέγειν τὸν ποιητήν (ο 358)· ‘ἡ δ’ ἄχεϊ οὗ παιδὸς ἀπέφθιτο‘. 264 ἐντυπὰς ἐν λεχ〈έεσσιν 〉 : ἄγαν περιεσφιγμένος, ὡς πάντα τὰ μέλη ἐκτυποῦσθαι ἐκ τῆς σφίγξεως. ἐντυπὰς δὲ λέγεται καὶ ὁ περιβεβλημένος κατὰ τῆς ὄψεως οὕτως ὡς καὶ τὸν τύπον διὰ τοῦ ἱματίου θεωρεῖσθαι. 265 〈 ἔπειτ α:〉 ἀντὶ τοῦ δή· ἡ γὰρ ἔπειτα φωνὴ τῷ δή ἰσοδυναμεῖ νῦν. L g 266 νῦν λέγει τὴν αἰτίαν, δι’ ἣν οἱ δοῦλοι συνηθροίζοντο. L g 267 κατηφέε ς: κατάστυγνοι διὰ τὴν λύπην. τὸ δὲ ἠείροντο παθητικὸν ἀντὶ ἐνεργητικοῦ κεῖται τοῦ ἤειρον. 268 〈 ἐπεχεύατ ο:〉 ἀντὶ τοῦ ἐπέθηκεν, ἐπέβαλεν. L g 269—72a ἀδινώτερο ν: ὅμοιον τὸ σχῆμα τῷ ‘μελάντερον ἠύτε πίσσα‘ (Δ 277)· τὸ γὰρ συγκριτικὸν ἔλαβεν ἀντὶ τοῦ ἀπολελυμένου. b ἠύτε κούρ η: ἀκαταλλήλως τὴν παραβολὴν τέθεικεν· ὑποτίθεται γὰρ γραῦν μὲν τὸν Ἰάσονα, κόρην δὲ τὴν μητέρα· ἔδει δέ, φασί, κατὰ τὸ ἐναντίον ταῦτα τάξαι. ἀλλ’ ἐροῦμεν, ὅτι προσφόρως ὑπόκειται ὁ Ἰάσων οὐ κατὰ τὴν ἡλικίαν, ἀλλὰ κατὰ τὴν γηροκομίαν τῆς μητρός —καὶ γὰρ ἡ γραῦς τὴν κόρην ἀνατρέφει—, ὡς ἡ μήτηρ πρός τε τὸ ἀφερέπονον διὰ τὴν ἡλικίαν—καὶ γὰρ τὸ γῆρας καὶ ἡ βραχεῖα ἡλικία παρεοίκας—καὶ πρὸς τὸ χρήζειν τῆς τρεφούσης. μητρυιὰ δὲ ὥσπερ ἀπηνὴς ἐπικειμένη ἐστὶν ὁ Πελίας. τὸ δὲ κηδεμονῆες ἀπὸ τοῦ κηδεμόνες παρῆκται.

32 οὕτω δὲ λέγονται οἱ κατὰ γάμον οἰκεῖοι, οἱ κηδεσταὶ καὶ κηδόμενοι. c 〈 οἰόθε ν:〉 ἀντὶ τοῦ οἴῃ. L g d 〈 πολιή ν:〉 γραῦν. L g e 〈 μύρετα ι:〉 κλαίει, θρηνεῖ. L g f 〈 ᾗ οὐκ εἰσὶν ἔ τ ’ ἄλλο ι:〉 τοῦτο καὶ πρὸς τὴν Ἀλκιμέδην, ᾗ οὐκ εἰσὶν ἄλλοι παῖδες. L m g 〈ὑπὸ μητρυιῇ〉 βίοτον βαρὺν 〈ἠγηλάζει 〉 : λείπει τὸ οὖσα· ὑπὸ μητρυιᾷ οὖσα κακὴν ζωὴν διάγει. τίθεται γὰρ τὸ βίοτος καὶ ἐπὶ τῆς ζωῆς ὡς νῦν καὶ ἐπὶ τοῦ πλούτου. τὸ δὲ ἡγηλάζει καὶ ἠλάσκει κατὰ τοῦ αὐτοῦ πράγματος κεῖται· δηλοῖ δὲ τὸ ἐπὶ τῷ αὐτῷ τόπῳ διατρίβειν καὶ ἐνέχεσθαι καὶ ἐν [τῷ] αὐτῷ ἀναστρέφεσθαι. ἐπὶ γὰρ τῶν μυιῶν φησιν Ὅμηρος (Β 470)· ‘αἵτε κατὰ σταθμὸν ποιμνήιον ἠλάσκουσι‘ καί (ι 457)· ‘ὅππῃ κεῖνος ἐμὸν μένος ἠλασκάζει‘. 273a 〈 νέο ν:〉 νεωστί. L g b 〈 ἐστυφέλιξε ν:〉 ἀντὶ τοῦ καθήψατο, ἐλύπησεν. L g 275a ἐκφλύξα ι: ἀντὶ τοῦ εἰπεῖν. φλύζειν δὲ κυρίως τοὺς λέβητάς φαμεν καιομένους ἀναβάλλειν τῇ θερμότητι τὸ ὕδωρ. περισπᾶται δὲ τὸ ὀρεχθεῖν ὡς ποιεῖν· ἔστι δὲ μίμημα φωνῆς ἀνάρθρου. Ὅμηρος (Ψ 30)· ‘πολλοὶ μὲν βόες ὀρέχθεον‘. δεῖ δὲ μᾶλλον ἀκούεσθαι ἐπὶ τοῦ στένειν. b 〈 ὀρεχθε ῖ:〉 τραχύνεται. καὶ Ὅμηρος (ε 83)· ‘ἐν ἄλγεσι θυμὸν ὀρεχθῶν. L m (P) c. ἔοικε δὲ τὸ μὲν διὰ τοῦ ο περισπώμενον εἶναι, ὀρεχθῶ, τὸ δὲ διὰ τοῦ ε βαρύτονον [ὄν], ἐρέχθω. P 277 〈 κηδοσύνῃσι ν:〉 ταῖς λύπαις ἐνεχομένη. L m 278a 〈 ἐξειπόντο ς:〉 περιττὴ ἡ ἔξ. L g b 〈 ἄκουσ α:〉 Ἰωνικῶς. L g 280 〈 κηδέω ν:〉 τῶν λυπῶν. L g 283a ἄλλα δὲ πάντα θρεπτή〈ρια 〉 : τὰ μὲν ἄλλα πάντα 〈θρεπτήρια〉 —ἀντὶ τῶν τροφείων—παρὰ σοῦ ἔχω, λοιπὸν δὲ ἐπεθύμουν παρὰ σοῦ περισταλῆναι.

33 L b τὸ δὲ πέσσειν ἀντὶ τοῦ ἔχειν. P 284a Ἀχαιιάδεσσ ι: ταῖς Θεσσαλαῖς, ἀπὸ Ἀχαιοῦ τοῦ Φθίου. Ὅμηρος (Β 684)· ‘Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί‘. L b 〈 ἀγητ ή:〉 διὰ τὴν σὴν παρουσίαν. L g 285—86a δμωὶς ὅπω ς: ἐν τῇ προεκδόσει κεῖται· ‘βείομαι οὐλομένοισιν ὀιζυρὴ ἀχέεσσιν‘ καὶ τὰ ἑξῆς ‘σεῖο πόθῳ φίλε κοῦρε δυσάμμοροσ‘. b 〈 σεῖο πόθ ῳ:〉 διὰ τὴν σὴν ἀπουσίαν. L g 287 ᾧ ἔπι μούνῳ : ἄρρενι μόνῳ. εἶχεν γὰρ ἀδελφὴν Ἱππολύτην, ὥς φησιν Ἴβυκος (fg 39 B. III 249). 288 μίτρην πρῶτον ἔλυ〈σα 〉 : λύουσι γὰρ τὰς Ζώνας αἱ πρώτως τίκτουσαι καὶ ἀνατιθέασιν Ἀρτέμιδι· ὅθεν καὶ Λυσιζώνου Ἀρτέμιδος ἱερὸν ἐν Ἀθήναις. 292 κινύρετ ο: ἐθρήνει. κυρίως δὲ κινύρεσθαί ἐστιν ἐπὶ βοὸς καὶ εἴρηται παρὰ τὸ κινεῖν τὴν οὐρὰν ἐν τῷ μυκᾶσθαι. καὶ Ἀπίων δὲ εὑρὼν τὴν ἐτυμολογίαν παρὰ Ἀπολλοδώρῳ (244 fg 277 J.)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταύτην, ὅτι ταῦρος λέγεται παρὰ τὸ τείνειν τὴν οὐράν, μετέθηκε τὴν εὕρεσιν τῆς ἐτυμολογίας. 293a 〈 ἐπισταδό ν:〉 ἐφεστηκυῖαι. L g b 〈 τήν γ ε:〉 τὴν μητέρα. L g 294 〈 παρηγορέω ν:〉 παραμυθούμενος. L g 296a ὧδε λίη ν: πάνυ τετηρημένως. ἀδύνατον γὰρ μητέρα εἰς τοσοῦτον κίνδυνον ἐξιόντος παιδὸς μὴ κλαίειν. b 〈 ἐπεὶ οὐ μέ ν:〉 πρὸς τὸ παρ' Ὁμήρῳ (Ω 524)· ‘οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο‘.

34 L m (P) 297a ἀλ λ ' ἔτι κε ν: παρὰ τὸ Ὁμηρικὸν καὶ τοῦτο (Ω 551)· ‘πρὶν καὶ κακὸν ἄλλο πάθῃσθα‘. L m (P) b ἄροι ο: λάβοις. ὅθεν καὶ τὸν Ἄρη τινὲς ἐτυμολογοῦσιν, ἀπὸ τοῦ λαμβάνειν καὶ ἀφελέσθαι ἐν πολέμῳ. ὁ δὲ λόγος· ἐπὶ κακῷ κακὸν ἀποίσῃ. 298 〈 ἀίδηλ α:〉 ἀπροόρατα. L g 299 ἀνιάζουσά περ ἔμπ 〈ησ 〉 : ὅτι ὁ πὲρ σύνδεσμος τίθεται πολλάκις ἀντὶ τοῦ γὲ καὶ δή. ‘μήδ' οὕτως ἀγαθός περ ἐών‘ (A 131) οὕτως Ἀρίσταρχος ἀπέδωκεν ‘ἀγαθὸς δὴ ὤν‘· καί ‘φυγόντι περ αἰπὺν ὄλεθρον‘ (ρ 47) ‘φυγόντι δή‘. ἢ τὸ ἑξῆς οὕτως· τῶν μοῖραν καίπερ κατὰ θυμὸν ἀνιάζουσα ὅμως τλῆθι φέρειν. 300 〈 συνημοσύνῃσι ν:〉 συνθήκαις, συμβουλαῖς. L g 302a 〈 ἔχρ η:〉 ὡς τὸ ἔφη καὶ ἔχρη. L g b ἔχρ η: ἀντὶ τοῦ· ἐχρησμῴδησε περὶ τῆς ναυτιλίας. c ἀτὰρ μετέπειτά γ ε: ἐπὶ δὲ τοῖς προειρημένοις, τῇ τε Ἀθηνᾷ καὶ ταῖς θεοπροπίαις, ἔτι θάρσει καὶ ἐπὶ τῇ τῶν ἀριστέων ἀρωγῇ τουτέστι βοηθείᾳ. L 303 ἀλλὰ σὺ μὲν νῦν αὖθ 〈ι 〉 : παρὰ τὸ Ὁμηρικόν (φ 350)· ‘ἀλλ' εἰς οἶκον ἰοῦσα‘. 304 μὴ δ ' ὄρνις ἀεικελ 〈ίη 〉 : πάλιν παρὰ τὸ Ὁμηρικόν (Ω 218 sq.)· ‘μηδέ μοι αὐτὴ ὄρνισ‘ [ἀεικελίη]. 305 κεῖσε δ ' ὁμαρτήσουσιν ἔτα ι: ἐπὶ Σκυθίαν συνελεύσονται. καὶ τὸ ὁμοῦ τυχεῖν ὁμαρτεῖν φασιν. ἔται δὲ ἀντὶ τοῦ ἑταῖροι. [οὐκ] ἔστι δὲ συνώνυμος ἡ λέξις, κατὰ ἀποκοπὴν δὲ ἐξενήνεκται.

35 πρῶτος δὲ Ὅμηρος κέχρηται λέγων (Π 456) ‘κασίγνητοί τε ἔται τε‘. διὸ καὶ κατὰ τὸ πλεῖστον ἐκ πλήρους ἐκφέρεται (ε 141)· ‘οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι‘. 306 προτέρως ε: ἀντὶ τοῦ εἰς τοὔμπροσθεν· ‘οὐδ' ἄρα μοι προτέρω νῆες κίον‘ (ι 64). 307 οἷος δ ' ἐκ νη 〈οῖο 〉 : οἰκεία ἡ παραβολή· ὅ τε γὰρ Ἰάσων νέος καὶ ὁ Ἀπόλλων νέος. L 308a Δῆλος μία τῶν Κυκλάδων νήσων, ἱερὰ Ἀπόλλωνος, ἣ πρὶν μὲν ἄδηλος, ὕστερον δὲ Ἀστερία διὰ τὸ σχῆμα, πάλιν δὲ Ὀρτυγία ἀπὸ τῆς ἀδελφῆς τῆς Λητοῦς. b ἠὲ Κλάρο ν: τόπος τῆς Κολοφῶνος ἀνιερωμένος Ἀπόλλωνι καὶ χρηστήριον ἔχων τοῦ θεοῦ, ὑπὸ Μαντοῦς τῆς Τειρεσίου θυγατρὸς καθιδρυμένον ἢ ὑπὸ Κλάρου τινὸς ἥρωος, ὡς Θεόπομπος (115 fg 346 J.). Νεάνθης (84 fg 42 J.) δέ φησιν, ὅτι κατὰ κλῆρον ὁ Ἀπόλλων ἔλαχε τὴν πόλιν καὶ ἀπὸ τοῦ κλήρου οὕτως αὐτὴν ὠνομάσθαι· ἢ διὰ τὸ αὐτόθι κληρώσασθαι Ποσειδῶνα Δία Ἅιδην. οἱ δὲ τὴν Θηβαΐδα γεγραφότες (Epigon. fg 4 Kink.) φασίν, ὅτι ὑπὸ τῶν Ἐπιγόνων ἀκροθίνιον ἀνετέθη Μαντὼ ἡ Τειρεσίου θυγάτηρ εἰς Δελφοὺς πεμφθεῖσα, καὶ κατὰ χρησμὸν Ἀπόλλωνος ἐξερχομένη περιέπεσε Ῥακίῳ τῷ Λέβητος υἱῷ Μυκηναίῳ τὸ γένος. καὶ γημαμένη αὐτῷ—τοῦτο γὰρ περιεῖχε τὸ λόγιον, γαμεῖσθαι ᾧ ἂν συναντήσῃ—ἐλθοῦσα εἰς Κολοφῶνα καὶ ἐκεῖ δυσθυμήσασα ἐδάκρυσε διὰ τὴν τῆς πατρίδος πόρθησιν. διόπερ ὠνομάσθη Κλάρος ἀπὸ τῶν δακρύων. ἐποίησεν δὲ Ἀπόλλωνι ἱερόν. λέγεται δὲ καὶ κρήνην ἀναβλύσαι ἀπὸ τῶν δακρύων Μαντοῦς κατὰ Κλάρον.

36 ὁ δὲ Ῥάκιος οὕτως ὠνομάζετο διὰ τὴν πενιχρότητα καὶ κακοειμονίαν. 〈ὀνομάζεται δὲ καὶ Λάκιος·〉 συγγενὲς γὰρ τὸ λ τῷ ρ , ὡς ὑδρηλοὶ (ι 133) ἀντὶ τοῦ ὑδρηροί. 311—12a 〈 κεκλομένω ν:〉 πάντων ὁμοῦ κελευομένων καὶ ἐπευφημούντων. L m b τῷ δὲ ξύμβλητ ο: τοῦτο σύμβολον πρὸς τὸ καταγωνίσασθαι τὸν ἆθλον, ὅτι τε πρεσβυτέρα καὶ ὅτι ἱέρεια. c ξύμβλητ ο: συνήντησεν. L g (P) d πολιηόχο υ: τῆς φυλασσούσης τὰς πόλεις. L e ἐν δὲ τῷ πολιήοχος ἐπεντέθη τὸ η . P f ἀρήτειρ α: ἱέρεια. 313—14a καί μιν δεξιτερῇ ς: γράφεται καὶ οὕτως 〈 χειρὸς κύρεν 〉 , ἵν' ᾖ· καὶ αὐτοῦ τῆς δεξιᾶς χειρὸς ἔθιγεν. L b οὐδέ τι φάσθα ι: προσληπτέον τὸν καί· ὅμως δὲ καὶ λαλῆσαι προθυμουμένη οὐκ ἔφθασε. τὸ γὰρ ἔμπης νῦν ἀντὶ τοῦ ὅμως. L 319 〈 δειδέχα τ':〉 ἐδεξιοῦντο ἢ προσεδέχοντο. L g 320 προμολῇ ς: ταῖς προόδοις. ἢ γράφεται προμολὼν ἀντὶ τοῦ προελθὼν ἐπέστη. L 322 καταβλώσκοντα ς: κατερχομένους,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταμολίσκοντας. τὸ β ἀντὶ τοῦμ · συγγενῆ γὰρ τὼ βπ τῷ μ . ὅθεν καὶ ὁ ψωμὸς βλωμὸς ἀπὸ τοῦ βλώσκειν διὰ τοῦ λαιμοῦ, ὅ ἐστι κατέρχεσθαι, καὶ πίτυν βλωθρὴν Ὅμηρος τὴν ἄχρι τοῦ αἰθέρος μολίσκουσαν. 323 〈 παρὲκ νόο ν:〉 παρὰ γνώμην. L g 324 δέρμα δ ’ ὁ μέ ν: σύνηθες τοῖς ἥρωσι δέρματα φορεῖν. L m (P) 325 〈 αὐτὰρ ὅ:〉 ὁ Ἄκαστος.

37 L g 354 〈 παρασχεδό ν:〉 παραχρῆμα. L g 389 〈 ἀιδν ή:〉 σκοτεινή. S m 401a ἐυστείρη ς: εὐτρόπιδος. οἰήια δὲ τὰ πηδάλια οἷον οἰήσια, ἐπειδὴ οἰήσεως χρεία τῷ κυβερνήτῃ. οἱ δὲ γλωσσογράφοι τοὺς οἴακας. b 〈 ἔρυσθα ι:〉 φυλάττειν. L g 402a 〈 λάιγγα ς:〉 λίθους. L g b 〈 ὀχλίζοντε ς:〉 κινοῦντες. L g 403a νήεον αὐτόθ〈ι 〉 : ᾠκοδόμουν, κατεσκεύαζον, ἀπὸ τῆς τῶν λίθων συνθέσεως, ἥ ἐστι νῆσις. ἢ ἐσώρευον· ἔνθεν καὶ ναῦς, ἐν ᾗ σωρεύεται ὁ φόρτος. b 〈 νηό ν:〉 γράφεται βωμόν. G g c ἐπάκτιος ὁ ἐν τῇ ἀκτῇ τιμώμενος. L m (P) 406 τείως δ ’ αὖ τ ’ ἀγέλη〈θεν ἐπιπροέηκα ν:〉 ἐν τοσούτῳ, ἐν ὅσῳ ταῦτα ἐποίουν. ἡ δὲ πρὸ πρόθεσις νῦν ἐστι τόπου δηλωτική, ἀντὶ τοῦ εἰς τοὔμπροσθεν, ὡς τό ‘ἐκ δ’ ἄγαγε πρὸ φόωσδε‘ (T 118). 407 δύω βό ε: εἰκότως ἐπὶ δυσὶ προσηγορίαις ‘Ἀκτίου Ἐμβασίου τε‘ (v. 404) δύο βοῦς ἄγουσιν. 408 κουρότερο ι: ἐπεὶ ἴσως ἀεὶ νέος ὁ θεός, καὶ οἱ τῶν ἑταίρων νεώτεροι τὴν θυσίαν ἐπιτελοῦσιν. καὶ Ὅμηρος ἐπὶ τῆς τῶν νέων θυσίας (A 470)· ‘κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο‘. ἤτοι οὖν συγκριτικῶς ἐστιν ἢ πρωτοτύπως. L 409 οὐλοχύτα ς: οἱ μὲν τὰ κανᾶ, ἐπεὶ δι’ αὐτῶν φέρεται τὰ πρὸς θυσίαν, οἱ δὲ τὰς κριθάς, ἐπειδὴ ὅλας ἔβαλλον ἐν τοῖς βωμοῖς.

38 411 Αἰσωνίδ〈α 〉 : Αἰσωνὶς πόλις τῆς Μαγνησίας ἀπὸ τοῦ πατρὸς Ἰάσονος, ὡς καὶ Πίνδαρός (fg 273 Schr.) φησι καὶ Φερεκύδης (3 fg 103 a J.). 413 ἄνυσιν καὶ πείρα θ ’ ὁδ〈οῖο 〉 : ἄνυσιν τὴν ἐνέργειαν· Ὅμηρος (Δ 56)· ‘οὐκ ἀνύω φθονέουσα‘. πείρα θ ’ ὁδοῖο αὐτὸν τὸν πλοῦν καὶ τὸ πέρας τῆς ὁδοῦ. 414 ἐπαίτιο ς: διὰ τὸ χρησμῳδῆσαι τῷ Πελίᾳ. ῥητορικῶς δὲ ὥσπερ αἰτίῳ γενομένῳ τοῦ πλοῦ τῷ θεῷ καὶ τὸ πᾶν πρᾶγμα ἀνατίθησι ὥσπερ οἰκεῖον. 416 παλίνορσον ἐς Ἑλλά〈δα 〉 : Ἑλλάδα οἱ μὲν τὴν Φθίαν φασὶ συνωνύμως, ἡμεῖς δὲ χώραν ὑπολαμβάνομεν εἶναι Ἑλλάδα, οὐ μέντοι γε τὴν αὐτὴν τῇ Φθίᾳ. 419 Ὀρτυγίη ν: περὶ τῆς Ὀρτυγίας Φανόδικος ἐν τοῖς Δηλιακοῖς (fg 2 M. IV 473) ἱστόρηκεν. καὶ Νίκανδρος ἐν τῷ α′ τῶν Αἰτωλικῶν ἐκ τῆς ἐν Αἰτωλίᾳ Ὀρτυγίας φησὶ τὴν Δῆλον ὀνομασθῆναι, γράφων τάδε (fg 5 Schn.)· ‘οἱ δ’ ἐξ Ὀρτυγίης Τιτηνίδος ὁρμηθέντες. οἱ μὲν τὴν Ἔφεσον, οἱ δὲ τὴν πρότερον Δῆλον καλουμένην, ἄλλοι δὲ τὴν ὁμοτέρμονα Σικελίᾳ νῆσον, 〈...〉 ὅθεν Ὀρτυγίαι πᾶσαι βοῶνται‘. καὶ ἡ Δῆλος οὖν οὐχ, ὡς μεμύθευται, ἀπὸ τῆς Ἀστερίας μεταμορφώσεως τῆς Λητοῦς ἀδελφῆς, ἀλλὰ καθὸ πᾶσαι Ὀρτυγίαι ἀποικίαι εἰσι τῆς κατ’ Αἰτωλίαν Ὀρτυγίας.

39 421a ἐπίβαθρ α: ἐπιβατήρια, μισθόν· νυνὶ δὲ τιμὴν ὑπὲρ τοῦ εὐτυχῶς ἐπιβῆναι νῦν πρῶτον τῆς νεώς. b προτεθείμεθ α: ἀντὶ τοῦ ποιοῦμεν· θεῖναι γὰρ τὸ ποιῆσαι. 424 εὐδιόωντε ς: εὐδίως πλέοντες. L g (P) 425 προχύτα ς: οἱ μὲν τὰς κριθάς, οἱ δὲ τὸ ὕδωρ, ὃ εἰώθασιν ἐμβάλλειν εἰς τὸ οὖς τοῦ ἱερείου ὑπὲρ τοῦ ἐπινεύειν τὸ ἱερεῖον. λείπει δὲ ἡ σύν. 426a 〈 ζωσάσθη ν:〉 ἀντὶ τοῦ ἀνέστησαν. L g b τὸ ζώσασθαι ἀντὶ τοῦ ἀναστῆναι ἢ ἑτοιμασθῆναι. σημαίνει δὲ καὶ τὸ ὁπλίσασθαι. P 430a χαλκείῳ πελέκε ι: Ἀπολλώνιός φησιν ἐν τῷ α′ τῶν Ὑπομνημάτων (M. IV 314) τὸν σίδηρον ὑπὸ τῶν ἀρχαίων χαλκὸν λέγεσθαι, ἀγνοῶν ὅτι μηδέπω εὑρεθέντος σιδήρου χαλκῷ ἐχρῶντο, ὡς καὶ Ἡσίοδός φησι (Op. 151)· ‘χαλκῷ δ’ εἰργάζοντο, μέλας δ’ οὐκ ἔσκε σίδηροσ‘. b 〈 τένοντα ς:〉 τὰ νεῦρα, παρὰ τὴν τάσιν. L g 431a περιρρηδὴς κερ〈άεσσιν 〉 : ἐπὶ πρόσωπον μεθ’ ὁρμῆς κατενεχθείς, ἐπιρραγεὶς εἰς τοὔμπροσθεν. ἢ [ἐπενεχθεὶς] ἀντὶ τοῦ περιφερόμενος, ὡς καὶ παρὰ τῷ ποιητῇ (χ 84 sq.)· ‘περιρρηδὴς δὲ τραπέζῃ κάππεσεν‘. Ἀντίμαχος δὲ τὸ κατὰ κύκλον πεσεῖν οὕτω λέγει. νῦν δὲ ἀντὶ τοῦ ἐπενεχθεὶς εἰς τὸ ἔμπροσθεν. b 〈 περιρρηδή ς:〉 περιφερής.

40 G g S m 434 καλύψαντες πύκα δημ ῷ: τῷ ἐπίπλῳ, ᾧ ἐνειλοῦσι τὰ ἱερεῖα, ἵνα εὐκαέστατα ὦσι. 436 θηεύμενο ς: τὸ θηεῖσθαι Ὅμηρος ἐπὶ τοῦ θαυμάζειν τίθησιν (κ 180)· ‘θηήσαντ’ ἔλαφον‘· ὁ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀπολλώνιος ἐπὶ τοῦ βλέπειν. L 437 〈 λιγνύ ν:〉 κάπνον. L g 438 πορφυρέαις ἑλίκεσσι ν: ταῖς τοῦ καπνοῦ συστροφαῖς πορφυριζούσαις, ταῖς τοῦ πυρὸς καμπαῖς καὶ [οἷον πορφυριζούσαις] εἰλήσεσιν· ἐναργὴς δὲ ἡ φράσις. 441 κῶας ἄγοντα ς: ἔδει ‘ἄγουσιν‘ εἰπεῖν πρὸς τὸ ὑμῖν (v. 440). καὶ ὁ ποιητὴς δέ (Α 541)· ‘αἰεί τοι φίλον ἐστὶν ἐμεῦ ἀπονόσφιν 〈ἐόντα〉‘. L 444 Ἀσίδο ς: ἡ Ἀσία ὠνομάσθη ἀπὸ Ἀσίας τῆς Προμηθέως μητρὸς καὶ Ἄτλαντος, οἱ δὲ ἀπὸ τοῦ πολλὴν ἄσιν ἔχειν. L 445—47a ὧδε κακοῖς δεδα〈ώσ 〉 : οὐκ ἐκ τῶν καθόλου, ἀλλ’ ἐκ τῶν ἐμοὶ βλαβερῶν. ὑπέρβατον δέ ἐστι καὶ πλεονάζει ὁ καὶ σύνδεσμος, λείπει δὲ ἡ ἐξ πρόθεσις, καὶ 〈ἡ〉 πτῶσις ἐνήλλακται, δοτικὴ ἀντὶ γενικῆς. ἔστι δὲ καὶ τὸ ῥῆμα συντελικόν, ἀντὶ τοῦ ἐξῆλθον. ὁ δὲ λόγος οὕτως· ἔμπροσθεν ἐκ κακῶν οἰωνῶν ἐγνωκὼς τὸν ἐμαυτοῦ μόρον ἐξῆλθον ἐκ τῆς πατρίδος, ἵνα ὑμῖν συμπλεύσας κλέος ἀπενέγκωμαι. L b ὄφ ρ ’ ἐπιβαίη ν: ὑπέρβατόν ἐστι. τὸ δὲ ἑξῆς· ὄφρ’ ἐπιβαίην νηός, ἐπιβάντι δὲ τῆς νηὸς ἡ εὐδοξία τοῖς οἴκοις λίποιτο. L 450 σταθερό ν: ἀντὶ τοῦ καυματηρὸν καὶ θερμόν· λέγει δὲ τὴν μεσημβρίαν ἐκ τοῦ συμβαίνοντος, ἐπειδὴ μεσουρανήσας ὁ ἥλιος θερμαίνει πάντα διὰ τὸ πανταχόθεν ἐπίσης ἀπέχειν τῶν ὑποκειμένων· ἢ διὰ τὸ ἑστηκέναι, ἧττον γὰρ δοκεῖ τότε κινεῖσθαι ὁ ἥλιος.

41 454 πολιο ῦ: διὰ τὸ λευκαίνεσθαι ὑπὸ τῶν κυμάτων κλυζόμενον. φυλλάδα δὲ τὴν στιβάδα τῶν φύλλων. 456a λαρό ν: παρὰ τὸ λίαν ἀρηρὸς ἢ παρὰ τὸ λῶ τὸ θέλω πεποίηται. Ἡσίοδος δέ φησι (fg 207 Rz. 2 ) ‘λαροῖς ποσίν‘ τοῖς κατ’ ὄψιν ἡδέσιν. b 〈 λαρό ν:〉 ἡδύ. L g 459a ἐψιόωντα ι: παρὰ τὴν ἐψίαν, ἥ ἐστι διὰ λόγων παιδιά, οἷον ἐπεσία τις οὖσα παρὰ τὸ ἔπος. διὸ καὶ ψιλοῦται. ὅτε δὲ δασύνεται, ἀντὶ τοῦ ἀκολουθοῦσιν. b 〈 ἐψιόωντα ι:〉 διὰ λόγου μετριάζουσιν. S m c ἄατο ς: ἡ ἄγαν βλαπτική· τὸ γὰρ α τὸ πρῶτον ἐπίτασίς ἐστιν, ὡς ἀχανὲς καὶ ἀτενές. L 461 πορφυρέεσκε ν: ἀντὶ τοῦ κατὰ βάθους ἐνεθυμεῖτο· πορφύρα γάρ ἐστιν εἶδος ἰχθύος ἐν βάθει εὑρισκόμενον. ἢ ἀντὶ τοῦ ἐμερίμνα καὶ τὸν τῆς γῆς καὶ τὸν 〈τῆσ〉 θαλάσσης κίνδυνον. 462 〈 ὑποφρασθεί ς:〉 θεωρήσας. L g 468 Ζεὺς τόσο ν: περὶ τοῦ Κύκλωπος Ὅμηρος (ι 277)· ‘οὐδ’ ἂν ἐγὼ Διὸς ἄχθος ἀλευάμενος πεφιδοίμην‘. διὰ τούτων δὲ αὐτοῦ ἡ ὑπερηφανία δηλοῦται. καὶ Ὅμηρος δὲ ἀσεβῆ αὐτὸν λέγει (Ι 559)· ‘καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον‘. 471 τοῖον μ ’ Ἀρήνη〈θεν 〉 : Ἀρήνη πόλις Πελοποννήσου· νῦν δὲ Ἔρανα λέγεται, ὥς φησι Πείσανδρος (16 fg 3 J.). φησὶ δὲ ὑπερηφάνως, ὡς οὐ φέρεις με σύμπλουν, ἀλλὰ βοηθόν. 473 χαλίκρητο ν: τὸν ἄκρατον, τὸν χαλῶντα τὰς φρένας.

42 Ἀθηναῖοι δὲ τὸν ἄκρατον χάλιν λέγουσιν. Αἰσχύλος (fg 448 N. 2 ) δὲ καὶ τὰς Βάκχας χαλιμάδας φησὶ λέγεσθαι. 475 Ἴδμων δὲ κα〈ί 〉 : οἰκείως τὸν Ἴδμονα ὡς μάντιν ὄντα ποιεῖ ἐναντιούμενον τῷ Ἴδᾳ ἐχθρῷ ὄντι Ἀπόλλωνι. 477 〈 ζωρό ν:〉 τὸ ἄκρατον. L g 478a οἰδάνε ι: ἐπαίρει, μετεωρίζει, θρασύνει· ἡ δὲ μεταφορὰ ἀπὸ τῆς θαλάσσης, ὅταν ἄρξηται μετεωρίζεσθαι. b 〈 οἰδάνε ι:〉 ἀναπείθει. S m 481a 〈 ἐπιφλύει ν:〉 ὑβρίζειν, φλυαρεῖν. L g S m b τὸ ἐπιφλύειν ἀντὶ τοῦ φλυαρεῖν καὶ λοιδορεῖν. P 482a Ἀλωιάδα ς: τὴν περὶ τούτων ἱστορίαν καὶ Ὅμηρος (Ε 385 sqq. λ 305 sqq.) οἶδεν. Ἐρατοσθένης (241 fg 35 J.) δὲ γηγενεῖς αὐτούς φησι, διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ τῆς Ἀλωέως γυναικὸς μυθευθῆναι ὡς Ἀλωέως εἰσὶν υἱοί. Ἡσίοδος (fg 9 Rz. 2 ) δὲ Ἀλωέως καὶ Ἰφιμεδείας κατ’ ἐπίκλησιν, ταῖς δὲ ἀληθείαις Ποσειδῶνος καὶ Ἰφιμεδείας ἔφη, καὶ Ἄλον πόλιν Αἰτωλίας ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι, ἧς Ὅμηρος (Β 682) μνημονεύει· ‘οἵ τ’ Ἄλον εἶχον‘. b 〈 Ἀλωιάδα ς:〉 τοὺς Ἀλωέως. S m c οὐ δ ’ ὅσο ν: οὐδὲ ὀλίγον. L g (S g) ( P) 485 ἐκ δ ’ ἐγέλασσ ε: καὶ τοῦτο κουφότητος σημεῖον, εἴγε καὶ Ἰσοκράτης (Ad Demon. 15) φησί· ‘μήτε γέλωτα προπετῆ στέργε‘. 486a κερτομίοισι ν: εἰρωνευτικοῖς, τὸ κέαρ τέμνειν καὶ λυπεῖν δυναμένοις. ἐπιλλίζων δὲ τοῖς ὀφθαλμοῖς ἐπιμωκώμενος· ἔπιλλοι γὰρ οἱ στραβοί. b 〈 ἐπιλλίζω ν:〉 ἀγρίως βλέπων.

43 S g 487—89a ἄγρει νυ ν: δι’ ἀμφοτέρων ἐπισκώπτει τὸν Ἴδμονα, πρῶτον μὲν ὡς ἀτεχνῆ μάντιν, δεύτερον δὲ ὡς μέγα φρονοῦντα ἐπὶ Ἀπόλλωνι τῷ πατρὶ ὡς μέγα δυναμένῳ τοὺς αὐθάδεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθαιρεῖν. τοῦτο δὲ μετὰ ἀπειλῆς δρᾷ λοιδορῶν. b 〈 ἐνίσπ ε:〉 ἔνειπε. S g c 〈 πατὴρ τεό ς:〉 Ἀπόλλων. S m 491a τὸ δὲ χρειὼ δηλοῖ καὶ τὸ κατὰ χρείαν καὶ μοῖραν λεγόμενον καὶ τὸ μέλλον. P b 〈 χρει ώ:〉 μαντείαν. S m c χρειὼ θεσπίζων μεταμώλιο ν: μεταμελείας ἄξιον. γράφεται δὲ καὶ μεταμώνιον, ὅ ἐστι μάταιον, μετὰ ἀνέμων φερόμενον. ἀπὸ γενικῆς πληθυντικῆς γίνεται κτητικὸς τύπος εἰς ος τῷ ι παραληγόμενος, οἷον ἄλλων ἀλλώνιος, ἀνέμων ἀνεμώνιος. 492 χώε τ ' ἐνιπτάζω ν: ἐχολοῦτο καὶ ὠργίζετο κακολογῶν καὶ μεμφόμενος. 494—95 λαι ῇ: κατ' εὐφημισμὸν τῇ ἀριστερᾷ. πείραζεν δὲ ἀντὶ τοῦ ἥρμοττεν. περιττὴ δὲ ἡ ἀν ά· τὸ γὰρ ἑξῆς· καὶ Ὀρφεὺς δέ. εἰ μὴ ἄρα ἐκ τῆς ἀνά τὸ ἀναστὰς λέγει· ἀναστὰς δὲ καὶ ὁ Ὀρφεύς. τοῦτο δὲ ποιεῖ, ἵνα τὰς στάσεις καὶ τὰς φιλονεικίας τῇ ἑαυτοῦ μουσικῇ καταπαύσῃ. 496—98a ἤειδεν δ ' ὡς γαῖ α: τὴν πρώτην σύγχυσιν τῶν στοιχείων ᾄδειν βούλεται, ὡς ἔκ τινος φιλονεικίας τὸ ἴδιον ἕκαστον μετέσχεν καὶ τάξιν ἔλαβεν. οἰκεία δὲ καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἡ ᾠδή, ὅτι πρέπον ἐστὶ τῆς μάχης παύσασθαι καὶ εἰς τὴν οἰκείαν διάθεσιν ἐπανιέναι. b νείκεος ἐξ ὀλοοῖ ο: Ἐμπεδοκλῆς (cf. 31 B 17 sqq. DielsKranz) φησιν, ὅτι συγκεχυμένων ἁπάντων τὸ πρότερον νεῖκος καὶ φιλία παραπεμφθέντα τὴν διάκρισιν ἐποιήσαντο, χωρὶς δὲ τούτων οὐδὲν δύναται γενέσθαι· ᾧ ἕπεται, ὡς εἰκός, καὶ Ἀπολλώνιος.

44 ὁ δὲ Θαλῆς (cf. 11 A 12 Diels—Kranz) ἀρχὴν ὑπεστήσατο πάντων 〈τὸ〉 ὕδωρ, λαβὼν παρὰ τοῦ ποιητοῦ λέγοντος (Η 99)· ‘ἀλλ’ ὑμεῖς πάντες ὕδωρ καὶ γαῖα γένοισθε‘. καὶ Ζήνων (fg 104 Arn.) δὲ τὸ παρ’ Ἡσιόδῳ (Theog. 116 sq.) χάος ὕδωρ εἶναί φησιν, οὗ συνιζάνοντος ἰλὺν γίνεσθαι, ἧς πηγνυμένης ἡ γῆ στερεμνιοῦται· τρίτον δὲ ἔρωτα γεγονέναι καθ’ Ἡσίοδον (ib. 120), ἵνα τὸ πῦρ παραστήσῃ· πυρωδέστερον γὰρ πάθος ὁ ἔρως. Ἀναξαγόρας (cf. 59 A 72 Diels—Kranz) δὲ μύδρον εἶναι τὸν ἥλιόν φησιν, ἐξ οὗ τὰ πάντα γίνεσθαι. διὸ καὶ Εὐριπίδης (Or. 983) γνώριμος αὐτῷ γεγονώς φησι χρυσέαν βῶλον τὸν ἥλιον εἶναι. τὴν δὲ σελήνην ὁ αὐτὸς Ἀναξαγόρας (59 A 77 Diels—Kranz) χώραν πλατεῖαν ἀποφαίνει, ἐξ ἧς δοκεῖ ὁ Νεμεαῖος λέων πεπτωκέναι. 501 οὔρε α: Δοῦρίς (76 fg 87 J.) φησι τοὺς ὑπὸ τῶν Γιγάντων κατενεχθέντας λίθους, τοὺς μὲν εἰς τὴν θάλασσαν πεσόντας γενέσθαι νήσους, τοὺς δὲ εἰς τὴν γῆν ὄρη. 509 Δικταῖο ν: τὸ Κρητικόν, ἔνθα ἀνετράφη ὁ Ζεύς, ὡς καὶ Καλλίμαχος (Hymn. I 4 sqq.) ἱστορεῖ. 513—15a τοὶ δ ' ἄμοτο ν: ἀντὶ τοῦ ἀμότως καὶ ἀκορέστως. ὁ δὲ νοῦς· λήξαντος δὲ τῆς ᾠδῆς ἀπλήρωτοι αὐτῆς ὄντες ἔτι προετετάκεισαν τὰς κεφαλὰς ἀνατετακότες τὰ ὦτα καὶ ἠρεμοῦντες ἐν ἡσυχίᾳ· τοιαύτη ἡδονῇ συνείχοντο. b τοῖόν σφι ν: τοιαύτην ἐπέθηκεν ἡδονὴν τοῖς ἀκούουσιν αὐτοῦ. L 516—18a οὐ δ ' ἐπιδὴν μετέπειτ〈α 〉 : οὕτως ἀναστρεπτέον τὴν φράσιν· ἔπειτα οὐκ ἐπιδὴν οὐδὲ μετὰ χρόνον κεράσαντες, ἀντὶ τοῦ εὐθέως καὶ μετολίγον. b 〈 ἡ θέμι ς:〉 ὅτι ἔθος ἦν τοῖς παλαιοῖς κρατῆρα κιρνᾶν, ὅτε μέλλοιεν καθεύδειν, καὶ τὰς γλώσσας τῶν ἱερείων ἐπιθύειν τῷ Ἑρμῇ καὶ ἐπισπένδειν οἶνον.

45 καὶ ἴσως φυσικῶς. ἐπεὶ γὰρ Ἑρμῆς λόγος εἶναι παραδέδοται, ὄργανον δὲ αὐτοῦ ἡ γλῶσσα, ἥτις ὕπνου ἐπιπεσόντος ἠρεμεῖ, εἰκότως τῷ Ἑρμῇ αὐτὴν θύουσιν. καὶ Ὅμηρος (γ 332) ‘ἀλλ’ ἄγε τάμνετε γλώσσασ‘ ἀντὶ τοῦ παύετε τοὺς λόγους. c ἡ θέμις ἐστ ί: Διευχίδας ἐν τοῖς Μεγαρικοῖς (fg 8 M. IV 390) ἱστορεῖ, ὅτι Ἀλκάθους ὁ Πέλοπος διὰ τὸν Χρυσίππου φόνον φυγαδευθεὶς ἐκ τῶν Μυκηνῶν ἤρχετο κατοικήσων εἰς ἑτέραν πόλιν. ὡς δὲ περιέπεσε λέοντι λυμαινομένῳ τὰ Μέγαρα, ἐφ’ ὃν καὶ ἕτεροι ἦσαν ἀπεσταλμένοι ὑπὸ τοῦ βασιλέως τῶν Μεγάρων, καταγωνίζεται τοῦτον καὶ τὴν γλῶτταν αὐτοῦ εἰς πήραν θέμενος ἤρχετο πάλιν εἰς τὰ Μέγαρα. καὶ ἀπαγγελλόντων τῶν ἀπεσταλμένων ἐπὶ τὴν θήραν, ὅτι αὐτοὶ εἰσιν οἱ κατηγωνισμένοι, προσκομίσας τὴν πήραν ἤλεγξεν αὐτούς. διόπερ θύσας τοῖς θεοῖς ὁ βασιλεὺς τὸ τελευταῖον τὴν γλῶσσαν ἐπέθηκεν τοῖς βωμοῖς, καὶ ἀπὸ τότε ἔθος τοῦτο διέμεινε Μεγαρεῦσι. Φιλόχορος δὲ ἐν τῷ Περὶ θυσιῶν (fg 173 M. I 413) φησιν, ὅτι τὸ κάλλιστον τοῦ σώματος καὶ πρωτεῦόν ἐστι. καὶ Ὅμηρος (γ 341)· ‘γλώσσας δ’ ἐν πυρὶ βάλλον‘. d [ κηληθμῷ:] ἐν δὲ τῇ προεκδόσει μετὰ τοῦτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γέγραπται· ‘ἦμος δὲ τριτάτη φάνη ἠὼς τῇδ’ ἐπὶ νυκτί βουθύσιον Ἑκάτοιο καταυτόθι δαινυμένοισι, τῆμος ἄρ ἐκ Διόθεν πνοιὴ πέσεν, ὦρτο δὲ Τῖφυς κεκλόμενος βαίνειν ἐπὶ σέλμασι. τοὶ δ’ ἀίοντες 〈…〉.‘ ἑξῆς δὲ τῶν ἐκκειμένων ‘σμερδαλέον δὲ λιμήν‘ (v. 524). 525 〈 ἐπισπέρχους α:〉 προτρεπομένη. L g 526—27 ἐν γάρ οἱ δόρ υ: πιθανῶς ἐκ τῆς Δωδωνίδος φησὶ δρυὸς τὸ ξύλον εἶναι ἐν τῇ Ἀργοῖ τὸ φωνῆεν, ἐπεὶ καὶ αὕτη ἐφθέγγετο, ὥς φησιν Ὅμηρος (ξ 327 sq.

46 )· ‘ὄφρα θεοῖο ἐκ δρυὸς ὑψικόμοιο βουλὴν ἐπακούσοι.‘ 528 οἱ δ ’ ἀνὰ σέλματ α: τὰς τῶν ἐρετῶν καθέδρας, τὰ σελιδώματα. καθόλου δὲ τὸ πλατὺ ξύλον σέλμα λέγεται καὶ σελίδωμα, ὅθεν καὶ τὰς σελίδας τῶν ῥαψῳδιῶν διὰ τὸ πλάτος φαμέν. 530 〈 ἔντεσι ν:〉 νῦν ταῖς κώπαις. L g 532—33 ποσσὶν ὑπεκλύσθ〈η 〉: καὶ αὐτῷ ἐπικαθεσθέντι κάτωθεν παρὰ τοῖς ποσὶ μᾶλλον ἐπεκλύσθη ἡ τρόπις τῆς νεὼς καὶ ἐν βάθει τῆς θαλάσσης ἐγένετο τῷ βάρει τοῦ ἥρωος. 536—41a ἠ̃ ἐνὶ Πυθοῖ 〈ἤ που ἐν Ὀρτυγίῃ 〉: ἐν τῇ Δήλῳ. τὸ δὲ ἑξῆς οὕτως· καθάπερ ἠίθεοι ἐν Δελφοῖς ἢ̃ ἐν Δήλῳ ἢ̃ ἐπὶ Ἰσμηνῷ περὶ τὸν βωμὸν τοῦ Ἀπόλλωνος χορὸν στήσαντες πρὸς τὸ τῆς κιθάρας μέλος ἡρμοσμένως 〈τὴν γῆν〉 κροτοῦσι τοῖς ποσίν, οὕτω καὶ οὗτοι τῇ τοῦ Ὀρφέως κιθάρᾳ κηλούμενοι σφοδρότερον πρὸς τὴν κωπηλασίαν ἤεσαν. τὸ δὲ ἑξῆς ὁμαρτῇ ῥήσσωσι ν. ἡ δὲ ὑπὸ πρόθεσις παρῆκται ὡς παρ’ Ὁμήρῳ (B 824) ‘ὑπαὶ πόδα νείατον Ἴδης.‘ b Ἰσμηνοῖ ο: Ἰσμηνὸς ποταμὸς Βοιωτίας, ἐφ’ ᾧ Ἰσμηνίου Ἀπόλλωνος ἱερόν. L m P c 〈 ἐπὶ δὲ ῥόθια κλύζοντ ο:〉 ἀντὶ τοῦ· ἐπεκλύζοντο δὲ τὰ κύματα. L g 542a 〈 ἀφρ ῷ:〉 ἀντὶ τοῦ μετὰ ἀφροῦ. L g b κήκιεν ἅλμ〈η 〉: ἀνεδίδοτο καὶ ἀνεπήδα ἑκατέρωθεν τῆς νεὼς ἡ θάλασσα. L 543 μορμύρου〈σα 〉: δεινῶς ταρασσομένη καὶ κινουμένη φοβερῶς. ἐν δὲ τῇ προεκδόσει· ‘μορμύρουσα τυπῇσιν ἐρισθενέων μένει ἀνδρῶν‘. 544 στράπτε δ ’ ὑ π ’ ἠελ〈ίῳ 〉: εἰς κόσμον τῆς νεὼς εἰώθασιν ὅπλα περιτιθέναι. 545—46 μακραὶ δ ’ αἰὲν ἐλ〈ευκαίνοντο 〉: ὁ νοῦς· ἐλευκαίνετο δὲ τὸ ὕδωρ καθάπερ ἀτραπὸς διὰ χλοηφοροῦντος πεδίου.

47 ἢ̃ ἄλλως· ὡς δήλη ἐστὶν ἡ ὁδὸς πεδίου μεταξὺ χλοηφόρου, οὕτω καὶ ὁ τύπος τῆς νεὼς ἐφαίνετο. 547—48 ἡμιθέων ἀνδρῶ ν: διὰ τούτου ἐβεβαιώσατο καὶ τοὺς θεοὺς σκοπεῖν καὶ θαυμάζειν τὸν πλοῦν· οὐ γὰρ ἁπλῶς τινες ναῦται ἦσαν, ἀλλ’ ἡμίθεοι. τὸ δὲ νῆα πρὸς πᾶν θαῦμα κεῖται ὑπὸ Ἀθηνᾶς εἰργασμένης. 551a Ἀθ〈ηναίησ〉 Ἰτωνίδο ς: Ἰτωνίας Ἀθηνᾶς ἐστιν ἱερὸν ἐν Κορωνείᾳ τῆς Βοιωτίας. ὁ μέντοι Ἀπολλώνιος οὐκ ἂν λέγοι τὴν Ἀθηνᾶν ἐπὶ κατασκευῇ τῆς Ἀργοῦς ἀπὸ τῆς ἐν Κορωνείᾳ ἐπικλήσεως, μᾶλλον δὲ ἀπὸ Θεσσαλικῆς Ἰτωνίας, περὶ ἧς Ἑκαταῖος μὲν ἐν τῇ α′ τῶν Ἱστοριῶν (1 fg 2 J.) λέγει· Ἀρμενίδας δὲ ἐν τοῖς Θηβαϊκοῖς (fg 1 M. IV 339) Ἀμφικτύονος υἱὸν Ἴτωνον ἐν Θεσσαλίᾳ γεννηθῆναι, ἀφ’ οὗ Ἴτων πόλις καὶ Ἰτωνὶς Ἀθηνᾶ. μέμνηται καὶ Ἀλέξανδρος ἐν τῷ α′ τῶν Κορίννης (fg 30 B. III 551) ὑπομνημάτων (fg 53 M. III 234). b Τριτωνίδο ς: γράφεται Ἰτωνίδο ς. L g P 554 πολιῇ δ ’ ἐπὶ κύματος ἀγ ῇ: τῷ αἰγιαλῷ, ἔνθα τὰ κύματα περιάγνυται. Σουίδας δὲ ἐν Θεσσαλικοῖς (fg 1 M. II 464) φησιν Ἰξίονος υἱὸν εἶναι Χείρωνα ὥσπερ καὶ τοὺς λοιποὺς τῶν Κενταύρων. ὁ δὲ τὴν Γιγαντομαχίαν ποιήσας (Titanomachiae fg 7 K.) φησίν, ὅτι Κρόνος μεταμορφωθεὶς εἰς ἵππον ἐμίγη Φιλύρᾳ τῇ Ὠκεανοῦ, διόπερ καὶ ἱπποκένταυρος ἐγεννήθη Χείρων.

48 τούτου δὲ γυνὴ Χαρικλώ. εἰκότως δὲ παρεισήνεγκεν εἰκόνα τοῦ Χείρωνος, καὶ ὅτι φιλάνθρωπος δικαιότατός τε Κενταύρων, καὶ διὰ τὴν οἰκειότητα τὴν πρὸς τὸν Ἰάσονα· παρ’ αὐτοῦ γὰρ ἔμαθε τὴν ἰατρικήν, ὅθεν καὶ Ἰάσων ἐκλήθη, παρὰ τὴν ἴασιν. 555 〈 τέγγ ε:〉 ἔβρεχε. L g 557 〈 ἐπωλένιον φορέουσ α:〉 ἐπὶ χειρὸς ἔχουσα. L g 558 Πηλείδην Ἀχιλ〈ῆα 〉: ἠκολούθησεν Ἀπολλώνιος τοῖς μεθ’ Ὅμηρον ποιηταῖς ὑπὸ Χείρωνος λέγων τὸν Ἀχιλλέα τραφῆναι. διαπεφωνήκασι δέ τινες καὶ περὶ τῆς Ἀχιλλέως μητρός, καθάπερ Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ δευτέρῳ τῶν Νόστων (fg 11 M. III 338), κατὰ λέξιν λέγων· ‘Σουίδας (fg 6 M. II 465) γὰρ καὶ Ἀριστοτέλης ὁ περὶ Εὐβοίας πεπραγματευμένος (M. II 142) καὶ ὁ τοὺς Φρυγίους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λόγους γράψας (cf. 68 B 299 e Diels—Kranz) καὶ Δαΐμαχος (65 fg 2 J.) καὶ Διονύσιος ὁ Χαλκιδεὺς (fg 6 M. IV 394) οὐ τὴν περὶ Ἀχιλλέως διεσπαρμένην ἀφείκασιν μένειν ἐπὶ χώρας δόξαν, ἀλλὰ τοὐναντίον οἱ μὲν ἐκ Θέτιδος αὐτὸν νομίζουσι γεγονέναι τῆς Χείρωνος, Δαΐμαχος (v. supra) δὲ ἐκ Φιλομήλας τῆς Ἄκτοροσ‘. 559 περιηγέ α: τὴν καμπὰς ἔχουσαν. L g (P) 563 μεσόδμ η: ἡ ἱστοθήκη, ὅπου τίθεται ὁ ἱστὸς καὶ κλίνεται. 564—67a πρότονοι οἱ ἀπὸ τοῦ ἱστοῦ ἐκτεινόμενοι κάλοι ἐπὶ πρώραν καὶ πρύμναν. b ἠλακάτη τὸ τοῦ ἱστοῦ λεπτότατον καὶ ἀνώτατον, ὑπὲρ ὅ ἐστι τὸ καρχήσιον. ἕως οὖν, φησί, τοῦ ἄκρου τοῦ ἱστοῦ ἀνείλκυσαν τὰ ἄρμενα. διακριδὸν δὲ διόλου ἢ διατεταμένως.

49 περόνησι δὲ τοῖς πασσάλοις τοῖς κατὰ τὰ σανιδώματα καὶ τοὺς τῆς νεὼς τοίχους, ἐφ’ ὧν τὰ τοῦ ἁρμένου σχοινία δεσμεύουσιν. c ἐ π ’ ἰκριόφι ν: τὸ ἴκριον τοῦ ἱστοῦ μέρος. φησὶ δὲ Ἐρατοσθένης ἐν τῷ Ἀρχιτεκτονικῷ (fg 60 Strecker)· ‘ἱστός· πτέρνη, καρχήσιον, θωράκιον, ἠλακάτη, κεραία, ἴκριον‘. βέλτιον δὲ νοεῖν ἴκριον τὴν καλουμένην κεραίαν, ἧς τὰ ἄκρα ἀκροκέραια. κάλωες δέ, δι’ ὧν στέλλεται τὸ ἱστίον, διὰ κρίκων διειλημμένοι. τούτων δὲ οἱ κάλοι, οἷς κατάγεται τὸ ἱστίον, μέσουροι λέγονται, οἱ δὲ ἑλκόμενοι εἰς πρώραν 〈καὶ πρύμναν〉 ἐξ ἑκατέρου μέρους τοῦ ἱστοῦ πρότονοι, οἱ δὲ κατὰ τὰς γωνίας πόδες· ἑξῆς τούτων πρόποδες, μεθ’ οὕς εἰσιν οἱ τέρθριοι λεγόμενοι, εἶτα μέσοι. ἠλακάτη δὲ τὸ ἀνώτατον τοῦ ἱστοῦ μέρος, ὥς φησιν Ἐρατοσθένης (v. supra). d κάλωας ἀ π ’ εὐθείας τῆς κάλως κατὰ Ἀττικούς. 568 Τισαίη ἀκρωτήριον Θεσσαλίας ἢ Μαγνησίας, τινὲς δὲ τῆς Θεσπρωτίας. 569 εὐθήμον ι: εὖ διατεθειμένῃ, εὐρύθμῳ, εὐποιήτῳ· θεῖναι γὰρ τὸ ποιῆσαι. 570a 〈 νηοσσόο ν:〉 τὰς ναῦς σώζουσαν. L g b νηοσσόον δέ φησι τὴν Ἄρτεμιν ἢ διὰ τὸ σώζειν τὰς ναῦς ἢ διὰ τὸ σεύειν καὶ κινεῖν αὐτάς. P 571 〈 Ἄρτεμι ν:〉 τὴν Ἄρτεμιν ὑμνεῖ διὰ τὸ τὸν τόπον ἱερὸν αὐτῆς εἶναι. L m (P) 573—74 ἄπλετο ι: ἀπροσπέλαστοι, μεγάλοι. διασκαίροντες δὲ διαψαίροντες, νηχόμενοι. διὰ δὲ τοῦ ἄμμιγα 〈παύροις 〉 τὸ τοῦ μέλους θελκτικὸν σημαίνει, οἱονεὶ μηκέτι αὐτοὺς βλάπτοντες, ἀλλὰ μεθ’ ἡσυχίας ἑπόμενοι.

50 577 〈 ὁ δέ τ ’ εἶσι πάρο ς:〉 προπορεύεται ὁ ποιμήν. L g 578 νόμιον μέλ〈οσ 〉 : ποιμενικόν, παρὰ τοὺς νομέας. ἢ νόμιον μέλος ὕμνος παρὰ τοῖς ἀρχαίοις οὕτω λεγόμενος. 580a ἠερίη πολυλή〈ιοσ 〉 : ἡ Θεσσαλία παρὰ τὸ μέλαιναν εἶναι τὴν γῆν· οὕτω γὰρ καὶ τὴν Αἴγυπτον Ἠερίαν φασίν. ἢ ἠερία ἀντὶ τοῦ πρωία ἀπὸ τοῦ ἦρι. b Πελασγῶ ν: τῶν Θεσσαλῶν ἀπὸ Πελασγοῦ τοῦ Ἰνάχου, ἢ ἀπὸ Πελασγῶν ἔθνους βαρβαρικοῦ οἰκήσαντος τὴν Θεσσαλίαν καὶ τὸ Ἄργος, ἢ ἀπὸ Πελασγοῦ τοῦ Ποσειδῶνος υἱοῦ καὶ Λαρίσης. Στάφυλος δὲ ὁ Ναυκρατίτης (fg 1 M. IV 505) Πελασγόν φησιν Ἀργεῖον τὸ γένος μετοικῆσαι εἰς Θεσσαλίαν καὶ ἀπ’ αὐτοῦ Πελασγίαν τὴν Θεσσαλίαν κληθῆναι. ὅτι δὲ καὶ αὐτοὶ οἱ Ἀργεῖοι ἐκαλοῦντο Πελασγοί, Σοφοκλῆς ἐν Ἰνάχῳ φησί (fg 270, 4 Pearson)· ‘ 〈...〉 καὶ Τυρσηνοῖσι Πελασγοῖσ‘. 581 ἐρίπνα ς: ἀπορρῶγας κολώνας, σπήλαια κρημνώδη. λέγουσι δὲ οὕτως καὶ τὰς οἰκίας ἀπὸ τοῦ ἐρηρεῖσθαι. ἐρίπνη δὲ λέγεται ἐπὶ τοῦ ἀκρωτηρίου παρὰ τὸ ἄγαν πνέεσθαι. 582 Σηπιά ς: ἀκρωτήριον ἐν Ἰωλκῷ, οὕτω καλούμενον διὰ τὸ τὴν Θέτιν ἐνταῦθα εἰς σηπίαν μεταβληθῆναι διωκομένην ὑπὸ Πηλέως. L m P 583—84a εἰναλίη Σκίαθο ς: ἡ παραθαλασσία. νῆσος γὰρ ἡ Σκίαθος τῆς Θεσσαλίας ἐγγὺς Εὐβοίας, ἧς καὶ Σιμωνίδης (fg 212 B. III 527) μέμνηται.

51 Πειρεσιαὶ δὲ πόλις Μαγνησίας. Μάγνησσα δὲ πόλις τῇ χώρᾳ ὁμώνυμος, ἄγαν εὔδιος καὶ παραθαλάσσιος. b Μάγνησσ α: τὴν Μαγνησίαν λέγει τὴν κατὰ Θεσσαλίαν. ἔστι γὰρ καὶ ἑτέρα Μαγνησία περὶ Ἔφεσον, ἐκτισμένη ὑπὸ Λευκίππου τοῦ Καρὸς μετοικήσαντος ἐκεῖ σὺν Μάγνησι τοῖς ἐκ Κρήτης. c Μάγνησσά θ ’ ὑπεύδ〈ιοσ 〉 : ὁ νοῦς· οὐ τραχεῖά τις οὐδὲ πετρώδης, ἀλλ’ ὁμαλή τις καὶ εὔδιος. 586a 〈 παλιμπνοίῃσι ν:〉 ἐναντίαις πνοαῖς. L g b ἔκελσα ν: ὥρμισαν. L g P 587 καί μιν κυδ〈αίνοντεσ 〉 : τὸν Δόλοπα. ὁ δὲ Δόλοψ Ἑρμοῦ υἱός, ὃς ἐν Μαγνήσσῃ τῇ πόλει ἀπώλετο καὶ αὐτόθι τάφον παρὰ τῷ αἰγιαλῷ ἔσχεν, ὡς Κλέων ἐν α′ τῶν Ἀργοναυτικῶν.

τοῖς μὲν οὖν κατοιχομένοις ὡς περὶ ἡλίου δυσμὰς ἐναγίζουσι, τοῖς δὲ Οὐρανίδαις ὑπὸ τὴν ἕω, ἀνατέλλοντος τοῦ ἡλίου. ἔντομα δὲ τὰ σφάγια, κυρίως τὰ τοῖς νεκροῖς ἐναγιζόμενα, διὰ τὸ ἐν τῇ γῇ αὐτῶν ἀποτέμνεσθαι τὰς κεφαλάς. οὕτω γὰρ θύουσι τοῖς χθονίοις, τοῖς δὲ οὐρανίοις ἄνω ἀναστρέφοντες τὸν τράχηλον σφάζουσιν· Ὅμηρος (A 459)· ʻαὐέρυσαν μὲν πρῶταʻ. 588a κεῖα ν: ἔθυσαν. λείπει δὲ ἡ παρὰ πρόθεσις, ἵν’ ᾖ· ἔθυον τῷ Δόλοπι παρὰ τῷ οἴδματι τῆς θαλάσσης. b διπλό α: δύο ἡμέρας. L g P 589 ἐλινύεσκο ν: περὶ τὸ αὐτὸ διέτριβον, ἢ στρευγόμενοι 〈ἢ〉 ἐμποδιζόμενοι τῆς ὁδοῦ.

52 592 Μελίβοια ν: πόλις Θεσσαλίας. L g SP 594 Ὁμόλη ὄρος Θεσσαλίας οὕτω καλούμενον ἢ πόλις Θρᾴκης. L m (P) 595—97a οὐδέ τι δηρό ν: ὁ λόγος· οὐκ ἔμελλον μετὰ πολὺ παρέρχεσθαι τὰ ῥεύματα τοῦ ποταμοῦ. L b τὸ δὲ ὑπεκβαλεῖν τὸ παραμεῖψαι τὰ ῥεῖθρα τοῦ Ἀμύρου ποταμοῦ σημαίνει. εὐρυμένας δὲ φάραγγας τὰς εἰς πλάτος ἀνεῳγμένας. P c Ἄμυρος ποταμὸς Θεσσαλίας ἐκρέων μετὰ τὴν Μελίβοιαν [κείμενος], προσαγορευόμενος ἀπὸ Ἀμύρου τοῦ υἱοῦ Ποσειδῶνος. ἔστι δὲ καὶ πόλις. L m (P) 598—99 Ὄσση ς: Ὄσσα ὄρος πρὸς τῷ τέλει τῆς Θεσσαλίας, μεθ’ ὃ διαδέχεται ἡ Μακεδονία. κλίτεα δὲ τὰς ἀνακλίσεις τῶν ὀρῶν καὶ βάσεις. Παλλήνη δὲ ὄρος Θρᾴκης καὶ πόλις, ὅθεν ἦν ὁ Πρωτεύς. Καναστραῖον δὲ ἀκρωτήριον τῆς Παλλήνης. Ὄλυμποι δέ εἰσιν ἕξ· Μακεδονίας, Θετταλίας, ἐν ᾧ καὶ Ὀλύμπιά φησιν Ἀπολλόδωρος (244 fg 174 J.) ἄγεσθαι, καὶ Μυσίας καὶ Λυκίας καὶ Ἀρκαδίας. 600 〈 ἤνυσα ν:〉 παρέπλευσαν. L g 601—04a ἦρι δὲ νισ〈σ〉ομέ〈νοισιν〉 : Ἄθως ὄρος τῆς Θρᾴκης ὑψηλότατον.

53 ἡ δὲ διάνοια· ἅμα δὲ τῇ ἡμέρᾳ ὁ Ἄθως αὐτοῖς ἀνεφάνη ἀπέχων τῆς Λήμνου τοσοῦτον, ὅσον ἂν ναῦς πλέουσα ἀπὸ ἠοῦς μέχρι μεσημβρίας πλοῦν διανύσῃ. καὶ τοσοῦτον, φησίν, ἀπέχουσαν τὴν Λῆμνον ὅμως σκιάζει διὰ τὸ ὕψος παρακλίναντος τοῦ ἡλίου· οὐ μόνον δέ, ἀλλὰ καὶ μέχρι Μυρίνης. πόλις δέ ἐστιν ἡ Μυρίνη πρὸς τῷ τέλει τῆς Λήμνου. δίπολις γάρ ἐστιν ἡ Λῆμνος· ἔχει γὰρ Ἡφαιστίαν καὶ Μύριναν. ἐκλήθη δὲ ἀπὸ Μυρίνης τῆς Θόαντος γυναικός, Κρηθέως δὲ θυγατρός. b 〈 κολώνη:〉 ἀκρώρεια. L g c ἔνδιο ν: μεσημβρινόν. L g S m (P) d 〈 καὶ ἐσάχρι:〉 περιττὸς ὁ καὶ σύνδεσμος. L m 608 Σιντηίδ α: ἐπιθετικῶς Σιντηὶς ἡ Λῆμνος· Τυρσηνοὶ γὰρ αὐτὴν πρῶτοι ᾤκησαν βλαπτικώτατοι ὄντες. ἢ τὴν ὑπὸ τῶν βαρβάρων οἰκισθεῖσαν· καὶ Ὅμηρος (θ 294)· ʻᾤχετο δ’ ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνουσʻ. Ἑλλάνικος (4 fg 71c J.) δέ φησι Σίντιας ὀνομασθῆναι τοὺς Λημνίους διὰ τὸ πρώτους ὅπλα ποιῆσαι πολεμικὰ πρὸς τὸ σίνεσθαι τοὺς πλησίον καὶ βλάπτειν. 609—19a ἔν θ ’ ἄμυδι ς: αἱ Λήμνιαι γυναῖκες ἐπιπολὺ τῶν τῆς Ἀφροδίτης τιμῶν κατολιγωρήσασαι, καθ’ ἑαυτῶν τὴν θεὸν ἐκίνησαν. πάσαις γὰρ δυσοσμίαν ἐνέβαλεν, ὡς μηκέτι αὐτὰς τοῖς ἀνδράσιν ἀρέσκειν. τῶν δὲ πρὸς Θρᾷκας ἐχόντων πόλεμον καὶ παλλακὰς ἐκεῖθεν αἰχμαλώτους λαμβανόντων καὶ ἀποστραφέντων τὰς γνησίας γαμετὰς κατὰ τὴν τῆς θεοῦ ὀργήν, ἐψηφίσαντο αἱ γυναῖκες νύκτωρ τοὺς ἄνδρας ἀνελεῖν.

54 καὶ οὐ μόνον τοῦτο ἐποίησαν, ἀλλὰ καὶ τὰς αἰχμαλώτους ἀνεῖλον, καὶ δεδοικυῖαι, μὴ οἱ παῖδες ἀνδρωθέντες τιμωρίαν πατρῶν ζητήσωσι λαβεῖν, πᾶν ὁμοῦ τὸ ἄρσεν γένος ἀνεῖλον. b ἐπὶ ληιάδεσσ ι: ταῖς αἰχμαλώτοις. L g S m P c 〈 ἔρο ν:〉 ἀντὶ τοῦ ἔρωτα, Αἰολικῶς διὰ τοῦ ο . L g d ἀντιπέρηθε ν: ἐξ ἐναντίας· οὕτω γὰρ κεῖται ἡ Θρᾴκη τῆς Λήμνου. L e ἄτισσα ν: ὅτι ἄτιμον αὐτὴν ἐπὶ πολὺν χρόνον ἐποίησαν. τῶν δὲ ἄλλων ἱστορούντων, ὅτι κατὰ χόλον τῆς Ἀφροδίτης αἱ Λημνιάδες δύσοσμοι ἐγένοντο, Μυρσίλος ἐν πρώτῳ Λεσβιακῶν (fg 7 M. IV 458) διαφέρεται καί φησι τὴν Μήδειαν παραπλέουσαν διὰ ζηλοτυπίαν ῥῖψαι εἰς τὴν Λῆμνον φάρμακον καὶ δυσοσμίαν γενέσθαι ταῖς γυναιξίν, εἶναί τε μέχρι τοῦ νῦν κατ’ ἐνιαυτὸν ἡμέραν τινά, ἐν ᾗ διὰ τὴν δυσωδίαν ἀπέχειν τὰς γυναῖκας ἄνδρα τε καὶ υἱεῖς. f 〈 ἀμ φ ’ εὐν ῇ:〉 λείπει τὸ ζηλοτυπήσασαι. L g 620—21 οἴῃ δ ’ ἐκ πασέω ν: πρῶτον μέν, διότι πατήρ, ἔδωκε τὴν ὀφειλομένην τῷ Θόαντι σωτηρίαν, δεύτερον δὲ διὰ τὴν ἡλικίαν καὶ ὅτι οὐκ αἴτιος ἦν αὐτὸς οὐδὲ συνεργὸς τῆς τῶν ἄλλων Λημνίων ἀσελγείας. 623—26a ἐς Οἰνοίην ἐρύ〈σαντο〉 : εἴληφε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν ἱστορίαν παρὰ Θεολύτου (M. IV 515). Σίκινος δέ ἐστι νῆσός τις πρὸ τῆς Εὐβοίας, τὸ πρότερον Οἰνοίη καλουμένη διὰ τὸ εἶναι αὐτὴν ἀμπελόφυτον.

55 μνημονεύει δὲ τῆς μετονομασίας Ξεναγόρας (240 fg 31 J.) λέγων ὅτι μετωνομάσθη ἀπὸ Σικίνου τοῦ υἱοῦ Θόαντος καὶ νύμφης Οἰνηίδος. ὅτι δὲ ἐνθάδε Θόας ἐσώθη καὶ Κλέων ὁ Κουριεὺς ἱστορεῖ καὶ Ἀσκληπιάδης ὁ Μυρλεανός, δεικνὺς ὅτι παρὰ Κλέωνος τὰ πάντα μετήνεγκεν Ἀπολλώνιος. b ἐπακτῆρε ς: ἀντὶ τοῦ ἁλιεῖς. ἐπὶ νήσου κυνηγοὺς οὐ δεῖ λέγειν. L g (P) c 〈 τό ν:〉 Σίκινον. S g 627 ταῖσι δὲ βουκολ〈ίαι 〉 : λοιπὸν γὰρ διὰ τὸ ἀνδρῶν πολὺν χρόνον στερίσκεσθαι τὴν νῆσον, ἡ πεῖνα αὐτὰς καὶ εἰς ἀνδρεῖον μετέβαλεν βίον καὶ ἐπιτήδευμα. 628 〈 διατμήξασθα ι:〉 ἀντὶ τοῦ ἀροτριᾶν. L g 629 〈 Ἀθηναίης πέλεν ἔργω ν:〉 τῶν ἱστουργικῶν καὶ τῶν ἄλλων γυναικείων. L g 631 ἦ θαμὰ δὴ πάπτ〈αινον 〉 : ὁ ἦ σύνδεσμος ἰσοδυναμεῖ τῷ δή, ὥστε κεῖσθαι τὸν δὴ σύνδεσμον ὡς παρ’ Ὁμήρῳ (A 518) ‘ἦ δὴ λοίγια‘ ἐκ παραλλήλου. 634 Μυρίνη πόλις τῆς Λήμνου, ἧς καὶ ἀνωτέρω (v. 604) μέμνηται. L 636a θυιάσιν ὠμοβό〈ροισ 〉 : μαινάσιν, Βάκχαις· παρὰ τὸ θύειν καὶ ὁρμᾶν μαινομένας. ἔνθεν καὶ τὴν Σεμέλην Θυώνην καλοῦσιν, ἐπειδὴ Αἰσχύλος (p. 73 N. 2 ) ἔγκυον αὐτὴν παρεισήγαγεν οὖσαν καὶ ἐνθεαζομένην, ὁμοίως δὲ καὶ τὰς ἐφαπτομένας τῆς γαστρὸς αὐτῆς ἐνθεαζομένας. τὸ δὲ ὠμοβόροις, ὅτι πολλάκις τῇ μανίᾳ κατασχεθεῖσαι καὶ ὠμοσπάρακτα ἐσθίουσιν, ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις (1125 sqq.) φησίν. b 〈 φὰν γάρ που ἱκάνει ν:〉 ἔλεγον γὰρ αὐτοὺς ὡς εἰς πόλεμον ἐληλυθέναι.

56 L g 637 Θοαντιά ς: δύο τύποι εἰσὶ τῶν θηλυκῶν πατρωνυμικῶν, ὁ εἰς ας οἷον Πηλιὰς καὶ ὁ εἰς ις οἷον Πελοπίς. καὶ ταῦτα δὲ εἰς ας μεταβάλλει τὴν τελευταίαν, ἐπειδὴ ἔχει τὸ ι πρὸ τῆς τελευταίας συλλαβῆς, ἵνα μὴ εἴη κακόφωνα. 638 〈 ἀμηχανίῃ δ ’ ἐχέοντ ο:〉 ἐν ἀπορίᾳ οὖσαι ἐπορεύοντο. L g 639 〈 ἐπὶ δέος ᾐωρεῖτ ο:〉 ἐπέκειτο. L g 640 τείως δ ’ αὖ τ ’ ἐκ νη〈ός 〉 · ἐν τοσούτῳ, ἐν ὅσῳ αὗται ὡπλίζοντο. ἐπεκτέταται δὲ τὸ τέως, κείμενον ἀντὶ τοῦ ἕως, ἕως δή. 643—48a σφωιτέροιο τοκ〈ῆοσ 〉 : ἀκαίρως τῷ δυϊκῷ ἐχρήσατο ἀντὶ ἑνικοῦ. b 〈 Ἀχέροντο ς:〉 ποταμὸς Ἅιδου. L g c ἀπροφάτου ς: ἀπροσφωνήτους, ἀπροφασίστους. d 〈 ἀπροφάτου ς:〉 σκοτεινάς. S m e ἐπιδέδρομε λήθ〈η 〉 : ὅτι λέγονται οἱ τεθνηκότες λήθην τῶν γεγονότων αὐτοῖς ἐν τῇ ζωῇ λαμβάνειν. οὗτος οὖν, φησί, καὶ τεθνηκὼς εἰς λήθην οὐκ ἔπεσεν καὶ μετεμψυχωθεὶς κατὰ τὸν τῶν φιλοσόφων λόγον ᾔδει τίς ἦν διὰ τὰς τοῦ Ἑρμοῦ βουλάς. Φερεκύδης (3 fg 109 J.) δέ φησιν, ὅτι δῶρον εἶχε παρὰ τοῦ Ἑρμοῦ ὁ Αἰθαλίδης τὸ τὴν ψυχὴν αὐτοῦ ποτὲ μὲν ἐν Ἅιδου, ποτὲ δὲ ἐν τοῖς ὑπὲρ τὴν γῆν τόποις εἶναι. φασὶ δὲ τοῦτον τὸν Αἰθαλίδην οἱ Πυθαγορικοὶ (cf. 14, 8 Diels—Kranz) τῆς ψυχῆς οὔσης ἀφθάρτου κατὰ μὲν τοὺς Τρωικοὺς χρόνους ἀναβιώσαντα Εὔφορβον εἶναι τὸν Πάνθου, ἔπειτα ἐκ τούτου Πύρρον τὸν Κρῆτα, εἶτα Ἠλεῖόν τινα, οὗ τὸ ὄνομα ἀγνοεῖται, μετὰ ταῦτα αὐτὸν τὸν Πυθαγόραν. Πυθαγόρας δέ, ἐν τῷ μεταλλοιοῦσθαι τὰς ψυχὰς καὶ παρεισδύνειν εἰς ἕτερα σώματα, φησίν, ὅτι γένοιτο μὲν πρῶτον Αἰθαλίδης Ἑρμοῦ υἱὸς καὶ Σαμίας ἑταίρας, εἶτα Εὔφορβος Τρώς, εἶτα 〈.

57 ..〉 καὶ Πυθαγόρας· τὴν δὲ μνήμην αὐτῷ παρέπεσθαι τῷ κεχαρίσθαι Ἑρμῆν τῷ Αἰθαλίδῃ υἱῷ ὄντι. f μεμόρητα ι: κατὰ ἔκθλιψιν τοῦ ι , ἔστι γὰρ μεμοίραται ἀντὶ τοῦ κεκλήρωται. Αἰθαλίδης δέ, κῆρυξ τῶν Ἀργοναυτῶν, ἑτερήμερος, ὥς φασιν, ὥστε μίαν μὲν ἐν Ἅιδου, μίαν δὲ ὑπὲρ τὴν γῆν ἡμέραν διάγειν. 650 μειλίξατ ο: παρεκάλεσεν, ἔπεισε τῷ λόγῳ συνετὸς ὤν. καὶ γέγονε παρὰ τὸ Ὁμηρικόν (O 207)· ‘ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ’ ἄγγελος αἴσιμα εἰδῇ.‘ 651 ἤματος ἀνομένοι ο: τῆς ἡμέρας ἐπὶ δύσιν ἀνυομένης. 652 πείσματ α: τὰ τῆς πρώρας σχοινία. ὁ δὲ λόγος· καίτοι τῆς πνοῆς οὔσης τοῦ βορέου ἐπιτηδείας τοῖς Ἀργοναύταις πρὸς τὸν πλοῦν, ὅμως οὐκ ἔλυσαν τὰ σχοινία. 659—61a λαρό ν: ἡδύ, ἀπολαυστικόν· παρὰ τὸ λῶ πεποίηται, ὃ σημαίνει τὸ θέλω. ἤια δὲ νῦν ἐφόδια βρώματα. b μὴ δ ’ ἄμμ ε: δῶμεν αὐτοῖς χρείας, ἵνα ἐκτὸς τῶν πύργων μένωσιν ἀπρόσοδοι πρὸς ἡμᾶς, μήπως διὰ τὴν τῶν ἐπιτηδείων ἀνάγκην καὶ χρείαν εἰσιόντες εἰς τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πόλιν ἀκριβῶς τὰ καθ’ ἡμᾶς μάθωσιν. L 663 〈 θυμηδέ ς:〉 θυμῆρες, ἀγαπητόν. L g 664a ἡμετέρη μέν νυ 〈ν 〉 : κατ’ ἔγκλισιν τὸ νὺν ἀναγνωστέον· οὐ γὰρ δηλοῖ χρόνον, ἀλλ’ ἴσον ἐστὶ τῷ δή. ἐκτατέον δὲ διὰ τὸ μέτρον. b 〈 παρενήνοθ ε:〉 ἀντὶ τοῦ παρελήλυθεν.

58 L g 665 ὑμέων δ ’ εἴ τι ς: παρὰ τὸ Ὁμηρικόν (Ξ 107)· ‘νῦν δ’ εἴη, ὃς τῆσδέ γ’ ἀμείνονα μῆτιν ἐνίσπῃ‘. L 669 ῥικνοῖσ ι: ῥυσοῖς. ἡ δὲ λέξις παρὰ Καλλιμάχῳ (fg 49 Schn. = 44 Kapp)· ‘ναὶ μὰ τὸ ῥικνὸν σῦφαρ ἐμόν‘. διασκευάζει δὲ Ὁμηρικῶς τὴν γραῦν οὕτως (β 16)· ‘ὃς δὴ γήραϊ κυφὸς ἔην‘. 672 ἐπιχνοάουσα ι: ὡς χνοῦν ἀναφυούσας ἔχουσαι τὰς τρίχας. 674 μόλι ς: κακῶς διὰ τοῦλ · ἔδει γὰρ διὰ τοῦ γ μόγις, παρὰ τὸν μόγον. 677 ἐπαύρεσθα ι: ἐὰν μὲν παροξυτόνως, ἔσται συντελικὸς ἀντὶ τοῦ ἀπολαῦσαι· ἐὰν δὲ προπαροξυτόνως, παρατατικὸς ἀντὶ τοῦ ἀπολαύειν. 680 〈 ὅ δ ’ ὅμιλος : 〉 ὁ τῶν Ἀργοναυτῶν. L g 681—82 ἄλλα δ ’ ὀπίσσ ω: πολλὰ δὲ κακὰ χείρονα μάχης καὶ πολέμου ἔσται. L 684 ἄγονο ι: ἄσπερμοι διὰ τὸ ἀνδρὶ μὴ συνεῖναι. διὰ δὲ τοῦ ἐπιθέτου τοῦ γήρως τὸν λόγον ἐπιπλεῖον ἐκάκωσε, στυγερὸν γῆρας εἰπών. 685—88a βώσεσθ ε: ἀντὶ τοῦ βιώσεσθε. ὁ δὲ νοῦς· αἱ δὲ νεώτεραι πῶς βιώσεσθε καὶ ζήσεσθε, ὅταν γηράσητε, τῶν μὲν παλαιοτέρων παρελθουσῶν, ὑμῶν δὲ λοιπὸν μὴ δυναμένων ἐργάζεσθαι; ἦ αὐτόματοι οἱ βόες ἀροτριάσουσι, καὶ θερίσουσι τοῦ ἔτους περιερχομένου, μηδενὸς ἀνθρώπου ἐπικειμένου τῷ ἔργῳ; b πρόκ α: εὐθέως. L g (P) c 〈 καὶ πρόκα τελλομένου ἔτεο ς:〉 γράφεται καὶ περιτελλομένου ἔτεο ς. L m 689—90 ἦ μὲν ἐγώ ν: ἐν ἤθει λέγει ταῦτα· εἰ καὶ πεφρίκασιν οἷον φοβοῦνται ἐπ’ ἐμὲ αἱ κῆρες ἐλθεῖν νῦν, ὅμως ἀποθανοῦμαι —λέγει δὲ τῷ ὑπεργεγηρακέναι. 691 〈 κτερέω ν:〉 ἐνταφίων. L g 692 αὔτω ς , ἣ θέμις ἐστί ν: οὕτως ὡς προσῆκόν ἐστιν.

59 694a ἐπήβολο ς: ἐπιτυχὴς καὶ καιρία ἐστὶν 〈ἡ〉 φυγὴ τῶν κακῶν. ἢ ἀντὶ τοῦ δεσπόζουσα καὶ συμφέρουσα. b 〈 ἀλεωρ ή:〉 ἡ φυγὴ τοῦ κακοῦ ἤτοι τῆς ἀτεκνίας. S m 695 ληίδ α: καταχρηστικῶς τὰ χρήματα, κυρίως δὲ τὰ ἐκ λαφυραγωγίας. 696 ἄστ υ: ἐτυμολογεῖ Εὔμολπος τὴν λέξιν ἄστυ λέγων παρὰ τὸ 〈ἄνω〉 ἵστασθαι· ἐπὶ μετεώρου γὰρ κεῖνται αἱ πόλεις. 699a 〈 ὑποβλήδη ν:〉 ὑποβολάδην, εὐθέως. L g b ὑποβλήδην κυρίως σημαίνει, ἐπειδὰν λέγοντός τινος ἕτερος περικόψας τὸν ἐκείνου λόγον λέγῃ. καὶ ὑποβάλλειν ἐπὶ τοῦ αὐτοῦ. ἔστι δ’ ὅτε τὸ ὑποβάλλειν σημαίνει τὸ ἐνίστασθαι καὶ ἐναντιοῦσθαι. ἐνταῦθα δὲ τὸ ὑποβλήδην ἀντὶ τοῦ λάθρα συναινεῖν κεῖται. P 700 ἥδε μενοιν ή: ἀντὶ τοῦ βουλή. ἀστείως δέ, ἐπεὶ αὐτῇ ἤρεσε τὰ λεχθέντα, ἵνα μὴ ὥσπερ ἀκολασίαν κατηγορῆται, τὴν κοινὴν πασῶν ἐπικαλεῖται μαρτυρίαν. 701 καὶ ἄγγελον μετὰ νῆ α: ἀντὶ τοῦ ἐπὶ τὴν ναῦν. περιττὸς δὲ ὁ καὶ σύνδεσμος. 703—04 ὄρσο μοι , Ἰφινό 〈η 〉 : τὸ ἑξῆς· ὄρσο μο ι , Ἰφινό η , τοῦ δ ’ ἀνέρος ἀντιόωσ α , ὅστις στόλου ἡγεμονεύε ι , ἡμέτερόνδε μολεῖ ν. τὸ δὲ ἀντιόωσα ἀντὶ τοῦ ἀντιάσουσα οἷον ἀξιώσουσα, τουτέστι δεησομένη. στόλος δέ ἐστιν ἐπὶ πρᾶξίν τινα πορευόμενον πλῆθος, καὶ ἐπὶ νεῶν τε λέγεται καὶ σχεδὸν ἐπὶ πάσης ὁρμῆς καὶ μείζονος παρασκευῆς. προστίθησι δὲ οὕτω Παλαμήδης· ‘οὕτω δὲ λέγεται καὶ ἡ εἰς ὀξὺ 〈τῆς νεὼσ〉 ἀπόληξισ‘. 707 εὐμενέοντα ς: τοῦτο ὡς πρὸς ὃ 〈φόβον〉 εἶχον, μὴ ἄρα πολέμιοι ἦσαν. L 712 κούρη τοί μ ’ ἐφέ〈ηκ ε:〉 διὰ τοῦ κόρη τὸν τῶν Ἀργοναυτῶν φόβον ἀποκρούεται καὶ ἀποτρέπεται· καὶ γὰρ αὐτοὶ ἐδεδοίκεσαν ἑωρακότες αὐτὰς καθωπλισμένας.

60 παρθένος γὰρ ἡ καλέσασα. τὸ δὲ Θοαντιὰς ἀντὶ τοῦ Θοαντίς. 717 〈 ἐναίσιμο ς:〉 καθήκων, ἀβλαβής. L g 718—19 εἴσαντ ο: ἀντὶ τοῦ διενοήθησαν, ὑπέλαβον. τηλυγέτην δὲ νῦν ἀκουστέον μόνην. ὁ γὰρ νοῦς· διενοήθησαν δὲ μονογενῆ Θόαντι τὴν Ὑψιπύλην γεγενημένην τὴν βασιλείαν τοῦ πατρὸς εἰληφέναι. 721—22 Ἰτωνίδο ς: ἐν Θεσσαλίᾳ θεὰ Ἰτωνὶς τιμᾶται καὶ ἐν Κορωνείᾳ [πόλις] τῆς Βοιωτίας, ἀπὸ Ἰτώνου τοῦ ἥρωος. ἀστείως δὲ οὐ πολεμικῇ σκευῇ χρώμενον εἰσάγει, ἀλλ’ ἐσθῆτι κοσμούμενον· πρῶτον μέν, ὅτι ἀπόλεμον αὐτὸν ἐκάλει, ἔπειτα, ὅτι καὶ γυναικῶν μόνων ἡ πόλις, αἳ μάλιστα τοῖς τοιούτοις χαίρουσι. καὶ ὁ Μένανδρος (fg 736 K. III 208)· ‘εὐκαταφρόνητος τῇ στολῇ εἴσειμι καὶ ταῦτ’ εἰς γυναῖκασ‘. ἤδη δὲ καὶ διὰ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δωρησαμένης θεοῦ τὸ τῆς χλανίδος κάλλος ἐσήμηνεν. 723—24 δρυόχου ς: ἐν οἷς καταπήσσεται ἡ τρόπις ξύλοις, ταῦτα οὕτω καλοῦσιν. Ὅμηρος (τ 574)· ‘ἵστασχ’ ἑξείης, δρυόχους ὥς, δώδεκα πάντασ‘. δρύοχοι οὖν τὰ ἐγκοίλια τῆς νεώς. κανόνας δὲ τὰς στάθμας, οἷς τὰ ξύλα καὶ τοὺς τοίχους οἱ τέκτονες ἐξισάζουσι. δάε δέ· ἐδίδαξεν ἡ θεός. 725 τῆς μὲν ῥιτε 〈ρον 〉 : ἐν τῇ προεκδόσει τῷ τῆς μὲν ῥιτερόν κεν ἑξῆς ἐστιν ἄκρα δὲ πορφυρέη (v. 728), οἱ δὲ μεταξὺ δύο οὐκ εἰσίν. L 726—27 ἔρευθο ς: ἐρύθημα.

61 ἔστι δὲ καὶ βοτάνης εἶδος ἐρυθρόν, ᾗ τὰ ἔρια βάπτουσιν. ἐρευθήεσσα δὲ ἀντὶ τοῦ πυρρά, ὑπέρυθρος. καὶ ἔστι παρὰ τὸ Σαπφικόν (fg inc. lib. 37 Lobel = 20 B. III 96)· ‘παντοδαπαῖσ 〈ι〉 μεμιγμένα χροιαῖσιν‘. 728 〈 ἄκρα 〉: τὴν ἀρχὴν καὶ τὸ τέλος. L g 729 〈 ἐκέκαστ ο:〉 ἐκεκόσμητο, ἐπέκειτο. L g 730—31a Κύκλωπε ς: οὗτοι γάρ, Βρόντης καὶ Στερόπης, τῷ Διὶ τὸν κεραυνὸν ἔδωκαν. καὶ Ἡσίοδος (Theog. 141)· ‘οἳ βροντὴν Ζηνὶ ἔδοσαν τεῦξάν τε κεραυνόν‘. b 〈 ἐ π ’ ἀφθίτ ῳ:〉 ἐπὶ θείῳ καὶ θαυμαστῷ καὶ ἀθανάτῳ ἔργῳ. L g c ἤτοι ἐπὶ ποσότητος τόσον ἢ ἐπὶ θαύματος, τοσοῦτον ἀντὶ τοῦ μεγάλως. L m (P) 732—33 μιῆς δ ’ ἔτι δεύετ ο: ὅτι ἦν ἡμιτελὴς παρὰ μίαν ἀκτῖνα ὁ κεραυνός. αἰνίττεται δέ, ὅτι τὸ κατασκεύασμα ἀληθῶς εἶχε τὸν κεραυνὸν καὶ ὀλίγῳ ἐλαττούμενον τῆς ἀληθοῦς λαμπηδόνος· οὐ γὰρ οἷόν τε ἦν τεχνίτην ἐν ποικίλματι ὁμοίαν τὴν λαμπηδόνα ποιῆσαι τῆς ἀληθοῦς. 734 μαλεροῖ ο: οἱ νεώτεροι τοῦ λαμπροῦ, οἱ δὲ τοῦ μαραντικοῦ. L g (P) 735—37a Ἀντιόπης : δύο Ἀντιόπαι ἐγένοντο, ἡ μὲν Νυκτέως, ἡ δὲ Ἀσωποῦ, ἧς καὶ μέμνηται· ἧς καὶ Διὸς Ἀμφίων καὶ Ζῆθος, οἳ καὶ τὰς Θήβας ἐτείχισαν, ὡς καὶ Ὅμηρός φησιν (λ 263)· ‘οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο‘.

62 Φερεκύδης (3 fg 41c J.) δὲ καὶ τὴν αἰτίαν παραδίδωσι· διότι Φλεγύας πολεμίους ὄντας εὐλαβοῦντο. 〈…〉 βασιλεύοντι 〈…〉 Κάδμῳ 〈…〉. b 〈 κεῖτο πέλα ς:〉 ἀστείως ὡς πρὸς τὴν ἕδραν τῆς πόλεως καὶ τὴν στάσιν τῶν τειχῶν τὸ κεῖτο ἔταξεν. L g (P) 738—39 ἐπωμαδὸν ἠέρταζ 〈εν 〉 : κατὰ τοὺς ὤμους ἐβάσταζεν, ἐπὶ τῶν ὤμων ἦρεν. διὰ δὲ τοῦ ἐοικὼς ἐκόλασε τὸν λόγον διὰ τὸ ἐν γραφῇ εἶναι· οὐ γὰρ ἀληθῶς ἐκακοπάθει ἐν τῇ γραφῇ. 740—41a ἐπὶ ο ἶ: ἐπ’ αὐτῷ τῷ Ζήθῳ ἑπόμενος. τὸ δὲ δὶς τόσση ἀντὶ τοῦ· διπλασίων τῷ Ἀμφίονι ἐπηκολούθει πέτρα. ὅτι δὲ ἠκολούθησαν τῇ Ἀμφίονος λύρᾳ οἱ λίθοι αὐτόματοι, ἱστορεῖ καὶ Ἀρμενίδας ἐν α′ (fg 2 M. IV 339). τὴν δὲ λύραν δοθῆναι Ἀμφίονι ὑπὸ Μουσῶν φησι, Διοσκορίδης (fg 8 M. II 196) δὲ ὑπὸ Ἀπόλλωνος. καὶ Φερεκύδης δὲ ἐν τῇ ι′ (3 fg 41a J.) ἱστορεῖ ὑπὸ Μουσῶν. b δὶς τόσση δ έ: διπλῆ ὡς πρὸς ἣν ἐβάσταζεν ὁ Ζῆθος. διὰ δὲ τούτου οὐδὲν ἕτερον δηλοῖ ἢ τὴν τῆς μουσικῆς καὶ τὴν τῆς εὐπαιδευσίας ἀρετὴν ὡς πρὸς τὴν ἄλογον ἀνδρίαν, παραινῶν ὅτι ὁ μὲν καὶ σφόδρα ἰσχυρὸς ὀλίγον καίτοι κακοπαθῶν ἔφερεν, ὁ δὲ μέγιστον τῇ εὐπαιδευσίᾳ φέρειν ἠδύνατο. 743 ὀχμάζουσ α: κατέχουσα, βαστάζουσα, καίτοι μὴ οὖσα πολεμική, ἀλλ’ ὡς ἐραστῇ χαριζομένη.

63 κυρίως δέ ἐστιν ὀχμάσαι τὸ ἵππον ὑπὸ χαλινὸν ἀγαγεῖν ἢ ὑπὸ ὄχημα. κυρίως δὲ λέγεται τὸ ἐν μάχῃ κρατῆσαι, ἀπὸ τῆς αἰχμῆς. θοὸν δὲ τὸ εὐκίνητον καὶ εὐμετάφορον, ἀπὸ τοῦ θοάζειν, ὅ ἐστι ταχύνειν. L m (P) 745—46a δίκηλον κυρίως τὸ τῷ Διὶ ἐοικὸς ἄγαλμα, καταχρηστικῶς δὲ καὶ πᾶν ὁμοίωμα, ὡς καὶ νῦν. καὶ δικηλιστὰς δὲ τοὺς σκωπτικοὺς τοὺς ἐν τῷ σκώπτειν ἀπομιμουμένους τινὰς ἄλλους. ἐν δὲ τῇ ἀσπίδι, φησί, χαλκῇ οὔσῃ ἐφαίνετο αὐτῇ μορφὴ ὁμοία. b 〈 δίκηλο ν:〉 εἴδωλον. L g 747—51a ἐν δὲ βοῶ ν: ἡ Τάφος νῆσός ἐστι μία τῶν Ἐχινάδων, ἣν 〈…〉 οἰκοῦντες ἄνδρες λῃστρικώτατοι ἐτύγχανον τὸν τρόπον καὶ εἰς Ἄργος ποτὲ ἐλθόντες τὰς τοῦ Ἠλεκτρύωνος βόας ἀπήλασαν τοῦ πατρὸς Ἀλκμήνης. γενομένης δὲ μάχης καὶ ὁ Ἠλεκτρύων καὶ οἱ τούτου παῖδες ἀνῃρέθησαν. διὸ Ἀλκμήνη μετέστη καὶ ἀνεκήρυξεν τὸν ἑαυτῆς γάμον τῷ τιμωρησομένῳ τὸν πατρῷον φόνον. τιμωρησάμενος δὲ Ἀμφιτρύων ἔγημεν. ἡ ἱστορία σαφῶς ἐν τῇ Ἀσπίδι παρ’ Ἡσιόδῳ (1—19). b Τηλεβόαι τὴν Ἀκαρνανίαν οἰκοῦντες μετῴκησαν εἰς Τάφον 〈…〉 διὰ βοῶν ζήτησιν. περὶ δὲ τῆς μάχης Ἡρόδωρος (31 fg 15 J.)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱστορεῖ, ὅτι Περσέως καὶ Ἀνδρομέδας δ' παῖδες ἐγένοντο, Ἀλκαῖος, Σθενέλαος, Μήστωρ, Ἠλεκτρύων, καὶ κοινὴν ἔσχον τὴν βασιλείαν.

64 Μήστορος δὲ θυγάτηρ Ἱπποθόη, ἧς καὶ Ποσειδῶνος Πτερέλαος· Πτερελάου παῖδες Τηλεβόας καὶ Τάφιος, ἀφ' οὗ ἡ νῆσος. ὡς δέ τινες, Τηλεβόου τοῦ Πτερελάου ἐγένοντο παῖδες οἱ καλούμενοι Τηλεβόαι. ἐλθόντες δὲ ἀπῄτουν Ἠλεκτρύωνα τὰ τῆς μάμμης ἑαυτῶν Ἱπποθόης, ἀντιστάντες δὲ αὐτοῖς οἱ Ἠλεκτρυωνίδαι ἀνῃρέθησαν ὑπ' αὐτῶν. Τηλεβόαι οὖν οἱ Τάφιοι, ἤτοι ὅτι τῆλε οἰκοῦντες ἀπὸ Ἄργους τὰς βοῦς ἀπήλασαν, ἢ ἀπὸ Τηλεβόου τοῦ Πτερελάου τοῦ βασιλέως υἱοῦ, οὗ ἀδελφὸς Τάφιος, ἀφ' οὗ καὶ ἡ νῆσος. c ἀμέρσα ι: στερῆσαι. L g P 752—58a δηριόωντε ς: ἀγωνιζόμενοι. ὁ γὰρ Οἰνόμαος Ἄρεως ὢν παῖς καὶ Ἁρπίνης τῆς Ἀσωποῦ, ἐξ Εὐρυθόης τῆς Δαναοῦ θυγατέρα ἔχων Ἱπποδάμειαν καὶ χρησμὸν λαβὼν ἀναιρεθήσεσθαι ὑπὸ τοῦ ἰδίου γαμβροῦ, οὐκ ἐβούλετο ἐκδοῦναι αὐτὴν εἰ μὴ τῷ νικήσαντι δι' ἵππων. προέκειτο δὲ αὐτοῖς Κλάδεως ποταμὸς ἀφετηρία, Ἰσθμοῖ δὲ τὸ τέρμα. καὶ ἀνεῖλεν ιγ' μνηστῆρας, ὡς Πίνδαρος (Ol. I 79) ἱστορεῖ. ἐλθόντος δὲ τοῦ Πέλοπος ἐπὶ τὸν ἆθλον μετὰ ἵππων δεδομένων αὐτῷ ὑπὸ Ποσειδῶνος, ἐρασθεῖσα ἡ Ἱπποδάμεια ἔπεισεν Μυρτίλον τὸν Ἑρμοῦ μὲν παῖδα, ἁρματοπηγὸν δὲ καὶ ἡνίοχον Οἰνομάου, παρασκευάσαι 〈ὡσ〉 κατατροχίσαι τὸν πατέρα, βουλομένη Πέλοπι γήμασθαι.

65 〈...〉 σκευάσαντα τὸν ἔμβολον ἐκ κηροῦ, ἵνα ἐν τῷ δρόμῳ θλασθέντος αὐτοῦ νικήσας Πέλοψ λάβῃ αὐτὴν πρὸς γάμον. Φερεκύδης δὲ ἐν η' (3 fg 37a J.) φησίν, ὅτι οὐκ ἐνέθηκεν ἐν τῷ ἄξονι τὸν ἔμβολον, καὶ οὕτως ἐκκυλισθέντος τοῦ τροχοῦ ἐκπεσεῖν τὸν Οἰνόμαον. αἱ δὲ τοῦ Οἰνομάου ἵπποι Ψύλλα καὶ Ἅρπιννα. ὁ δὲ Μυρτίλος Ἑρμοῦ υἱὸς ἐκ μιᾶς τῶν Δαναοῦ θυγατρῶν Φαεθούσης, οἱ δὲ ἐκ Κλυμένης, οἱ δὲ ἐκ Μυρτοῦς μιᾶς τῶν Ἀμαζόνων. b παραιβάτι ς: οὐχ ὅτι αὐτῷ κατὰ τὸν ἀγῶνα συμπαρῆν, ἀλλ' ὅτι ὁ τεχνίτης ἀμφότερα δεῖξαι θέλων, καὶ τὸν δρόμον καὶ τὴν νίκην, τοῦτο πεποίηκεν. L m (P) c προτενέ ς: προτεταμένον ἔχων τὸ δόρυ. L g (P) d ἄξονος ἐν πλήμνῃ 〈σι 〉 : διαφέρει πλήμνη καὶ πλήσμη· ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ, ἡ δὲ πλήσμη τὴν πλήμμυραν τοῦ ποταμοῦ. διόπερ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον (fg 217 Rz. 2 )· 'αὐτὸς δ' ἐν πλήσμῃσι διιπετέος ποταμοῖο', καὶ οὐχ, ὥς τινες, 'ἐν πλήμνῃσι', εἰ μὴ ἄρα ἔξωθεν προσλάβοιμεν τὴν σὺν πρόθεσιν, σὺν πλήμνῃσιν. L m P e παρακλιδό ν: παρακεκλιμένως ἔπιπτεν. L g (P) 760—62a 〈 βούπαι ς:〉 μέγας παῖς, οὔπω τέλειος ἀνήρ. L g (P) b Τιτυὸν μέγα ν: Ἐλάρη μήτηρ Τιτυοῦ. μετὰ τὴν τελευτὴν δὲ τῆς μητρὸς λέγεται παρὰ τῆς Γῆς ἀνατετράφθαι, καθὰ καὶ Ὅμηρος ἱστορεῖ (λ 576)· 'καὶ Τιτυὸν εἶδον, Γαίης ἐρικυδέος υἱόν'.

66 Φερεκύδης (3 fg 55 J.) δέ φησιν, ὅτι Ἐλάρῃ τῇ Ὀρχομενοῦ μιγεὶς ὁ Ζεὺς ὤθησεν αὐτὴν κατὰ γῆς ἤδη κύουσαν δεδοικὼς τὴν τῆς Ἥρας ζηλοτυπίαν, καὶ ἀνεδόθη 〈ἐκ〉 τῆς γῆς Τιτυός· διὸ καὶ γηγενὴς καλεῖται. c Ἐλάρη μήτηρ Τιτυοῦ, ὃν κύουσα ἐκ Διὸς καὶ ἀδυνατοῦσα γεννῆσαι διὰ τὸ μέγεθος τοῦ παιδὸς ἀπώλετο 〈...〉. δοκεῖ δὲ ἡ ἱστορία ἀπίθανος εἶναι καὶ ἄπιστος, ὅτι ἐκ δευτέρου ἡ Γῆ ἐγέννησε τὸν Τιτυόν. ἀλλ' ἐροῦμεν, ὅτι οἱ ποιηταὶ τοὺς τερατώδεις κατὰ τὸ σῶμα Γῆς εἶναί φασιν. οὕτω γὰρ καὶ Καλλίμαχος (fg 376 Schn) τὰ δεινὰ τῶν θηρίων Γῆς εἶναι ἔφη. ὅτι δὲ μέγας ὁ Τιτυός, καὶ Ὅμηρός φησιν (λ 577)· 'ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα'. φαμὲν οὖν, ὅτι, ὅτε πρὸς Ἐλάρης ἐτέχθη, ἐδόκει αὐτῆς εἶναι διὰ τὸ βραχὺ τοῦ σώματος· ὡς δὲ αὐξηθεὶς τερατώδης ἐγένετο, ἔπλασαν καὶ τεχθῆναι αὐτὸν καὶ τετράφθαι πρὸς τῆς Γῆς. d 〈βούπαις οὔπω πολλός—〉 Τιτυὸν μέγα ν: τὸ μέγαν θαυμαστικῶς εἴρηται, ὅτι βούπαις ὢν μέγαν ἐτόξευσεν. καὶ ἤτοι πρὸς τὴν θείαν φύσιν ἀκουστέον ἢ πρὸς τὸ ὑπ' ὄψιν εἶναι τὴν ὕβριν τῆς μητρός, ὅτι πολλάκις τὰ δεινὰ τῶν πραγμάτων καὶ τὴν ἡλικίαν καὶ τὴν φύσιν οἶδε βιάζεσθαι. πρὸς ὃ ὁ ποιητὴς οὐ τῷ κυρίῳ ὀνόματι ἐχρήσατο, ἀλλὰ τῷ κατὰ φύσιν, μητέρα εἰπών. 763—64a ἐν καὶ Φρίξος ἔην Μινυή 〈ιοσ 〉 : Μινυήιος ὁ Ἰώλκιος· τὴν γὰρ Ἰωλκὸν Μινύαι ᾤκουν, ὥς φησι Σιμωνίδης ἐν Συμμίκτοις (8 fg 3 J.). δύναται δὲ καὶ ἀντὶ τοῦ Ὀρχομένιος· πολλοὶ γάρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φασιν ἐν Ὀρχομενῷ οἰκῆσαι τὸν Ἀθάμαντα. ζητητέον δὲ τί βούλεται αὐτῷ ταῦτα τὰ ποικίλματα.

67 καὶ ἐροῦμεν, ὅτι ὁ ποιητὴς διὰ τῆς χλαμύδος οὐδὲν ἕτερον ἢ τὴν κοσμικὴν τάξιν καὶ τὰς τῶν ἀνθρώπων πράξεις φησί. καὶ πρῶτον μὲν διὰ τοῦ κεραυνοῦ καὶ τῶν Κυκλώπων θεόν τινα καὶ θείαν φύσιν ἀλληγορεῖ· διὸ καί φησιν (v. 730)· ‘ἐπ’ ἀφθίτῳ ἥμενοι ἔργῳ‘. μεθ’ ὃ πόλεις κτιζομένας διὰ τῆς τοῦ Ἀμφίονος λύρας ἱστορεῖ· ἔπειτα τὰ ἐν ταῖς πόλεσι πάντα γινόμενα, ἔρωτάς τε καὶ πολέμους—τοῦτο γὰρ βούλεται αὐτῷ ἡ Ἀφροδίτη ὁπλοφοροῦσα, ἡ δὲ βία καὶ αἱ μάχαι διὰ τῆς τῶν Ταφίων ἱστορίας—, ἀγῶνάς τε καὶ γάμους διὰ τῶν τοῦ Πέλοπος ἄθλων, ἀσεβείας τε καὶ τιμωρίας πρὸς τῶν κρειττόνων διὰ τοῦ Τιτυοῦ, ἐπιβουλάς τε καὶ διαβολὰς καὶ σωτηρίας διὰ τῆς τοῦ Φρίξου ἱστορίας, καὶ σχεδὸν πάντα τὰ ἐν ταῖς πόλεσι γινόμενα διὰ τῆς χλαμύδος ποιητικῶς ἔφρασεν. δῶρον δέ φησιν εἶναι τὴν χλαμύδα τῆς Ἀθηνᾶς, ἐπειδὴ ὅ τε κόσμος ὑπὸ τῆς θείας φρονήσεως γέγονε, τῶν τε ἐν αὐτῷ ὑπὸ τῶν ἀνθρώπων πραττομένων οὐδὲν ἄνευ φρονήσεως ὀρθῶς γένοιτ’ ἄν. b εἰσαΐω ν: ἐφθέγγετο γὰρ ὁ κριὸς πιστούμενος τῷ Φρίξῳ τὴν σωτηρίαν κατὰ βούλησιν Διός. L m (P) c 〈 ὅ δ’:〉 κριός. S g d ἐξενέποντ ι: περιττὴ ἡ ἔξ. L g P e 〈 ἐξενέποντ ι:〉 ἀνθρώπῳ. S m 768 〈 το ῖ ’ ἄρα δῶρ α:〉 πρὸς δὲ παρθένον στελλόμενος παρθένου δῶρα μεταχειρίζεται. 769—73 ὅρ ρ ’ Ἀταλάντ η: Ἰασίωνος θυγάτηρ, ἣν ἔγημεν Μειλανίων. ἑτέρα γάρ ἐστιν ἡ Ἀρκαδική, 〈ἑτέρα〉 ἡ Σχοινέως, ἣν ἔγημεν Ἱππομένης. Μαίναλος δὲ ὄρος Ἀρκαδίας, ἐν ᾧ ἡ Ἀταλάντη διῆγεν, ἀπὸ Μαινάλου τοῦ Ἀρκάδος, ὥς φησιν Ἑλλάνικος (4 fg 162 J.

68 ). αἱ δὲ Ἀριστάρχειοι (I 404, 10 Ludwich) δι’ ἑτέρου ρ ἔχουσι τὰς τοιαύτας γραφάς, ὡς Ἡρακλέων (fg 11 Berndt Progr. gymn. Insterb. 1914, 21 ) φησὶν ἐν τῇ π τῆς Ἰλιάδος (228) ‘τό ῥα τότ’ ἐκ χηλοῖο λαβών‘. τὸ δὲ δεῖσεν ἀργαλέας ἔριδας τὰς τῶν μνηστήρων λέγει τῆς Ἀταλάντης ἔριδας· ἔδεισεν, μὴ εἰς στάσιν αὐτοὺς ἐξάψῃ καὶ διαφορά τις γένηται μεταξύ, τῶν μὲν μιγῆναι αὐτῇ θελόντων, τῆς δὲ τὴν παρθενίαν τηρούσης. ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις, Ἡρόδωρος ἱστορεῖ ἐν τοῖς Ἀργοναυτικοῖς (31 fg 6 J.). Αἰσχύλος δὲ ἐν Ὑψιπύλῃ (p. 79 N. 2 ) ἐν ὅπλοις φησὶν αὐτὰς ἐπελθούσας χειμαζομένοις ἀπείργειν, μέχρι λαβεῖν ὅρκον παρ’ αὐτῶν ἀποβάντας μιγήσεσθαι αὐταῖς. Σοφοκλῆς δὲ ἐν ταῖς Λημνίαις (II p. 52 Pearson) καὶ μάχην ἰσχυρὰν αὐτοῖς συνάψαι φησίν. 775a καλύβαι ς: ταῖς διὰ τῶν ἱματίων, νηγατέαις δὲ νεοκατασκευάστοις. b καλύβῃσ ι: ἀντὶ τοῦ παστῷ. L g (P) 776 〈 θηήσαντ ο:〉 ἀντὶ τοῦ ἔβλεψαν. L g 777 κυανέοι ο: νῦν λαμπροῦ. L g (P) 781a τῷ ἴκελο ς: ἤτοι κατ’ ἔρωτα λέγει ἢ κατὰ μνηστείαν. διόλου δὲ ἁρμόζουσα καὶ οἰκεία ἡ εἰκών. καὶ γὰρ καὶ αὐτὸν ἐρῶσα ἐξεδέχετο παρθένος καταλαμπόμενον τῷ κάλλει. b ἀνὰ στίβο ν: ἀνὰ τὴν ὁδόν, παρὰ τὸ στείβω τὸ περιπατῶ. 783 ἐπεκλονέοντ ο: οὐ καλῶς τὸ ἐπεκλονέοντο εἴρηκεν ἅμα τῇ χαρᾷ· κλόνος γὰρ ἡ ταραχή. Ὅμηρος (Ε 93)· ‘ὣς ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγεσ‘. 785 ἀπηλεγέω ς: ἀντὶ τοῦ συντόμως, ἀποφατικῶς. Ἡρωδιανὸς δὲ ἐν τῷ γ′ τῆς Καθόλου (I 79, 23 L.) ἀνηλεγέως φησί. 786 προφανέντ ι: περιττὴ ἡ πρὸ πρόθεσις.

69 θεράπναι δὲ κατὰ συγκοπὴν τοῦ θεράπαιναι. 787 σανίδε ς: οὕτω λέγονται τὰ ὑπερμήκη ξύλα καὶ πλατέα οἷον τανίδες, παρὰ τὴν τάσιν. 788—89a ἔνθα μι ν: ἐν τῇ προεκδόσει· ‘ἔνθα μιν Ἰφινόη προδόμου διὰ ποιητοῖο ἐσσυμένως καλῆς ἐπὶ δίφρακος εἷσεν ἄγουσα.‘ L b καλῆς διὰ παστάδο ς: ἣν ἡμεῖς προστάδα λέγομεν. εἴρηται δὲ οὕτως διὰ τὸ ἐν αὐτῇ σιτεῖσθαι ἡμᾶς οἱονεὶ πάσασθαι. καλῆς δὲ ἤτοι ὅτι βασίλεια τὰ οἰκήματα ἢ ὅτι ἐρωτικά· τοιαῦτα γὰρ τὰ τῶν ἐρώντων, ὡς καὶ Ἀνακρέων (fg 119 B. III 286) ἐπὶ ἐρωμένης φησίν 〈...〉 . c 〈 δ ι ’ ἀναστάδο ς:〉 ἐπιπέδου. S m 794—96a ἧσ θ ’ αὔτω ς: εἰκῇ ἐκαθέζεσθε. ἤδη δὲ καὶ διὰ τούτου ἐφ’ ὃ ἐκάλεσεν αὐτὸν ᾐνίξατο καὶ τὰ τῆς εὐμενείας οὕτω πορίζεται. b ὑ π ’ ἀνδράσι ν: ἀντὶ τοῦ ὑπ’ ἀνδρῶν. Ὅμηρος (Β 816)· ‘Τρωσὶ μὲν ἡγεμόνευε‘. τοῦτο δὲ Ἰώνων ἴδιον. ταῦτα δὲ πλάττεται ἡ Ὑψιπύλη,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποδημεῖν ἐπὶ Θρᾴκης τοὺς ἄνδρας. ἀρόωσι δὲ ἀροτριῶσιν, ἀφ’ οὗ τὸ διάγουσιν ἀκουστέον. πλάττεται δὲ καὶ ἀφανίζει τὸ ἀληθῶς γεγονὸς καὶ τὸν φόνον τῶν ἀνδρῶν. c ἐπινάστιο ι: ἔποικοι. L g P 800a ἀπορνυμένους δὲ ἤτοι ἀπερχομένους τοὺς Λημνίους φησίν. P b ἐπαύλου ς: τὰς ἐπαύλεις, τὰς μάνδρας. ἢ καταχρηστικῶς· τὰς οἰκίας τῶν Θρᾳκῶν ἐπόρθουν οἱ Λήμνιοι. 801—03a ἐκ νηῶ ν: ἀντὶ τοῦ διὰ τῶν νηῶν.

70 L g P b αὐτῇσι δ ’ ἀπείρο 〈να 〉 : θαυμαστικῶς, οἷον· ληιάδας αὐτὰς καὶ δεσποίνας ἡμῶν ἔφερον ἄγοντες. ἐν δὲ τῇ προεκδόσει· ‘ἐκ νηῶν, ἄμυδις δὲ βόας καὶ μῆλα κόμιζον αὐτῇσιν κούρῃσιν ἀπείρονα ληίδα δεῦρο. καὶ τότ’ ἔπειτ’ ἀνὰ δῆμον ἀάατος ἔμπεσε λύσσα, οὐκ οἶδ’ ἢ θεόθεν ἢ αὐτῶν ἀφροσύνῃσι.‘ L c οὐλομένη ς: ἀντὶ τοῦ τῆς δεινῆς ἤ, ἀπὸ τοῦ συμβαίνοντος, ὀλέθρου ποιητικῆς, ὡς τὸ ‘πολύδακρυν Ἄρηα‘ (Hom.) τὸν δακρύων ποιητικόν. d πορσύνετ ο: κατεσκευάζετο. L g P e θυμοφθόρον ἄτη ν: τὸν ἔρωτα λέγει. L g (P) 805a ᾗ ματί ῃ: τῇ ἑαυτῶν ματαιότητι καὶ μωρίᾳ καὶ φρενοβλαβείᾳ νικηθέντες. b ἀπεσσεύοντ ο: ἀντὶ τοῦ ἐδίωκον. L g P 807—08 εἴ κέ πο τ ’ αὖτι ς: περιττὸς ὁ κὲ σύνδεσμος. ὁ γὰρ λόγος· πολὺν χρόνον ὑπεμείναμεν, εἴ ποτε μεταμεληθῶσιν. ἵνα δὲ μὴ ὥσπερ ζηλοτυπίαν καὶ ἀκρασίαν κατηγορήσῃ τῶν γυναικῶν, ἐπὶ πολὺ αὐτάς φησιν ἐνηνοχέναι τὸ πάθος. L 810 σκοτί η: ἡ ἐκ τῶν αἰχμαλώτων. L g P 811—12 χῆραί τ ’ ἐπὶ τῇ 〈σιν 〉 : ἵνα μὴ τῶν παρθένων ἀσέλγειαν κατηγορῇ, [εἶπεν] ἐπὶ τούτῳ φησίν· ἐδυσφόρουν διὰ τὰς χηρευούσας μητέρας καὶ ἐφρόντιζον· κατὰ κοινοῦ δὲ τὸ ἀλάληντ ο. ἢ πρὸς ἕτερον· ὅτι οὐδεμία ἡμῶν πρὸς γάμον ἤρχετο, εἴχομεν γὰρ τὴν τῶν μητέρων χηρείαν καὶ ὕβριν διδάσκαλον τῶν ἡμῖν ἐσομένων. L 813 οὐδὲ πατή ρ: πρὸς πλείονα οἶκτον καὶ ἔμφασιν διόλου τοῖς φυσικοῖς ὀνόμασι χρῆται. L 816 λώβη ν: κάκωσιν, ὕβριν. L g P 820 ὑπέρβιο ν: μέγα καὶ θαυμαστόν· οἶδε γὰρ αὐτὸ δεινὸν καὶ ἄπιστον, εἰ γυναῖκες ἀνδρῶν ἐκράτησαν.

71 διὸ καὶ τὴν τοῦ δαιμονίου ἐπίταξίν φησιν εἰληφέναι. 823 αὐταῖς ληιάδεσ 〈σιν 〉 : λείπει ἡ σὺν πρόθεσις, ἵν’ ᾖ· σὺν αὐταῖς ταῖς γυναιξί. L 824—25 θεσσάμενο ι: ἐξ αἰτήσεως ἀναλαβόντες, αἰτήσαντες· θέσσασθαι γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι. καὶ Ἡσίοδος (fg 201 Rz. 2 )· ‘θεσσάμενος γενεὴν Κλεοδαίου κυδαλίμοιο‘. καὶ Ἀρχίλοχος (fg 11 B. II 386)· ‘πολλὰ δ’ ἐυπλοκάμου πολιῆς ἁλὸς ἐν πελάγεσσι θεσσάμενοι γλυκερὸν νόστον‘. δαιμονίως δὲ καὶ τοῦτο πλάττεται· ἦν γὰρ εὐθέως ζητῆσαι· εἰ οἱ ἄνδρες ἀπέβησαν, κἂν ἡ βραχυτέρα τῶν ἀρσένων που ἡλικία; 826a Θρηικίης ἄροσι ν: περιφραστικῶς τὴν Θρᾴκην. L g P b χιονώδε α: οἱ μέν, ὅτι λευκόγεως ἡ Θρᾴκη, οἱ δὲ τὴν συνεχῶς χιονιζομένην παρὰ τὸ δυσχείμερον εἶναι· ὃ καὶ βέλτιον, ψυχρὰ γάρ ἐστιν ἡ χώρα· διὸ κἀκεῖθεν τοὺς ἀνέμους πνεῖν ἐμυθεύσαντο. Διοφάνης δὲ βόθρον φασὶν εἶναι ἐν τῇ Θρᾴκῃ, ἐξ οὗ φυσήματα ἀνέμων γίνεσθαι, καὶ μυθευθῆναι οὕτω Θρᾴκην ἀνέμων οἰκητήριον. 829 γέρα ς: τὴν βασιλείαν. L g P 831 Αἰγαίη ς: τὸ Αἰγαῖον πέλαγός φησιν. ἐκλήθη δὲ ἀπὸ νήσου Αἰγῶν καλουμένης. Ὅμηρος (Θ 203)· ‘οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγάσ‘. αὕτη γὰρ ἱερὰ Ποσειδῶνος, ἐν ᾗ μηδένα κοιμᾶσθαι λόγος διὰ τὰ φαντάσματα τοῦ θεοῦ, ὥς φησι Νικοκράτης (fg 2 M.

72 IV 466). οἱ δὲ ἀπὸ Ποσειδῶνος ὀνομασθῆναί φασι τὸ πέλαγος· Αἰγαῖος γὰρ οὗτος λέγεται ὁ θεός, ὥς φησι Φερεκύδης (3 fg 43 J.). Νικοκράτης δέ φησιν, ὅτι ἀπὸ Αἰγέως κατακρημνίσαντος ἑαυτὸν ἀπὸ τῆς ἀκροπόλεως εἰς τὴν θάλασσαν. οὐκ εὖ· πολὺ γὰρ ἀπέχει ἡ ἀκρόπολις τῆς θαλάσσης παραπλέοντι. 834 ἀμαλδύνουσ α: ἀφανίζουσα καὶ τῷ πλάσματι κρύπτουσα. τὸ δὲ ἴσκεν ἀντὶ τοῦ ἔλεγεν, κακῶς· Ὅμηρος γὰρ ἀντὶ τοῦ ὡμοίου. 836—37a μάλα κε ν: ὁ νοῦς· λίαν ἡμῖν ἐστιν ἀρεστὸν τυχεῖν ὧν ἔχομεν χρείαν, σὺ δὲ ὅμοια δίδως. νῦν γὰρ τὸ ὀπάζεις κεῖται ἀντὶ τοῦ δίδως. b 〈 χρησμοσύνη ς:〉 ἀντὶ τοῦ χρείας. L g c μάλα κεν θυμηδέο ς: θυμηδὴς χρησμοσύνη ἡ τὸν θυμὸν εὐφραίνουσα χρεία. P 838 ὑπότροπ 〈οσ 〉 : ἀπελθὼν πρὸς τὰς ναῦς, πάλιν ἥξω πρὸς τὴν πόλιν. 839—41 τὸ δὲ χάζομαι τὸ παραχωρῶ σημαίνει, ἵν’ ᾖ· ἔγωγε μὲν οὐ παραχωρῶ ἢ σοὶ ἢ ἄλλῳ ὁτῳοῦν τῆς ἀρχῆς ἀθερίζων καὶ καταφρονῶν τῆς τοιαύτης ἀρχῆς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλὰ διὰ τοὺς ἐπικειμένους μοι ἄθλους. P 842 χειρὸς θίγ ε: ἤδη σύμβολον αὐτῇ τῆς ἑταιρίας διὰ τῆς ἐφάψεως δίδωσιν. 845—48 μῦθον ὅ τ ' ἤδ η: ὁ νοῦς· μετέπειτα δὲ αἱ θεραπαινίδες ἦλθον βαστάζουσαι ξένια, ὅτε ἤδη ὁ Ἰάσων πάντα τὰ παρὰ τῆς Ὑψιπύλης ῥηθέντα τοῖς ἑαυτοῦ ἑταίροις συνετέλεσε λέγων. 851 Ἡφαίστοιο χάρι ν: ἱερὰ γὰρ Ἡφαίστου ἡ Λῆμνος. τὸ δὲ πολυμήτιος παρὰ τὸ ‘εἰδυίῃσι πραπίδεσσι‘ (Hom.) γέγονεν. 854 〈καὶ〉 ἔκυρσα ν: περιττὸς ὁ κα ί.

73 τὸ δὲ ἔκυρσαν ἀντὶ τοῦ ἔτυχον. L g P 855 Ἡρακλῆος ἄνευθ ε: τοῦτο ἕνεκα τῆς οἰκονομίας φησὶν ὁ ποιητής—πάντων γὰρ ταῖς ἡδοναῖς νικωμένων μόνος οὗτος πρὸς τὸν ἆθλον αὐτοὺς προτρέπεται—καὶ πρὸς τὴν κρατερὰν καὶ σώφρονα φύσιν τοῦ ἥρωος. L 859—60a Ἥρης υἷ α: Ἡσιόδῳ ἐπηκολούθησεν 〈ἐξ〉 Ἥρας μόνης τὸν Ἥφαιστον λέγοντι γεγενῆσθαι (Th. 927 sq.)· ‘Ἥρη δ’ Ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα γείνατο‘. Ὅμηρος δὲ Διὸς καὶ Ἥρας φησὶν αὐτόν. b καὶ αὐτὴν Κύπρι ν: διότι τὰ παρόντα ἐρωτικά, καὶ ὅτι τοῦ θεοῦ γαμετὴ αὕτη, οὗ ἱερὰ ἡ Λῆμνος. L 861 ἀμβολί η: ὑπέρθεσις. L g P 862a ἂν ἐλίνυο ν: ἀντὶ τοῦ ἤργουν. παρὰ τὰ αἴλινα τὰ θρηνητικὰ [ἐντεῦθεν] γεγένηται διὰ τὸ ἀνήνυτά τινα εἶναι, παρὰ τὸ Ὁμηρικόν (Ω 524)· ‘οὐ γάρ τις πρῆξις πέλεται‘. L b ἐλίνυο ν: παρέμενον. L g (P) 865—68a δαιμόνιο ι: τεχνικῶς καὶ συνετῶς οὐχ ἕνα τινὰ λοιδορεῖ, ἀλλὰ τοὺς πάντας, καὶ οὐ πρῶτον τὴν ἀκρασίαν αὐτοῖς ὀνειδίζει, πρὶν τὰ συμφέροντα δηλώσῃ. παρὰ δὲ τοῖς φυσικοῖς ὁ Ἡρακλῆς σύνεσις καὶ ἀλκὴ λαμβάνεται. ὁ δὲ νοῦς· ὦ μακάριοι, ἐξειργόμεθα 〈ὑπὸ〉 τοῦ ἡμῶν αἵματος τῆς πατρίδος; ἢ γάμων ἐνδεεῖς ὄντες ἐνταῦθα ἥκομεν, μεμψάμενοι τὰς ἑαυτῶν πολίτιδας καὶ Λῆμνον κατοικήσοντες τοῖς κλήροις διελόμενοι; ἢ οὕτως· ὦ μακάριοι, ἐμφύλιον φόνον δράσαντες ἐξειργόμεθα τῆς πατρίδος; ἐπειδὴ οἱ τοιοῦτοι ἐκ τῆς πατρίδος φυγῇ ἐνιαυσιαίᾳ ἐζημιοῦντο. b ὀνοσσάμενοι πολιήτιδα ς: κυρίως τὸ πολίτιδας γυναῖκας ἔταξεν, οἱονεί· τὰς Ἑλληνίδας γυναῖκας ἀπαρνησάμενοι συμβιοῦν βαρβάροις ἤλθομεν; καὶ οὔ φησι· τὸ κάλλος αὐτῶν ἀποφυγόντες· τάχα γὰρ ἀληθῶς ἐν τῇ Λήμνῳ εὐπρεπεστέρας εἶναι γυναῖκας συνέβαινεν· καὶ πρὸς τὸ σεμνὸν τοῦ Ἡρακλέους.

74 L 869 εὐκλειεῖ ς: ἔνδοξοι. καὶ διὰ τούτου δὲ ἐνυβρίζει. οἶδε γὰρ ἕκαστον αὐτῶν πρὸς τὸν πλοῦν ἐλθόντα εἰς εὐδοξίαν· ταύτην δὲ ἂν ἀπώλεσαν, εἰ ἐπιπολὺ διέτριψαν. L 870 ἐπὶ δηρὸν ἐελμέ 〈νοι〉 : καὶ τοῦτο συνετῶς καὶ τεχνικῶς. τὸν χρόνον αἰτιᾶται· τὸ μὲν γὰρ ὀλίγον ἀμελῆσαι τοῦ πόνου συγγνώμης ἂν εἴη, τὸ δὲ ἐπιπολὺ ἀνυπόστατον ἦν παντὶ ἀνδρί. καὶ ἔσπασεν αὐτὸ παρὰ τό ‘πάντων μὲν κόρος ἐστί‘ (N 636). L 872 ἴομεν αὖτις 〈ἕκαστοι〉 ἐπὶ σφέ α: οὐχ ὑγιῶς τὸ σφέα κεῖται, ἰσοδυναμεῖ γὰρ τῷ σφὰ ἐπὶ τρίτου προσώπου τασσομένῳ. ἔδει οὖν εἰπεῖν· ἴομεν αὖτις ἕκαστοι ἐφ’ ἡμέτερα. ἔστι γὰρ συζυγία τῶν προσώπων αὕτη· ἡμέτερα ὑμέτερα σφέτερα, τοῦ δὲ σφά· ἁμά ὑμά σφά. L 874 ἐσανδρώσ η: ἀνδρῶν πληρώσῃ, εἰρωνικῶς. L g (P) 879—83a λείρι α: καθόλου τὰ ἄνθη λείρια λέγεται. ἔστι δὲ κυρίως λεγόμενον ἄνθος λείριον, καί φησιν ὁ Θεόφραστος ἐν τῷ Περὶ φυτῶν (Hist. plant. VI 6, 9) τὸν νάρκισσον οὕτω λέγεσθαι, οἱ δὲ τὸ κρίνον. b σιμβληίδο ς: σίμβλους καλοῦσι τὰ ἀγγεῖα, ἐν οἷς κηροποιοῦσιν αἱ μέλισσαι. σιμβληίδος οὖν πέτρας, ἐν ᾗ μελιτουργοῦσιν ἐν τοῖς ὄρεσιν, οἱονεὶ σίμβλου τάξιν ἐχούσης. c ἄλλοτέ τ ' ἄλλο ν: παρὰ τὸ Ἰσοκράτους (Ad Demon. 52)· ‘ὥσπερ γὰρ τὴν μέλισσαν ὁρῶμεν ἐφ’ ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ’ ἑκάστου δὲ τὰ χρήσιμα συλλέγουσαν, οὕτω δὴ καὶ τῆς παιδείας 〈...〉.‘ d ὡς ἄρα ταίγ ε: αἱ Λημνιάδες γυναῖκες. ἡ δὲ παραβολὴ οὐχ ὑγιὴς οὐδὲ εἰς πάντα ἁρμόζεται. ἔστω γὰρ μελίτταις εἰκάσθαι τὰς γυναῖκας, ἄνθεσι δὲ τοὺς ἥρωας, σίμβλῳ δὲ κοίλῳ τὴν πόλιν· τὰ δὲ ἐπίλοιπα πῶς ἂν οὐκ εἴη ἀνάρμοστα, δι’ ὧν φησι· χαίρει καὶ ἀγάλλεται ὁ λειμών, καίτοι λυπεῖται ἡ πόλις, διό φησι κινυρόμενα ι; καὶ πάλιν ἀνάρμοστον τὸ γλυκὺν ἄλλοτέ τ ' ἄλλον καρπὸν ἀμέργουσι ν: οὐ γὰρ δὴ τὸν ἀρειότερον τῶν ἡρώων ἑκάστη ἔσπευδεν ἀπολαμβάνειν.

75

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταῦτα δ’ ἂν πρὸς τὴν πρώτην μῖξιν καὶ σύνοδον ἡρμόζετο. L e πρὸς τοὺς ἐπιλαμβανομένους τῆς παραβολῆς, ὅτι οὐ πάντα τὰ λεγόμενα ἁρμόττει τοῖς προκειμένοις, ῥητέον, ὅτι τὰ μὲν τῆς παραβολῆς πρὸς σαφήνειαν τοῦ γενομένου λαμβάνεται, τὰ δὲ πρὸς κάλλος μόνον καὶ ἔκφρασιν συντελεῖ. P f ἐνδυκέω ς: ἐπιμελῶς, σπουδαίως. τὸ δὲ κινυρόμεναι οὐκ εὖ· σημαίνει γὰρ τὸ θρηνῳδοῦσαι καὶ ἔδει κλαίουσαι, δακρυόεσσαι. 885 εὐχόμενα ι: ὅτι διὰ τὸ ἀσθενὲς ἡ γυναικεία φύσις πάντοτε ἐπὶ τὸ εὔχεσθαι τρέπεται, δῆλον ἐκ τῶν πρώτων, δι’ ὧν φησιν (v. 247 sq.)· ‘αἱ δὲ γυναῖκες πολλὰ μάλ’ ἀθανάτοισι‘. 888—90a νείσε ο: ἄγαν ἐρωτικὴ 〈ἡ〉 προσφώνησις καὶ ἡ εὐχή. πρῶτον γὰρ αὐτῷ 〈τὴν σωτηρίαν〉 κατεύχεται, ἔπειτα, ἐπεὶ οἶδε καὶ τὴν πᾶσαν σπουδὴν καὶ τὸ φίλτρον τῷ Ἰάσονι οὐδὲν ἕτερον ἢ τὴν τῶν ἑταίρων σωτηρίαν, καὶ ταύτην αὐτῷ κατεύχεται, οὐ τοσοῦτον ἐκείνοις χαριζομένη ὅσον Ἰάσονι. b νείσε ο: νείσομαι μὲν τὸ πορεύομαι σημαίνει, τὸ δὲ τοὶ ἀντὶ τοῦ σαυτῷ, πρωτότυπος ἀντὶ συνθέτου ἀντωνυμίας. P 893 ῥηιδίως δ ’ ἂν ἑο ῖ: βούλεται λέγειν· ῥᾳδίως δ’ ἂν σαυτῷ καὶ πολὺν ἀθροίσαις λαόν. οὐκ εὖ δὲ ἔθηκεν τὸ ἑο ῖ· ἔστι γὰρ τρίτου προσώπου δηλωτικόν, ὡς παρ’ Ὁμήρῳ (δ 38)· ‘ὀτρηροὺς θεράποντας ἐπισπέσθαι ἑοῖ αὐτῷ‘. L 894 μενοινή ν: ἀντὶ τοῦ γνώμην καὶ διάνοιαν, ἢ μέριμναν.

76 L m (P) 895 προτιόσσομα ι: ἐννοῶ, προορῶμαι. L g (P) 897—98a λίπε δ ’ ἧμιν ἔπο ς: ὁ νοῦς ἐστι τοιοῦτος: εἰπὲ δή μοι συμβουλήν τινα, ἐὰν γένηταί με τεκεῖν, ὥστε τῷ γεννωμένῳ ὑποθέσθαι τινά· ἐλλείπει γὰρ εἰς τὸν πλήρη λόγον. L b ἐξανύσαι δὲ τὸ τελέσαι. P 899 ἀγαιόμενο ς: θαυμάζων τῆς διαθέσεως καὶ τοῦ ἔρωτος. 901—03a ἐμέθεν πέρι θυμὸν ἀρεί ω: ὁ νοῦς· σὺ δὲ κρείττονα περὶ ἐμοῦ ψυχὴν καὶ ὑπόνοιαν ἔχε, τὰ περὶ τῆς πατρίδος ἡμῶν σκεπτομένη· οὐ γὰρ εὐτελεῖς ἐσμεν, ὡς τὴν ἰδίαν καταλείψαντες εἰς ἑτέραν μετοικεῖν. L b Πελίαο ἕκητ ι: τουτέστιν ἕνεκα Πελίου ἔστι μοι οἰκεῖν. L m (P) 904—06a Ἑλλάδα γαῖα ν: νῦν τὴν Θεσσαλίαν. Ὅμηρος δὲ μίαν Θεσσαλίας πόλιν οἶδε τὴν Ἑλλάδα. Πελασγίδος δὲ τῆς Θετταλικῆς, ἀπὸ τῶν ἐνοικησάντων Πελασγῶν. L b σὺ δ ’ ἄρσεν α: τοῦτο ὡς ἐν θαυμασμῷ· εἰ ἄρα ἐν γυναικῶν πόλει κἂν ἐξ ἐπιγονῆς ἔσται ποτὲ ἄρρην τις. L 907 δύης ἄκο ς: τῆς ταλαιπωρίας οἷον παραμύθιον καὶ ἴαμα. ὅθεν καὶ ἐνδυκὲς περιττεύοντος τοῦ κ , ὥς φησι Τρύφων (fg 133 Velsen Tryph. gramm. Alex. fragm. 1853, 99 )· ἔστι γὰρ ἐνδυὲς τὸ μετὰ πολλῆς κακοπαθείας γενόμενον, καὶ ἐνδυκέως ἐξ αὐτοῦ. 909 ἐφέστιο ι: ἔποικοι· Λακεδαιμόνιοι γὰρ τὴν οἰκίαν ἑστίαν φασίν. L m (P) 910a παροίτατο ς: ἀντὶ τοῦ πρότερος· ἐσχημάτισται δὲ ἀπὸ τοῦ πάρος. καὶ Ὅμηρος (Ψ 459)· ‘ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι‘. b ὣς δὲ καὶ ἄλλο ι: διὰ τούτου τῶν ἡρώων ὑπεραπολογεῖται, ὅτι καὶ τῆς πρὸς τὰς Λημνιάδας συνόδου προαρξαμένου τοῦ ἀρχηγοῦ καὶ οὗτοι συνετίθεντο, καὶ νῦν δὲ πάλιν ἐκείνου τοῦ πλοῦ ἀρχομένου καὶ οὗτοι εἵποντο. 912 ἐνσχερ ώ: ἀντὶ τοῦ ἐφεξῆς.

77 L g (P) 913 ἁλιμυρέο ς: τῆς ὑπὸ θαλάσσης περιρρεομένης. ‘ἁλιμυρήεντεσ‘ δὲ ‘ποταμοί‘ (Φ 190) οἱ εἰς τὴν θάλασσαν βάλλοντες. 916—18a ἐς Ἠλέκτρη ς: τὴν Σαμοθρᾴκην λέγει. ἐκεῖ γὰρ ᾤκει Ἠλέκτρα ἡ Ἄτλαντος καὶ ὠνομάζετο ὑπὸ τῶν ἐγχωρίων Στρατηγίς· ἥν φησιν Ἑλλάνικος (4 fg 23 J.) Ἠλεκτρυώνην καλεῖσθαι. ἐγέννησε δὲ γ′ παῖδας· Δάρδανον τὸν εἰς Τροίαν κατοικήσαντα, ὃν καὶ Πολυάρκη φησὶ λέγεσθαι ὑπὸ τῶν ἐγχωρίων, καὶ Ἠετίωνα, ὃν Ἰασίωνα ὀνομάζουσι, καί φασι κεραυνωθῆναι αὐτὸν ὑβρίζοντα ἄγαλμα τῆς Δήμητρος· τρίτην δὲ ἔσχεν Ἁρμονίαν, ἣν ἠγάγετο Κάδμος, καὶ ἀπὸ τῆς μητρὸς αὐτῆς Ἠλεκτρίδας πύλας τῆς Θήβης ὠνομάσθαι ἱστορεῖ καὶ Ἑλλάνικος ἐν α′ Τρωικῶν (v. supra) καὶ Ἰδομενεύς [ἐν α′ Τρωικῶν] (fg 18 M. II 494). Ἀθηνικῶν (fg 1 M. IV 345) δέ φησιν, ὅτι Διὸς καὶ Ἠλέκτρας ἐγένετο Ἰασίων καὶ Δάρδανος. b ἀρρήτους ἀγανῇσ ι: τὰς τελετὰς λέγει τὰς ἐν Σαμοθρᾴκῃ ἀγομένας, ἃς εἴ τις μυηθείη, ἐν τοῖς κατὰ θάλασσαν χειμῶσι διασώζεται. καὶ Ὀδυσσέα δέ φασι μεμυημένον ἐν Σαμοθρᾴκῃ χρήσασθαι τῷ κρηδέμνῳ ἀντὶ ταινίας (ε 346)· περὶ γὰρ τὴν κοιλίαν οἱ μεμυημένοι ταινίας ἅπτουσι πορφυρᾶς. καὶ Ἀγαμέμνονα δέ φασι μεμυημένον ἐν ταραχῇ ὄντα πολλῇ κατὰ Τροίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκαταστασίαν τῶν Ἑλλήνων παῦσαι πορφυρίδα ἔχοντα (Θ 221). μυοῦνται δὲ ἐν τῇ Σαμοθρᾴκῃ τοῖς Καβείροις, ὡς Μνασέας (fg 27 M. III 154) φησί. καὶ τὰ ὀνόματα αὐτῶν δ′ τὸν ἀριθμόν· Ἀξίερος, Ἀξιοκέρσα, Ἀξιόκερσος, 〈Κάσμιλοσ〉.

78 Ἀξίερος μὲν οὖν ἐστιν ἡ Δημήτηρ, Ἀξιοκέρσα δὲ ἡ Περσεφόνη, Ἀξιόκερσος δὲ ὁ Ἅιδης· ὁ δὲ προστιθέμενος τέταρτος Κάσμιλος ὁ Ἑρμῆς ἐστιν, ὡς ἱστορεῖ Διονυσόδωρος (68 fg 1 J.). Κάβειροι δὲ δοκοῦσι προσαγορεύεσθαι ἀπὸ Καβείρων τῶν κατὰ Φρυγίαν ὀρῶν, ἐπεὶ ἐντεῦθεν μετηνέχθησαν. οἱ δὲ δύο εἶναι τοὺς Καβείρους φασί, [πρότερον] πρεσβύτερον μὲν Δία, νεώτερον δὲ Διόνυσον. ἡ δὲ Σαμοθρᾴκη ἐκαλεῖτο πρότερον Λευκοσία, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Σαμοθρᾴκης πολιτείᾳ (fg 538 Rose 1567 a 34). ὕστερον δὲ ἀπὸ Σάου, τοῦ Ἑρμοῦ καὶ Ῥήνης παιδός, Σάμος προσωνομάσθη κατὰ παρένθεσιν τοῦ μ . Θρᾳκῶν δὲ οἰκησάντων αὐτὴν ἐκλήθη Σαμοθρᾴκη. c ἀγανῇσι τελεσφορίῃσι : ταῖς θείαις καὶ ὁσίαις μυσταγωγίαι ς . L g (P ) d θέμιστα ς: ἀντὶ τοῦ μυστήρια. L g (P) e σωότερο ι: ἀκινδυνότεροι. λέγονται γὰρ οἱ αὐτόθι μυηθέντες ἐπακούεσθαι εἰς ὃ ἂν εὔξωνται, ὡς Ἀριστοφάνης (Pac. 277 sq.)· ‘ἀλλ’ εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ τυγχάνει μεμυημένος, νῦν ἐστιν εὔξασθαι καλόν.‘ δοκοῦσι γὰρ μᾶλλον σώζεσθαι οἱ τὰ μυστήρια εἰδότες. 919—21a τῶν μὲν ἔ τ ’ οὐ προτ〈έρω 〉 : τὸ μὲν προτέρω ἐστὶ σημαντικὸν τοῦ εἰς τοὔμπροσθεν, ὡς καὶ παρ’ Ὁμήρῳ (ι 64)· ‘οὐδ’ ἄρα μοι προτέρω νῆες κίον‘· κεῖται δὲ νῦν καταχρηστικῶς ἐπὶ τοῦ λόγου. ὁ γὰρ νοῦς· τούτων δὲ οὐκ ἂν ἔτι πλέον τι εἴποιμι, ἀλλὰ χαίροι μὲν ἡ νῆσος, χαίροιεν δὲ καὶ οἱ δαίμονες, ὧν ἐστι τὰ μυστήρια· οὐ γὰρ καθῆκον ἡμῖν ἐστιν αὐτὰ λέγειν. b ὄργι α: τὰ μυστήρια, παρὰ τὸ εἴργειν τοὺς ἀμυήτους αὐτῶν.

79 ἢ τὰ ἐν ὀργάσι γινόμενα· ὀργάδες δὲ οἱ σύμφυτοι τόποι καὶ ὑγροί. 922 Μέλανος διὰ βένθ〈εα 〉 : Μέλας πόντος οὕτω λεγόμενος, ὡς ἱστορεῖ Εὔδοξος ἐν δ′ Γῆς περιόδου (fg 24 Brandes 4. Jabresb. d. Vereins von freund. d. Erdk. zu Leipz. 1865, 61 )· ὄπισθεν δὲ αὐτοῦ εἶναι τὴν Σαρπηδονίαν πέτραν φησίν. ὅτι δὲ οὕτω λέγεται, καὶ Ὅμηρος (Ω 79)· ‘ἔνθορε Μείλανι πόντῳ‘. ὠνομάσθη δὲ ἀπὸ Μέλανος τοῦ Φρίξου υἱοῦ ἐμπεσόντος, ἢ ἀπὸ ποταμοῦ Μέλανος καλουμένου κἀκεῖ 〈ἐκ〉 ῥέοντος. 923—24 τῇ μὲν Θρῃκ〈ῶν 〉 : ταύτῃ μέν, τῇ χειρὶ τῇ δεξιᾷ. περαίην δὲ τὴν κατὰ τὸ ἐναντίον κειμένην· ἡ γὰρ Ἴμβρος ἀντικρύ ἐστι τῆς Θρᾴκης. Ὅμηρος (Ω 753)· ‘ἐς Σάμον ἔς τ’ Ἴμβρον καὶ Λῆμνον‘· Σάμον γὰρ εἶπεν ἐνταῦθα τὴν Σαμοθρᾴκην. 925 Χέρνησο ν: τὴν μετὰ Θρᾴκην κειμένην Χερσόνησον. ἦν δὲ πρότερον νῆσος. ἔστι δὲ πλησίον Τροίας. ἔστι καὶ ἑτέρα Χερσόνησος, Καρίας, ἔνθεν ἦν Ἀλέξανδρος ὁ περὶ Καρίας γράψας. 927 Ἀθαμαντίδο ς: τουτέστιν εἰς τὸν Ἑλλήσποντον, ἀπὸ Ἕλλης τῆς Ἀθάμαντος θυγατρός. 929 Ῥοιτειάδ〈οσ 〉 : ἀπὸ Ῥοιτείας τῆς Πρωτέως θυγατρός. Ῥοίτειον δὲ καὶ Σίγειον ἀκρωτήρια τῆς Ἰλίου. L m (P) 932—33a Ἀβαρνίδο ς: ἡ Ἀβαρνὶς πόλις τῆς Λαμψάκου. ὠνομάσθη δὲ ἀπὸ αἰτίας τοιαύτης. Διονύσου ἐρασθεῖσα Ἀφροδίτη ἐμίγη αὐτῷ καὶ ἀναχωρήσαντος αὐτοῦ εἰς τὴν Ἰνδικὴν ἐμίγη τῷ Ἀδώνιδι.

80 ὡς δὲ ἦλθεν ὁ Διόνυσος, στέφανον ποιήσασα ὑπήντησεν αὐτῷ. καὶ στέψασα αὐτὸν ἀκολουθῆσαι μὲν ᾐδεῖτο διὰ τὸ ἤδη γεγαμῆσθαι, εἰς δὲ Λάμψακον ἀναχωρήσασα τὸ ἐξ αὐτῆς κυοφορούμενον ἠβούλετο τεκεῖν. Ἥρα δὲ ζηλοτυποῦσα μεμαγευμένῃ τῇ χειρὶ ἐφήψατο τῆς γαστρὸς αὐτῆς καὶ ἐποίησε τεκεῖν ἄμορφον, ὃν Πρίαπον προσαγορευθῆναι ἐκ τοῦ 〈...〉 ἀπαρνήσασθαι τὴν Ἀφροδίτην καὶ διὰ τοῦτο Ἀπαρνίδα κληθῆναι. ὕστερον δὲ κατὰ μετάθεσιν τοῦ στοιχείου ἐκλήθη Ἀβαρνίς. Περκώτη δὲ πόλις Τροίας, ἣν καὶ Ὅμηρός φησιν. b Πιτύει α: ἡ Λάμψακος τὸ πρότερον Πιτύεια προσηγορεύετο, ἥν τινες Πιτύουσαν ὀνομάζουσι 〈διὰ τὸ ἔχειν πίτυς πολλάσ〉. τινὲς δέ φασιν, ὅτι Φρίξος γενόμενος ἐνταῦθα θησαυρὸν ἔθηκεν καὶ ἀπὸ τούτου ἡ πόλις ὠνομάσθη· Θρᾷκες γὰρ τὸν θησαυρὸν πιτύην λέγουσι.

81 μνημονεύει δὲ αὐτῆς καὶ Ὅμηρος (Β 829)· ‘καὶ Πιτύειαν ἔχον‘. ἡ δὲ Ἀβαρνὶς τοῦ Ἑλλησπόντου, ἣ τὸ παλαιὸν Ἀπαρνὶς ἐκαλεῖτο, ὡς εἴρηται, ἀπὸ τοῦ Ἀφροδίτην ἐνταῦθα τεκοῦσαν τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πρίαπον ἀπαρνήσασθαι τὸν παῖδα διὰ τὸ ἀπρεπὲς τοῦ αἰδοίου. 935 πορφύροντ α: διέπλευσαν τὸν τοῖς ῥοθίοις μελαινόμενον καὶ σφοδρὰ κύματα ἔχοντα. L g (P) 936—49a ἔστι δέ τις αἰπεῖα : Προποντίς ἐστι τὸ μετὰ τὸν Ἑλλήσποντον πέλαγος, οὗ ἑξῆς ὁ Θρᾳκικὸς Βόσπορος. ἐν οὖν ταύτῃ τῇ Προποντίδι ἔστι νῆσος, ἣ ὕστερον χερρόνησος γεγένηται καὶ ἰσθμόν τινα ἔσχεν· πᾶσα γὰρ γῆ ἐξέχουσα εἰς θάλασσαν ἰσθμὸς καλεῖται. ταύτῃ οὖν τῇ χερρονήσῳ παράκειται Ἄρκτων ὄρο ς, κυρίως οὕτω λεγόμενον, ἐπειδή φασι τὰς τροφοὺς τοῦ Διὸς ἐκεῖ διατριβούσας εἰς ἄρκτους μεταβληθῆναι· ἢ ὅτι ὁ τόπος ἔνθηρος, καὶ ἀπὸ τοῦ θηρίου τῆς ἄρκτου ὠνομάσθη· ἢ διὰ τὸ ὑψηλὸν τοῦ ὄρους, ἀπὸ τοῦ δοκεῖν ταῖς ἄρκτοις προσπελάζειν ταῖς ἀστρῴοις. τοῦτο δὲ ἄγριοί τινες Γηγενεῖς ᾤκουν. αὐτὴν δὲ τὴν χερρόνησον καὶ τὸν ἰσθμὸν ᾤκουν Δολίονες, ὧν ἐβασίλευε Κύζικος. τὸ δὲ ἑξῆς οὕτως· ἔστι δέ τις ἐν τῇ Προποντίδι νῆσος ὑψηλή, ἀπέχουσα βραχὺ τῆς Φρυγίας κατὰ τὸ ῥεῦμα τοῦ ἰσθμοῦ, ἐπικειμένη τῇ γῇ ὑπὲρ τὸν Αἴσηπον ποταμόν, ἔχουσα ἑκατέρωθεν ἀκτάς· καλεῖται δὲ Ἄρκτων ὄρος. b 〈 αἰπεῖ α:〉 μεγάλη. L g c 〈 Προποντίδο ς:〉 τὸ πρὸ τοῦ Εὐξείνου πέλαγος. L g d ἔστι δὲ χερρόνησος, ἐφ' ἧς κεῖται ἡ Κυζικηνῶν πόλις· νῆσον δὲ αὐτὴν ἔφη διὰ τὸ πρότερον αὐτὴν οὖσαν νῆσον ὕστερον συνῆφθαι τῇ ἠπείρῳ. L e 〈 νῆσο ς:〉 τὴν Κύζικον λέγει. S m f ἀπὸ Φρυγίη ς: ἡ Φρυγία παράκειται τῇ Τροίᾳ, ἔστι δὲ τὰ ἔθνη τῆς Ἀσίας. τοῖς οὖν εἰς Κόλχους πορευομένοις ἐκ μὲν δεξιῶν ἐστιν ἡ Ἀσία, ἐκ δὲ ἀριστερῶν ἡ Εὐρώπη.

82 πολυλήιον δὲ τὴν Φρυγίαν εἶπεν τὴν πολύπυρον ἢ πολυθρέμμονα. g ὅσσον τ ' ἐπιμύρ〈ε〉τ〈αι 〉 : ὅσον, φησί, διάστημα ἰσθμοῦ ἐστιν. οἱ δὲ τὸ ὅσον θαυμαστικῶς ἤκουσαν, ὃ κρεῖττον, ἵνα ᾖ· ἡ χερρόνησος καὶ εἰς θάλασσαν κειμένη καὶ ἰσθμὸν ἔχουσα—εἶτα θαυμαστικῶς· ὅσον γὰρ ἐκεῖνος ὁ ἰσθμὸς βοᾷ τοῖς κύμασι ῥησσόμενος. ἰσθμὸς δὲ καλεῖται ὁ ἐξ ἀμφοτέρων τῶν μερῶν θάλασσαν ἔχων τόπος· εἴρηται δὲ ἰσθμὸς παρὰ τὸ ἐν στενῷ εἶναι, οἷον ἴστνος τις ὤν· ὅθεν καὶ τοῦ τραχήλου τὰ παρίσθμια. πορθμὸς δὲ ὁ ἐξ ἀμφοτέρων γῆν ἔχων. h ἐπιμύρετα ι: ἠχεῖ, βοᾷ. L g (P) i ἐπιπρηνή ς: ἀντὶ τοῦ ἐπίπροσθεν. L g G g (P) k καταειμένο ς: καταρρεόμενος, ἢ καταπνεόμενος, ἢ κεκαλυμμένος φυτοῖς. L g G m (P) l ἀμφίδυμοι δέ, ὅτι ὁ τῆς Κυζίκου λιμὴν δισσὰς εἰσόδους ἐξ ἑκατέρου μέρους ἔχει. L m ἀμφίδυμο ι: δύο εἰσόδους ἔχουσαι· τοιοῦτος γάρ ἐστιν ὁ Κυζίκου λιμήν. L g G g (P) n Αἰσήποι ο: ποταμὸς 〈πέραν〉 Κυζίκου. L g P o Γηγενέε ς: τούτων καὶ Ἡρόδωρος μνημονεύει ἐν τοῖς Ἀργοναυτικοῖς (31 fg 7 J.

83 ), καὶ ὅτι ἐπολέμησαν Ἡρακλεῖ. οἱ μὲν οὖν Γηγενεῖς περὶ Κύζικον ᾤκουν, οἱ δὲ Δολίονες περὶ τὸν ἰσθμόν. p ἥρως Αἰνήιο ς: Κυζίκου πατὴρ Αἰνεύς, Ἀπόλλωνος παῖς καὶ Στίλβης 〈...〉 ὅθεν καὶ πόλις ὠνόμασται. 〈...〉 μητρὸς δὲ Εὐανθείας. μετέστη δὲ ἐκ Θεσσαλίας καὶ ᾤκησε περὶ τὸν Ἑλλήσποντον. q ἐν δ ' ἥρως Αἰνήιο ς: ὅτι Αἰνεὺς Θετταλὸς ὢν τὸ γένος ᾤκησεν ἐν Ἑλλησπόντῳ. γήμας δὲ Εὐσώρου βασιλέως τῶν Θρᾳκῶν Αἰνήτην, γεννᾷ Κύζικον, ἀφ' οὗ ἡ πόλις. Εὐσώρου δὲ υἱὸς Ἀκάμας, ὃν Ὅμηρος ἐν τῇ Βοιωτίᾳ (B 844) ἡγεῖσθαι Θρᾳκῶν ἅμα τῷ Πείρῳ 〈φησίν〉 . r δίου Εὐσώροι ο: τοῦ ἐνδόξου Εὐσώρου ἡ θυγάτηρ. Εὔσωρος δὲ Θρᾴκης βασιλεύς· Ὅμηρος (Z 8)· ʻυἱὸν Ἐυσώρου Ἀκάμαντ' ἠύν τε μέγαν τεʻ. 950a 〈 Αἰνήτ η:〉 Κυζίκου μήτηρ. L g b 〈 τού ς:〉 τοὺς Δολίονας. L g c 〈 ἔκπαγλο ι:〉 τερατώδεις. L g 953 προὔτυψε ν: ὥρμησεν, ἐπέλασεν. L g P 954 λιμὴν ὑπέδεκτ ο: ὁ Πάνορμος λιμὴν τῆς Κυζίκου, οὗ ὁμώνυμος πόλις ἐν Σικελίᾳ. 955—60a κεῖσε καὶ εὐναίη ς: λείπει ἡ ἀντὶ πρόθεσις, ἵν' ᾖ· τὸν ἀντὶ εὐναίας καὶ ἀγκύρας λίθον διὰ τὸ βεβρῶσθαι ἐκ τῆς θαλάσσης ἀπολύσαντες ἕτερον ἔλαβον, ἐκεῖνον δὲ κατέλιπον ἐν τῇ Ἀρτακίᾳ κρήνῃ. Μιλήσιοι δὲ ἐνοικήσαντες, κατὰ χρησμὸν Ἀπόλλωνος ἄραντες τὴν ἄγκυραν ἀνιέρωσαν ἐν τῷ ναῷ τῆς Ἰασονίας Ἀθηνᾶς. b 〈 ἐννεσίῃσι ν:〉 βουλαῖς. L g c κρήνῃ ὑ π ' Ἀρτακ〈ίῃ 〉 : Ἀρτακία κρήνη περὶ Κύζικον, ἧς καὶ Ἀλκαῖος (fg 205 Lobel = 115 B. III 185) μέμνηται καὶ Καλλίμαχος (fg 547 Schn.), ὅτι τῆς Δολιονίας ἐστίν. d 〈 κεῖνο ν:〉 τὸν ὑπὸ τῶν ἡρώων καταλειφθέντα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

84 L g e Νηλεΐδα ι: οἱ μετὰ Νηλέως τοῦ Κόδρου ἀποικήσαντες ἐκ τῆς Ἀττικῆς Ἴωνες καὶ τὴν Καρίαν καὶ Φρυγίαν κατασχόντες, χρησμοῖς τοῦ Ἀπόλλωνος ἐκεῖνον τὸν λίθον τῇ Ἀθηνᾷ ἀφιέρωσαν. f ὀλίγον δὲ λίθον τὸν μικρὸν ἔφη, ὡς καὶ Ὅμηρος (υ 259) ‘ὀλίγην τράπεζαν‘ καὶ Θεόκριτος (I 47) ‘ὀλίγον κοῦρον‘. P 961—63 τοὺς δ ’ ἄμυδι ς: Δηίοχος (fg 2 M. II 17) τοὺς μὲν Δολίονας οὐκ ὀνομάζει, τὸν δὲ Κύζικόν φησι πυθόμενον τὴν τῶν ἀριστέων γενεὰν ξενίσαι. στόλον δὲ τὸν πλοῦν φησιν, ὃν ἐστέλλοντο. τὸ δὲ ἑξῆς· τούτους δὲ οἱ Δολίονες καὶ ὁ Κύζικος, ἐπειδὴ ἔμαθον τίνες εἰσί, φιλοφρόνως ἐξένισαν. καὶ γὰρ καὶ οἱ Δολίονες ἄποικοι Θετταλῶν εἰσι, διὸ καὶ αὐτοὺς ὡς ὁμοφύλους ἐδέξαντο. 964—65a πέπιθο ν: ἔπεισαν αὐτοὺς ἐνδότερον ὁρμίσαι τὴν ναῦν· τὸ γὰρ πρότερον ἔξωθεν τῆς πόλεως ἦσαν ὁρμίσαντες. b 〈 εἰρεσί η:〉 κωπηλασίᾳ. L g c προτέρωσ ε: ἐσωτέρω. L g P d ἀνάψα ι: ἐκδῆσαι. L g (P) 966 ἔν θ ’ οἵ γ ’ Ἐκβα 〈σίῳ 〉 : ἀπὸ τῆς ἐκβάσεως τῆς νεὼς ἐπὶ τὴν Δολιονίαν. Δηίοχος (fg 3 M. II 17) δὲ τὸ ἱερὸν οὐκ Ἐκβασίου Ἀπόλλωνός φησιν εἶναι, ἀλλ’ Ἰασονίου Ἀπόλλωνος, Σωκράτης δὲ ἐν Ἐπικλήσεσι (fg 15a M. IV 499) Κυζικηνοῦ Ἀπόλλωνος. 967 〈 θυηπολίη ς:〉 θυσίας. L g 968 〈 ἄνα ξ:〉 ὁ Κύζικος. L g 969—70a 〈 φάτι ς:〉 φήμη ἢ χρησμός. L g b ὁ δὲ στόλος ἐνταῦθα ὡς περιληπτικὸν ὄνομα συντάσσεται πρὸς πληθυντικὸν ῥῆμα τὸ ἵκοντα ι. P 972a ἶσόν που κἀκείν ῳ: [ἀντὶ τοῦ νεωστί.] τοῦτό [δέ] φησιν ὡς καὶ τοῦ Κυζίκου τὴν αὐτὴν ἡλικίαν ἄγοντος τῷ Ἰάσονι. γράφεται δέ ἁρμοῖ που κἀκείνῳ ὑποσταχύεσκον ἀντὶ τοῦ· ἀρτίως, νεωστὶ ὑπηύξανον, ὑπήνθουν.

85 ἴουλος δὲ καλεῖται ἡ πρώτη ἐξάνθησις καὶ ἔκφυσις τῶν ἐν τῷ γενείῳ τριχῶν. ὁ μέντοι Ἐρατοσθένης ὄνομα ᾠδῆς ἐρίθων ἀπέδωκεν, ἐν τῷ Ἑρμῇ λέγων οὕτω (fg XII Hiller)· ‘ἦν χερνῆτις ἔριθος ἐφ’ ὑψηλοῦ πυλεῶνος δενδαλίδας τεύχουσα, καλοὺς δ’ ἤειδεν ἰούλους.‘ οὐκ ἔστι δέ, φησὶ Δίδυμος (fg I 5, 32 Schmidt 66), ἀλλ’ ὕμνος εἰς Δήμητρα ὡς ὁ οὔπιγγος παρὰ Τροιζηνίοις εἰς Ἄρτεμιν. ἔστι γὰρ οὖλος καὶ ἴουλος ἡ ἐκ τῶν δραγμάτων συναγομένη δέσμη καὶ Οὐλὼ ἡ Δημήτηρ. λέγεται δὲ ἴουλος καὶ ζῷόν τι, θηρίδιον πολύπουν· ἑκατέρωθεν γὰρ ἔχει πολλοὺς πόδας ὥσπερ ἡ σκολόπενδρα. Θεόφραστος δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ (fg 185 Wimmer) καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι, ὡς παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς Σατύροις (fg 363 Pearson)· ‘κυλισθεὶς ὥς τις ὄνος ἰσόσπριοσ‘. b ἐπισταχύεσκο ν: ἐπήνθουν. L g (P) 973 μεμόρητ ο: ἐκεκλήρωτο ὑπὸ τῆς τύχης, μεμοιραμένως εἶχεν. τὸ δὲ κατάλληλον· οὐδέ νύ πω παίδεσσιν ἀγάλλεσθαι μεμόρητ ο. 974—76a ἀκήρατο ς: ἀντὶ τοῦ ἄπαις καὶ καθαρὰ ὠδίνων.

86 Κλείτη δὲ θυγάτηρ Μέροπος Περκωσίου τὸ γένος, μάντεως, ἣν Κύζικος ἔγημεν, ὡς ἱστορεῖ Δηίοχος (fg 4 M. II 17) καὶ Ἔφορος (70 fg 184 J.). b 〈 νέο ν:〉 νεωστί. L g 977 τὸ δὲ ἀντιπέρηθεν ἢ τὸ ἐκ τῆς Εὐρώπης δηλοῖ— ἀντίκειται γὰρ ἡ Εὐρώπη τῇ Ἀσίᾳ—ἢ τὸ ἐκ τοῦ ἀντικειμένου τῆς Προποντίδος πρὸς τὴν Κύζικον· τῆς γὰρ Πιτυείας βασιλεὺς ἦν Μέροψ ὁ Περκώσιος, ὡς δηλοῖ Ὅμηρος ἐν Καταλόγῳ (B 829). P 979 τὸ δὲ βάλεν 〈 δ ’〉 ἀπὸ δείματα θυμοῦ τοῦτο ἐμφαίνει, ὅτι χρησμόν τινα ἔοικε φοβεῖσθαι ὡς μέλλων τεθνήξεσθαι ὑπὸ τῶν Ἀργοναυτῶν. P 980 〈ἀμοιβαδίς:〉 ἐνηλλαγμένως. L g 981—82 ἄνυσι ν: τόν τε πλοῦν καὶ ἐφ’ ἣν πρᾶξιν ἔπλεον. ἀστείως δὲ ταύτην αὐτοῖς τὴν ἐρώτησιν δίδωσι τὴν κατεπείγουσαν καὶ χρησίμην. περικτιόνων δὲ περιοίκων. 983a 〈 πεύθοντ ο:〉 ἠρώτων. L g b οὐ μὲν ἐπιπρ ό: εἰς τοὔμπροσθεν τῆς Δολιονίας, ἢ ἀντὶ τοῦ διόλου. διὰ δὲ τούτου οὐδὲν ἕτερον ἢ τὴν ἀπραγμοσύνην τοῦ Κυζίκου ἐμφαίνει. 985 ἠοῖ δ ’ εἰσανέβα ν: ἡ εἰς πρόθεσις περιττή. Δίνδυμον δὲ ὄρος Κυζίκου ἱερὸν τῆς Ῥέας, διὰ τὸ διδύμους μαστοὺς ἐν αὐτῷ ἀνήκειν, ὥς φησι Φιλοστέφανος (fg 2 M.

87 III 29), οὕτω προσαγορευθέν· σύμπασα δὲ ἡ Φρυγία ἱερὰ τῇ θεῷ. ἢ διὰ τὸ δύο ἔχειν ἄκρας οὕτω καλεῖται. 987a Χυτοῦ λιμένο ς: Χυτὸς λιμὴν ἐν Κυζίκῳ οὕτω καλούμενος. ἐπεχείρησαν δὲ οἱ Πελασγοὶ χῶσαι αὐτόν, ὥς φησι Δηίοχος (fg 5 M. II 17), κατὰ ἔχθος τὸ πρὸς τοὺς Θεσσαλούς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑφ’ ὧν ἐξεβέβληντο. οὗτος (v. 989 sq.) δὲ ὑπὸ τῶν Γηγενῶν φησι κεχῶσθαι αὐτόν, ποιητικῶς. b προτέρου ἐξήλασα ν: καθ’ ὃν τὸ πρότερον ἦσαν ὁρμισθέντες. 989—91 Γηγενέες δ ’ ἑτέ 〈ρωθεν 〉 : Δηίοχος (v. sch. 987 a ) 〈...〉 Θετταλοὺς εἶναι. οὗτος δὲ Γηγενεῖς φησιν ἐγχειρογάστορας τοῖς Ἀργοναύταις ἐπιβουλεῦσαι [δοκοῦντας ληστὰς εἶναι]. Πολύγνωστος δὲ ἐν τοῖς Περὶ Κυζίκου (M. IV 481) λῃστὰς αὐτοὺς λέγει. 995 ἀμφιρρῶγα ς: ἤτοι διερρωγυίας καὶ διεσχισμένας ἢ διαβεβρωμένας ὑπὸ τῆς θαλάσσης. 996—97 〈κἀκεῖνα〉 θεὰ τρέφε ν: μυθικῶς φησιν ὑπὸ Ἥρας ἐφ’ Ἡρακλεῖ τετράφθαι τοὺς Γηγενεῖς.

88 ὁ δὲ μῦθος ἀπὸ τοῦ Νεμεαίου λέοντος. μέμνηται δὲ καὶ Καλλίμαχος ἐν οἷς φησι (Hymn. III 107—09)· ‘τὴν δὲ μίαν Κελάδοντος ὑπὲρ ποταμοῖο φυγοῦσαν Ἥρης ἐννεσίῃσιν, ἀέθλιον Ἡρακλῆι ὕστερον ὄφρα γένοιτο, πάγος Κερύνειος ἔδεκτο.‘ 998—99 σὺν δὲ καὶ ὦλλο ι: τῆς νεωτέρας Ἰάδος τὸ ὦλλο ι. τὸ δὲ δῆθεν ποτὲ μὲν παραπληρωματικόν, ποτὲ δὲ ἀντὶ τοῦ δηλαδὴ ἢ ὡς δή. ὑπερβεβίβασται δὲ ἡ φράσις. ἔστι γὰρ τὸ ἑξῆς· σὺν δὲ καὶ ὦλλοι δῆθεν ὑπότροποι ἀντιόωντες ἥπτοντο φόνοι ο. 1001—02 εἰσόκε πάντα ς: ἀδιαλείπτως ταρασσομένους ἐδάιξαν. ἢ οὕτως· ἐναντιούμενοι ταῖς δυνάμεσιν ἀκαταπαύστως συνταρασσομένους αὐτοὺς ἀνεῖλον. 1003—05a ὡς δ ’ ὅτε δούρατα μακ〈ρά 〉 : ἡ παραβολὴ πρὸς πάντα ἁρμόδιος καὶ ὑγιής. ξύλοις γὰρ εἰκάζει αὐτοὺς πρὸς τὸ εὐτράπελον τῶν σωμάτων καὶ πρὸς τὴν ἐν τοῖς ὄρεσιν αὐτῶν διατριβήν, καὶ ξυλοτόμοις δὲ τοὺς ἥρωας. τὸ δέ ὄφρα νοτισθέντα κρατεροὺς ἀνεχοίατο γόμφους πρός τε τὴν τῶν αἰγιαλῶν 〈ἐγγύτητα〉 καὶ πρὸς ἕτερον, ὅτι οἱ τέκτονες τοῦτο ποιοῦσιν, ἵνα πλείονος καμάτου ἀπαλλαγῶσιν ἐργαζόμενοι καὶ τοὺς σφῆνας ἐπιβάλλοντες, ὁμοίως δὲ καὶ οἱ ἥρωες αὐτοὺς ἀνεῖλον, ὅπως λοιπὸν αὐτοῖς ἀκίνδυνος γένηται ἡ εἰς τὸ ὄρος ἀνάβασις. b ὄφρα νοτισθ 〈έντα 〉 : ὅπως βραχέντα εὐεπίδεκτα γένηται τῶν σφηνῶν. 1006 ἐνὶ ξυνοχ ῇ: ἐν τῇ περιφερείᾳ καὶ τῷ πρώτῳ τοῦ λιμένος. L g (P) 1008 δύπτοντες κεφαλ〈άσ 〉 : ἀντὶ τοῦ δύνοντες τὰς κεφαλάς. παρατατικὸν δὲ εἴρηκεν ἀντὶ συντελικοῦ δύψαντες, ἐπὶ τῷ δύπτειν ἐπὶ κεφαλὴν κατενεχθέντες. δύπτειν δέ ἐστι τὸ δύνειν, 〈δύπται δὲ αἴθυιαι〉, ὡς παρὰ Καλλιμάχῳ (fg 167 Schn.

89 )· ‘δύπται δ’ ἐξ ἁλὸς ἐρχόμενοι‘. πρότερος δὲ Ἀντίμαχος (fg 6 B. II 290)· ‘ἠύτε τις καύηξ δύπτῃ ἐς ἁλμυρὸν πέλαγοσ‘. 1012 ἀταρβῆ ς: ἀκίνδυνος καὶ ἄφοβος τῶν ἐχθρῶν ὡς ἀπολωλότων. L 1015—17a ῥιπὴ μένε ν: οὐκέτι ἀσφαλὴς καὶ ὁμοία ἔμενεν ἡ τοῦ ἀνέμου πνοή, ἀλλ’ ἐναντία ἐγένετο· προσληπτέον γὰρ τὸ ἡ ἄρθρον. ἐξ οὗ ὁ λόγος· ἐπιούσης δὲ νυκτὸς οὐκέτι ἔμενεν ὁμοίως ἡ πνοὴ τοῦ ἀνέμου. b ἀλλὰ θύελλα ι: αἱ χειμεριναὶ καταιγίδες καὶ πνοαί. ὅθεν Ὅμηρος ἐν συνωνυμίᾳ τίθησι θυέλλας τε καὶ ἁρπυίας ἀντὶ τοῦ καταιγιδώδεις πνοάς, ἀπὸ τοῦ οἷον ἁρπάζειν παραγώγως (υ 66)· ‘ὡς δ’ ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι‘, εἶτα (77)· ‘τόφρα δὲ τὰς κούρας ἅρπυιαι ἀνηρείψαντο‘, ὡς τῶν αὐτῶν οὐσῶν. τὸ μὲν ἀπὸ τοῦ ἁρπάζειν, τὸ δὲ ἀπὸ τοῦ θύειν, ὅ ἐστι μετὰ βίας ἄειν. ἁρπάγδην δὲ εἶπεν ἀπὸ τοῦ ἁρπάζειν, ὡς φοράδην ἀπὸ τοῦ φέρειν καὶ ἀίγδην ἀπὸ τοῦ ἀίσσειν. 1018 ἐκ δ ’ ἄ ρ ’ ἔβη〈σαν 〉 : ἐξέβησαν καὶ προσεπελάσθησαν πάλιν τοῖς Δολίοσι. τὸ δὲ ἐυξείνοισιν, ὥσπερ καὶ αὐτὸς δεινοπαθῶν ἐπὶ τοῖς συμβεβηκόσι τοῦτό φησιν. 1019 Ἱερὴ δὲ φατίζε〈ται 〉 : κατ’ εὐφημισμόν. τὰ γὰρ μεγάλα τῶν παθῶν εὐφήμως ἱερὰ καὶ καλά φαμεν, ὡς καὶ τὰς Ἐρινύας Εὐμενίδας καὶ τὴν λοιμικὴν νόσον ἱεράν, ὡς καὶ Καλλίμαχος (fg 276 Schn.

90 )· ‘ψευδόμενοι δ’ ἱερὴν φημίζομεν‘. 1021 〈 ἐνόησε ν:〉 ἔγνω. S m 1023a 〈 ἐπήισα ν:〉 οὐκ ἐπήρχοντο, φησίν, ἀληθῶς ὡς ἐπὶ τοὺς ἥρωας· ἠγνόησαν γάρ, διότι νὺξ ἦν. L g b τὸ δὲ ἐπήισαν ἀντὶ τοῦ ᾔσθοντο. P 1024a Μακριέω ν: τῶν καλουμένων Μακρώνων, οἵ εἰσιν ἄποικοι Εὐβοέων, ἀφ’ οὗ καὶ Μάκρωνες ἐκλήθησαν· καὶ Μάκρις γὰρ ἡ Εὔβοια ἐκαλεῖτο. Πελασγικὸν δὲ εἶπεν διὰ τὸ πλησιόχωρον εἶναι τὴν Εὔβοιαν τῇ Πελοποννήσῳ, ἣ πρότερον ἐκαλεῖτο Πελασγία. ἦσαν δὲ ἀστυγείτονες τῶν Δολιόνων οἱ Μάκρωνες. οἱ δὲ ἔθνος Βεχείρων φασὶ τοὺς Μακριέας, οἵτινες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀεὶ πολεμοῦσι τοῖς Κυζικηνοῖς. ἦσαν δὲ τὰ πολεμικὰ ἔργα ἠσκηκότες, ὡς ἱστοροῦσι Φιλοστέφανός (fg 4 M. III 29) τε καὶ Ἡρόδωρος (31 fg 64 J.) οἱ τὰ περὶ τῶν βίων αὐτῶν γεγραφότες. Διονύσιος δὲ ὁ Χαλκιδεὺς (fg 10 M. IV 395) εἰρῆσθαί φησιν αὐτοὺς Μάκρωνας, ἐπειδὴ Εὐβοέων εἰσὶν [Μάκρωνες] ἄποικοι. ἄλλοι δὲ Μάκρωνας αὐτούς φασι λέγεσθαι διὰ τὸ πλείονας εἶναι παρ' αὐτοῖς μακροκεφάλους ὥσπερ παρὰ τοῖς Πέρσαις γρυπούς. μέμνηται δὲ τούτων Ἡρόδοτος ἐν β′ (104). Πελασγικὸν δὲ ἄρεα εἶπεν τὸν τῶν Μακριέων, ἐπεὶ Εὐβοέων εἰσὶν ἄποικοι, ἡ δὲ Εὔβοια πλησίον Πελοποννήσου κεῖται, ἥτις τὸ παλαιὸν Πελασγὶς ἐκαλεῖτο. b Μακριέω ν: ὅμοροι Δολίοσιν οὗτοι καὶ πολέμιοι. L g (P) 1025 〈 τ ῷ:〉 διό, ἐπεὶ Μάκρωνας αὐτοὺς ἐνόμισαν, συνέβαλον.

91 L g 1026 σὺν δ ' ἔλασα ν: τὸ Ὁμηρικὸν παραγράφει (Δ 447)· 'σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν.' 1027—28a ῥιπ ῇ: ὁρμῇ. L g (P) b ἥ τ' ἐνὶ θάμνοι ς: τοῖς στελέχεσι τῶν δένδρων, ἀπὸ τῆς θέσεως (ψ 190)· 'θάμνος ἔφυ τανύφυλλος ἐλαίησ'. καὶ ταῦτα δὲ ἐξ Ὁμήρου παρῆκται (Ο 605 sq.)· 'μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ οὔρεσι μαίνηται, βαθέης ἐν τάρφεσιν ὕλης.' c 〈 αὐαλέοισ ι:〉 ξηροῖς. L g d 〈 κορύσσετα ι:〉 μετεωρίζεται. L g 1029 ζαμενή ς: ἄγαν ἰσχυρός, τοῦ ζα κατ' ἐπίτασιν ὄντος, ὡς ζάπλουτος ζάθεος. L g (P) 1030a 〈 ὅγ ε:〉 ὁ Κύζικος δηλονότι. L g b ὑπὲρ μόρο ν: συνυπακούεται τὸ σχὼν ἢ ἄλλο τι παραπλήσιον, ἵν' ᾖ· οὐδ' ὅγε ὁ Κύζικος ὑπερσχὼν τὸν μόρον τῆς δηιοτῆτος, ἤγουν τὸν ἐν τῷ πολέμῳ θάνατον, ἔμελλεν ἐπανήξειν οἴκαδε. P 1032 τὸν [δὲ] Κύζικον οἱ μὲν ὑπὸ Διοσκούρων φασὶν ἀναιρεθῆναι, ἄλλοι δὲ ὑπὸ Ἰάσονος. τὸ δὲ ἑοῖο καὶ νῦν κακῶς κεῖται· ἔστι γὰρ προσληπτικὸν ἰσοδυναμοῦν τῷ ἑαυτοῦ. 1034 ἐρραίσθ η: ἐθραύσθη. L g P 1035a τὸ δέ μοῖραν ἀνέπλησε σημαίνει· τὸ πρόσταγμα τῆς εἱμαρμένης ἐτέλεσε. P b 〈 τὴν γὰρ θέμι ς:〉 τοῦτο ὥσπερ ἀποδεικτικόν ἐστι τοῦ ἄφυκτον εἶναι τὴν μοῖραν, ὥς φησι καὶ Ὅμηρος. L g (P) 1037—38a 〈 τό ν:〉 τὸν Κύζικον. L g b ἀδευκέος ἔκτοθεν ἄτη ς: οὐ προσηνοῦς, ἀπεοικυίας, πικρᾶς· δεῦκος γὰρ τὸ γλυκύ, ὅθεν τὸ Πολυδεύκης· καὶ γὰρ ζῶν εὐεργετικώτατος καὶ ἀποθεωθεὶς ἅμα τῷ ἀδελφῷ διασώζει τὰς ναῦς.

92 ἢ ἀφανοῦς καὶ ἀπροοράτου, παρὰ τὸ δείκω. τὸ δὲ ἔκτοθεν ταὐτόν ἐστι τῷ ἐκτός. περὶ δὲ τῆς μάχης καὶ Δηίοχος (fg 6 M. II 18) ἱστορεῖ. περὶ δὲ τῆς τοῦ Κυζίκου ἀναιρέσεως καὶ τῆς ὅλης μάχης οὐ συμφωνεῖται. Ἔφορος (70 fg 61 J.) μὲν γάρ φησι τοὺς Δολίονας Πελασγοὺς ὄντας καὶ ἐχθρωδῶς διακειμένους πρὸς τοὺς τὴν Θεσσαλίαν καὶ Μαγνησίαν κατοικοῦντας διὰ τὸ ἀπελασθῆναι ὑπ' αὐτῶν ἐπιθέσθαι αὐτοῖς, γράφων ἐν τῇ θ′. ἠκολούθηκε δὲ Ἀπολλώνιος Δηιόχῳ (v. supra). Καλλισθένης δὲ ἐν τῷ α′ τοῦ Περίπλου (124 fg 6 J.) κατ' ἔχθραν φησὶ τοὺς οἰκοῦντας τὴν Κύζικον ἐπιθέσθαι νυκτὸς τοῖς Ἀργοναύταις. c 〈 αὐτῇ ὑπὸ νυκτ ί:〉 αὐτῇ τῇ νυκτί, θαυμαστικῶς. L g d 〈 πέδησε ν:〉 κατέσχεν. L g 1039 〈 πολεῖ ς:〉 μνημονεύει Δηίοχος τῶν ἀναιρεθέντων, ὥς φησι Σοφόκλειος. L g 1040—41 Τηλεκλῆα ἠδὲ Μεγαβρόντη ν: πέπλακε τὰ ὀνόματα ταῦτα Ἀπολλώνιος, οὐκ ἀπὸ ἱστορίας ἔλαβεν. οὕτω Ταρραῖος (fg 12 Linnenkugel De Lucillo Tarrhaeo, Diss. Monast. 1926, 95). 1047 Ἀρτάκε α: Ἡρωδιανὸς βαρυτονεῖ τὸ ὄνομα ἐν τῷ γ′ τῆς Καθόλου (I 68, 28 L.)· Ἀρτάκης γάρ. 1048 〈 ἐνναέτα ι:〉 ἔποικοι. L g 1049—50 ἠύτε κίρκους ὠκυπ〈έτασ 〉 : εἶδος ἱέρακος. ἔστι δὲ ἱεράκων γένη ἕξ, ὡς Καλλίμαχος ἐν τοῖς Περὶ ὀρνέων (fg 100 c 1 Schn.

93 ). καὶ Ὅμηρος δὲ ἔοικε τοῦτο γινώσκειν· φησὶ γοῦν (ν 86 sq.)· 'οὐδέ κεν ἴρηξ κίρκος ὁμαρτήσειεν ἐλαφρότατος πετεηνῶν' καί (ο 526) 'κίρκος Ἀπόλλωνος ταχὺς ἄγγελοσ'. ὁ δὲ ἱέραξ ἱερός ἐστιν Ἀπόλλωνος. πέλεια δὲ περιστερᾶς εἶδος ὅμοιον φάττῃ, ὥς φησιν Ἀριστοτέλης (Hist. an. V 13, 544 b 1). 1052 ὑποτροπί η: ὑποστροφῇ· τουτέστι φυγῇ. L g (P) 1053—54 ἠῶθεν δ ' ὀλ〈οήν 〉 : ἅμα ἠοῖ κακὴν ἀμπλακίην καὶ ἀπροσμηχάν〈ητ〉ον εἶδον οἷον ἀβοήθητον. L 1059 τρὶς περὶ χαλκείοις δίχ α: χαλκείοις σὺν ἔντεσι. ὑπέρβατον δέ ἐστι. τὸ γὰρ ἑξῆς· χαλκείοις σὺν ἔντεσι περιδινηθέντες, ὅ ἐστι περιδραμόντες. 1060 τύμβῳ ἐν ἐκτερέ〈ιξαν 〉 : τύμβον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔστησαν. κτερεΐξαι τὸ θάψαι· ἔθαψαν γάρ, τάφον αὐτῷ ποιήσαντες. 1061 τοῦ δὲ Λειμωνίου πεδίου μέμνηται Δηίοχος (fg 7 M. II 18), περί τε τοῦ τάφου Κυζίκου ὁ αὐτός. 1062 τὸ δὲ ἀγκέχυται Ὁμηρικῶς κατὰ τὴν ἀρχαίαν ἀγωγήν (Ψ 256)· ‘χυτὴν ἐπὶ γαῖαν ἔχευαν‘. 1063 οὐ δ ’ ἄλοχος Κλείτ η: ὁ μὲν Ἀπολλώνιος νεόγαμον τὸν Κύζικον καὶ ἄπαιδα ἱστορεῖ, Εὐφορίων δὲ ἐν Ἀπολλοδώρῳ (fg 4 Scheidw.) μελλόγαμον. τὴν δὲ 〈γαμετὴν〉 οὐ Κλείτην 〈τὴν〉 Μέροπος λέγει θυγατέρα, Λάρισαν δὲ τὴν Πιάσου· οὐδὲ παθεῖν τι, ἀπαχθῆναι δὲ αὐτὴν ὑπὸ τοῦ πατρός. Νεάνθης δὲ ἐν τοῖς Μυθικοῖς (84 fg 11 J.) συμφωνεῖ τῷ Ἀπολλωνίῳ.

94 περὶ δὲ τῆς Κλείτης φησὶ Δηίοχος (fg 8 M. II 18) ὑπὸ λύπης τελευτῆσαι. ἱστορεῖ δὲ Ἀπολλώνιος ἄτεκνον τὸν Κύζικον ἀνῃρῆσθαι, Νεάνθης (v. supra) δὲ ἐσχηκέναι φησὶ παῖδα ὁμώνυμον. 1065—66 τὴν δὲ καὶ αὐτα ί: τοῦτο ἤτοι πρὸς θαυμασμὸν τοῦ πάθους—τοσοῦτον γὰρ ἦν, ὡς καὶ τὴν θείαν φύσιν ἀνεγεῖραι— ἢ ὅτι ὑπόκεινται αἱ γυναῖκες θρηνοῦσαι, ἵνα ᾖ· μετὰ τῶν Δολιόνων καὶ αὐταὶ αἱ νύμφαι ὠδύροντο τὴν Κλείτην. Νεάνθης (84 fg 12 J.) δὲ καὶ Δηίοχος (fg 8 M. II 18) ἱστοροῦσιν, ὅτι ἀπήγξατο ἡ Κλείτη καὶ ὅτι ἐκ ταύτης κρήνη ἐν Κυζίκῳ 〈...〉. 1068—69 ἣν καλέουσι Κλείτη ν: ἀντὶ τοῦ ὁμωνύμως τῇ παιδί, πρὸς τὸ πλείονα χρόνον τοῦ πάθους τὴν μνήμην σώζεσθαι [βουλόμενοι]. περικλεὲς δὲ [ἢ] τὸ ἐπίδοξον καὶ διαβόητον ἔκ τε τῆς τοῦ πάθους ὑπερβολῆς καὶ τῆς πρὸς τὸν ἄνδρα διαθέσεως γενόμενον. 1073 μυληφάτο υ: τοῦ πυροῦ, τουτέστι τοῦ σίτου, τοῦ ἀλεύρου τοῦ ὑπὸ μύλης τεθραυσμένου ἐν τῷ ἀλήθεσθαι. φησὶ δὲ τοὺς ἄρτους. 1074a ἄφλεκτ α: ἀντὶ τοῦ ὠμά. L g P b 〈 διαζώεσκο ν:〉 ἔζων. L g 1075—77a χύτλ α: κυρίως τὰ μεθ’ ὕδατος ἔλαια, καταχρηστικῶς δὲ τὰ ἐναγίσματα καὶ αἱ χοαί. πέλανοι δὲ πέμματα ποιά. Ἀττικοὶ δὲ πᾶν τὸ πεπηγὸς οὕτω λέγουσι.

95 τὸ δέ Κύζικον ἐνναίοντες ἀντὶ τοῦ οἱ Κυζικηνοί. Ἰάονες δὲ διὰ τὸ ἀποίκους εἶναι Μιλησίων. καὶ γὰρ εἰς Μίλητον ὁ Νηλεὺς ἀποικίαν ἐστείλατο καὶ ἐκεῖθεν ἐπὶ Κύζικον μετὰ πολὺν χρόνον· ὅθεν καὶ τοὺς Κυζικηνοὺς Ἴωνας ἐκάλεσεν. b πελάνους ἐπαλετρ〈εύουσιν 〉 : πᾶς δῆμος ἐπὶ τῆς μύλης ἐπαλετρεύουσι καὶ ἀλήθουσι πελάνους. πέλανος δὲ ὁ διαπεπηγμένος καὶ ῥυπαρὸς 〈ἀφρὸσ〉 κατὰ Ἀττικούς, ὡς καὶ Εὐριπίδης (Orest. 220)· ‘στόματος ἀφρώδη πέλανον‘. φησὶ δὲ τοὺς ἀκαθάρτους καὶ εὐτελεῖς ἄρτους, οὓς ὁ Θεόκριτος (XXIV 138) Δωρικούς φησιν. 1079 ἧμα θ ’ ὁμο ῦ: τὸ ὁμοῦ παρ’ Ὁμήρῳ μὲν τὸ ἐν τῷ αὐτῷ τόπῳ σημαίνει (Λ 127)· ‘ὁμοῦ δ’ ἔχον ὠκέας ἵππουσ‘, παρὰ δὲ τοῖς μεθ’ Ὅμηρον καὶ ἄλλα σημαίνει, ὡς καὶ Σοφοκλῆς ἐπὶ χρόνου τέθεικεν αὐτό (Oed. R. 4 sq.)· ‘πόλις δ’ ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων‘. νῦν δὲ ἀντὶ τοῦ ὁμοίως κεῖται, ὡς καὶ παρ’ Εὐριπίδῃ (Herc. 455)· ‘ὁμοῦ γέροντες καὶ νέοι καὶ μητέρεσ‘. 1080 〈 ἐπιπλομέν η:〉 ἐπερχομένη. L gr( P) 1081 ὦλλοι μέν ῥ α: ἡ τοιαύτη συναλοιφὴ τῆς νεωτέρας Ἰάδος ἐστί. διὸ μέμφονται Ζηνοδότῳ εἰπόντι 〈δεῖν ἀναγινώσκειν〉 (B 1) ‘ὦλλοι μέν ῥα θεοί τε καὶ ἀνέρεσ‘· οὐ κέχρηται γὰρ ταύτῃ Ὅμηρος. 1082a πύματον λάχο ς: ὕστατον κλῆρον καὶ μερίδα τοῦ ἐν τῇ Δολιονίᾳ ὕπνου λαμβάνοντες καὶ ἐκεῖσε ὑπνοῦντες· τῇ γὰρ ἑξῆς ἀναπλεῖν ἔμελλον. LG m P b 〈 πύματον λάχο ς:〉 τοῦ ἐν Κυζίκῳ ὕπνου ὕστατον λάχος φησίν.

96 S m 1083 ἀδινὰ κνώσσοντα ς: ἐφύλαττον μεγάλως καὶ βαθέως ὑπνοῦντας. ὁ δὲ Ταρραῖος (fg 8 Linnenkugel De Lucillo Tarrhaeo, Diss. Monast. 1926, 89 ) λεπτὰ κοιμωμένους καὶ οὐ κατὰ βάθος. 1085—87a 〈 θεσπίζουσ α:〉 προλέγουσα, μαντευομένη. L g b λῆξιν ὀρινομένω ν: τὴν κατάπαυσιν καὶ λώφησιν τῆς τῶν ἀνέμων βίας. 〈 ἀκταίη ς:〉 τὸ γὰρ ὄρνεον θαλάσσιον καὶ ἐν τοῖς αἰγιαλοῖς βιοῦν. λέγεται δὲ καὶ ὁ Ζεὺς ἐφεξῆς ιε′ ἡμέρας ἤ, ὥς τινες, ιδ′ εὐδιεινὰς ποιεῖν, ἵνα ἀποκυήσῃ παρὰ τοῖς αἰγιαλοῖς, αἳ ἀλκυονίδες ἡμέραι καλοῦνται, ζ′ πρὸ τοῦ τόκου καὶ ζ′ μετὰ τὸν τόκον. εἴληφε δὲ τὰ περὶ τῶν ἀλκυόνων παρὰ Πινδάρου ἐκ Παιάνων (fg 62 Schr.). εὐλόγως δὲ ὄσσαν εἶπε τὴν τῆς ἀλκυόνος φωνήν· ὑπὸ γὰρ Ἥρας ἦν ἀπεσταλμένη, ὥς φησι Πίνδαρος. c ἀκταίης ὄρνιθο ς: τῆς παρὰ ταῖς ἀκταῖς καὶ τοῖς αἰγιαλοῖς διατριβούσης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθήκουσαν φωνὴν ἀκούσας. 1089a ἀφλάστοι ο: Ἀπολλόδωρος ἐν ταῖς Λέξεσι (cf. 244 fg 240 J.) ἀποδέδωκεν ἄφλαστον τὸ ἀκροστόλιον. οὐκ εὖ, ἐπειδὴ τὸ ἀκροστόλιόν ἐστι τὸ ἄκρον τοῦ στόλου, στόλος δὲ λέγεται τὸ ἐξέχον ἀπὸ τῆς πτυχῆς καὶ διῆκον ἄχρι τῆς πρώρας ξύλον· πτυχὴ δὲ λέγεται, ὅπου τὸ τῆς νεὼς ἐπιγράφεται ὄνομα.

97 ἔστιν οὖν ἄφλαστον 〈οὐ〉 τὸ ἀκροστόλιον 〈τὸ〉 κατὰ τὴν πρώραν, ἀλλ' ὁ ποιητὴς αὐτὸ παραδίδωσιν ἐπὶ τῆς πρύμνης λέγων (O 716 sq.)· ‘"Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὔτι μεθίει ἄφλαστον μετὰ χερσὶν ἔχων.‘ καὶ εἴρηται ἄφλαστον κατὰ συγγένειαν τοῦ φ πρὸς τὸ θ , ἄθλαστον· κατὰ ἀντίφρασιν, ἐπεὶ εὔθλαστόν ἐστιν. ἔστιν οὖν ἄφλαστον σανίδιον κατὰ τὴν πρύμναν. b 〈 ἀφλάστοι ο:〉 ἀκροστολίου. G g 1098—1102a ἐκ γὰρ τῆς ἄνεμ〈οι 〉 : ἐκ ταύτης τῆς Ῥέας καὶ γῆ καὶ θάλασσα καὶ οὐρανὸς συνέχεται. οἱ γὰρ φυσικοὶ αὐτὴν γῆν φυσιολογοῦσι καὶ τὴν πάντων ἁρμογὴν καὶ σύνδεσμον, καὶ τὸ ὄνομα αὐτῆς ἐτυμολογοῦσι παρὰ τὸ ῥεῖν ἀεὶ καὶ ποιεῖν τείρεα. καὶ φυσικῶς ταύτης ἄνδρα τὸν Κρόνον φασίν, οἱονεὶ τὸν χρόνον μεταβολῇ τῶν ἀντιστοίχων· σύνεστι δὲ τῇ τῶν στοιχείων τάξει ἐξ ἀνάγκης ὁ χρόνος. καὶ εἶτα λοιπὸν ἀλληγορικῶς τούτους τῶν θαλασσίων καὶ οὐρανίων καὶ χθονίων θεῶν πατέρας εἶναί φασι· μετὰ γὰρ τὴν τῶν στοιχείων θέσιν καὶ σύνδεσμον συνέβη καὶ θεοὺς καὶ θεῶν δυνάμεις καὶ διαφορὰς μαθεῖν τοὺς ἄνδρας καὶ τιμῆσαι. b πεπείρητα ι: συνέχεται, συνέζευκται. L g G g P 1109 Ἱερῆς ἐκ πείσματ α: ἧς καὶ ἐν τοῖς πρώτοις μέμνηται εἰπών (v. 1019)· ‘‘Ἱερὴ δὲ φατίζεται ἤδ' ἔτι πέτρη‘. 1110 ἤρεσα ν: ἐκωπηλάτησαν. τῷ δὲ συντελικῷ ἀντὶ παρατατικοῦ εἶπεν, τοῦ ἤρεσσον. λιμένα δὲ Θρηίκιον λέγει, ἐπειδὴ κεῖται μὲν ἡ Κύζικος ἐπ' ἐσχάτοις τῆς Φρυγίας, συνάπτει δὲ ἡ Βιθυνία τῇ Φρυγίᾳ, Βιθυνοὶ δὲ Θρᾷκες κατὰ τὸ δεξιὸν μέρος. ἢ ἐπειδὴ Θρᾷκες Κύζικον ᾤκησαν. 1112—13 καὶ πᾶσα περαίη Θρηικ〈ίησ 〉 : καὶ πᾶσα ἡ ἐναντία χώρα τῆς Θρᾴκης.

98 〈 Μακριάδε ς...〉 Ποντικὸν δὲ ἔθνος οἱ Μάκρωνες. τὸ δὲ χερσὶν ἑαῖς οὐκ εὖ εἴρηκεν· ὤφειλε γὰρ σφετέραις. 1114—15a 〈 ἠερόεν 〉 στόμα Βοσπόρου : ἠερόεν οἷον ἀερῶδες ἤτοι ὁμιχλῶδες. Βόσπορος δὲ τὸ τῆς Προποντίδος στενόν, οὕτω κληθὲν ἀπὸ τῆς διανηξαμένης βοός, τῆς Ἰοῦς. b ἐκ δ ' ἑτέρη ς: οὐ λέγει ἐκ δ' ἑτέρης ἠπείρου—καὶ γὰρ ἡ Μυσία καὶ ὁ Αἴσηπος τῆς Ἀσίας—, ἐπὶ ἑτέρας δὲ χώρας λέγει, τῆς Τρῳάδος, καθ' ἣν ὁ Αἴσηπος ῥεῖ χωρίζων αὐτὴν τῆς Μυσίας. καὶ Ὅμηρος (M 21)· ‘Γρήνικός τε καὶ Αἴσηποσ‘. ἡ δὲ Τρῳὰς ἀπὸ Μυσίας ἀρχομένη τῆς Μεγάλης ἐπὶ τοῦ Αἰσήπου λήγει. ἡ δὲ Δολιονία καὶ Φρυγία ἄρχεται μὲν ἀπὸ τοῦ Αἰσήπου, λήγει δὲ ἐπὶ Ῥυνδάκου. Μυσίαι δὲ δύο, ὧν ἡ μὲν μία τῇ Εὐρώπῃ πλησιάζει, ἡ δὲ ἑτέρα τῇ Ἀσίᾳ· τῆς οὖν ἐν Ἀσίᾳ Μυσίας αἱ κολῶναι τοῖς Ἀργοναύταις ἐφαίνοντο. 1116 καὶ πεδίον Νηπήιο ν: πεδίον Νηπείας ἔστι περὶ Κύζικον. μνημονεύει δὲ αὐτοῦ καὶ Καλλίμαχος ἐν Ἑκάλῃ (fg 45 Schn. = 101 Kapp)· ‘Νηπείης ᾗ τ' ἄργος, ἀοίδιμος Ἀδρήστεια.‘ τὴν δὲ Νήπειαν Διονύσιος ὁ Μιλήσιος (32 fg 9 J.) πεδίον τῆς Μυσίας φησὶν εἶναι. ὁ γὰρ βασιλεὺς τῶν Μυσῶν Ὄλυμπος θυγατέρα Ἰάσου ἔγημεν, Νήπειαν ὄνομα, καὶ κατῴκησεν ἐν τῷ πεδίῳ τούτῳ, ὃ νῦν καλεῖται Νηπείας πεδίον. Ἀπολλόδωρος (244 fg 175 J.) δέ φησι Νηπείας πεδίον ἐν Φρυγίᾳ. ὁ δὲ Καλλίμαχός φησιν ἐν Ὑπομνήμασι (fg 100 h 3 Schn.) Νέμεσιν εἶναι τὴν τὸ πεδίον κατέχουσαν. ἔστι δὲ καὶ πόλις καλουμένη Ἀδρήστεια ἀπὸ 〈Ἀδράστου〉 τοῦ ἱδρυσαμένου.

99 ὁ δὲ Ἀπολλώνιος ἑκατέρων μέμνηται, τῆς τε πόλεως καὶ τοῦ πεδίου· φησὶ γάρ· ἄστυ τε καὶ πεδίον Νηπήιον Ἀδρηστείη ς. τῆς δὲ πόλεως καὶ Ὅμηρος μνημονεύει (B 828)· ‘οἳ δ' ἄρ' Ἀδρήστειαν εἶχον‘. 1117—19a ἔσκε δέ τι στιβα〈ρὸν στύποσ 〉 : στύπος τὸ πρέμνον καὶ στέλεχος, ἐξ οὗ καὶ 〈Ἀρχίλοχος (fg 127 B. II 423) ‘ὀρέων〉 ἀπεστύπαζον‘. βρέτας δὲ τὸ βροτῷ ἐοικός. καὶ Εὐφορίων (fg 125 Scheidw.) δὲ ἐκ τούτου κινηθεὶς τὸ ξόανον τῆς μητρὸς τῶν θεῶν φησιν ἀμπέλινον εἶναι, διὰ τὸ τὴν ἄμπελον ἴσως ἱερὰν εἶναι τῆς Ῥέας. b πρόχν υ: παντελῶς. L g G g S m P c γεράνδρυο ν: ἀρχαῖον, ξηρόν, ἄχρηστον. L g G g S m P 1120 〈ὀκριόεντι〉 κολων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῳ: τῇ ἐξεχούσῃ ἀκρωρείᾳ. L g (P) 1123a χέραδος : ἡ τῶν βραχέων λίθων συλλογὴ τῶν καθ’ ἕνα χειρὶ ληφθῆναι δυναμένων, οὓς Ὅμηρος χερμάδιά φησι. τὸ δὲ βωμὸν ἀντὶ τοῦ εἰς βωμοῦ κατασκευήν. b χεράδες λέγονται οἱ σωροὶ τῶν μικρῶν λίθων.

100 φησὶ Δημήτριος ὁ Σκήψιος (fg 70 Gaede) τὴν διάλεκτον Ἀπολλωνιατῶν εἶναι τῶν ἐν Πόντῳ. μνημονεύει καὶ Σαπφώ (fg inc. lib. 30 Lobel = 114 B. III 127) ‘μὴ κίνη χεράδασ‘ καὶ Ὅμηρος (Φ 319) ‘ἅλις χεράδος περιχεύασ‘. χέραδος δὲ ὁ τῶν λίθων σωρός· εἰς δὲ τὴν τοῦ βωμοῦ κατασκευὴν λίθους ἐσώρευον. 1124a δρυΐνοισι ν: εἰκότως· ἡ γὰρ δρῦς ἱερὰ τῆς Ῥέας, ὥς φησιν Ἀπολλόδωρος ἐν γ′ Περὶ θεῶν (244 fg 92 J.). b δρυΐνοις δὲ αὐτούς φησι στέφεσθαι διὰ τὸ μεμερίσθαι τῇ θεῷ τὸ δένδρον τοῦτο, διὰ τὸ καὶ πρὸς στέγας καὶ πρὸς τροφὴν 〈τὸ〉 πρῶτον χρησιμεῦσαι. 1125 Δινδυμίη ν: τὴν ἐν τῷ Δινδύμῳ ὄρει τιμωμένην ἐπικαλούμενοι καὶ ἱκετεύοντες. L g (P) 1126—31a ἐνναέτιν Φρυγίη ς , Τιτίην θ ’ ἅμ α: [περὶ] τῶν Ἰδαίων Δακτύλων καλουμένων πρώτους 〈τούτουσ〉 φησὶν εἶναι καὶ παρέδρους τῇ μητρὶ τῶν θεῶν, ἀκολουθῶν Μαιανδρίῳ λέγοντι Μιλησίους, ὅταν θύωσι τῇ Ῥέᾳ, προθύειν Τιτίᾳ καὶ Κυλλήνῳ. εἰσὶ δὲ οὗτοι τῶν Ἰδαίων Δακτύλων μοιρηγέται καὶ μητρὸς θεῶν πάρεδρο ι. Καλλίστρατος δὲ ἐν τῇ β′ τῶν Καθ’ Ἡράκλειαν περὶ Τιτίου φησίν (fg 2 M. IV 354)· ‘ὁ δὲ Τιτίας ἥρως ἐγχώριος, ὃν οἱ μὲν μυθεύουσι παῖδα Διός, οἱ δὲ τὸν πρεσβύτατον τῶν Μαριανδυνοῦ τοῦ Κιμμερίου παίδων, δι’ ὃν μάλιστα τὸ ἔθνος ηὔξηται καὶ προάγεται ἔτι εἰς εὐδαιμονίαν· ἀπεθεώθη δὲ ὑπὸ Μαριανδυνῶν‘.

101 καὶ Προμαθίδας δὲ ἐν τοῖς Περὶ Ἡρακλείας (fg 1 M. III 201) λέγει περὶ Τιτίου, ὅστις ἦν, καὶ Θεοφάνης (188 fg 2 J.). ὅτι δὲ νύμφη τῆς Οἰαξίδος γῆς δραξαμένη τοὺς καλουμένους Ἰδαίους Δακτύλους ἐποίησε, παρὰ Στησιμβρότου (107 fg 12 b J.) εἴληφε. 〈...〉 καὶ ὅτι διὰ τῶν χειρῶν διερρύησαν, Δακτύλους κληθῆναι. Σοφοκλῆς δὲ αὐτοὺς Φρύγας καλεῖ ἐν Κωφοῖς Σατύροις (fg 364 Pearson). b Δάκτυλοι Ἰδαῖο ι: ἑκατέρους πέντε φασὶ τούτους εἶναι, δεξιοὺς μὲν τοὺς ἄρσενας, ἀριστεροὺς δὲ τὰς θηλείας. Φερεκύδης (3 fg 47 J.) δὲ τοὺς μὲν δεξιοὺς κ′ λέγει, τοὺς δὲ εὐωνύμους λβ′. γόητες δὲ ἦσαν καὶ φαρμακεῖς, καὶ δημιουργοὶ σιδήρου λέγονται πρῶτοι καὶ μεταλλεῖς γενέσθαι· ἀριστεροὶ μὲν αὐτῶν, ὥς φησι Φερεκύδης (v. supra), οἱ γόητες, οἱ δὲ μεταλλεύοντες δεξιοί. ὠνομάσθησαν δὲ ἀπὸ τῆς μητρὸς Ἴδης. ὡς 〈δὲ〉 Ἑλλάνικός (4 fg 89 J.) φησι, Ἰδαῖοι Δάκτυλοι ἐκλήθησαν, ὅτι ἐν τῇ Ἴδῃ συντυχόντες τῇ Ῥέᾳ ἐδεξιώσαντο τὴν θεὸν καὶ τῶν δακτύλων αὐτῆς ἥψαντο. ὡς δὲ Μνασέας ἐν τῷ α′ Περὶ Ἀσίας (fg 26 M. III 154), Ἰδαῖοι Δάκτυλοι λέγονται ἀπὸ τοῦ πατρὸς Δακτύλου καὶ τῆς μητρὸς Ἴδης.

102 ὁ δὲ τὴν Φορωνίδα συνθεὶς γράφει οὕτως (fg 2 Kinkel)· ‘ἔνθα γόητες Ἰδαῖοι Φρύγες ἄνδρες ὀρέστεροι οἰκί’ ἔναιον, Κέλμις Δαμναμενεύς τε μέγας καὶ ὑπέρβιος Ἄκμων, εὐπάλαμοι θεράποντες ὀρείης Ἀδρηστείης, οἳ πρῶτοι τέχνην πολυμήτιος Ἡφαίστοιο εὗρον ἐν οὐρείῃσι νάπαις ἰόεντα σίδηρον ἤνεγκάν τ’ ἐς πῦρ καὶ ἀριπρεπὲς ἔργον ἔτευξαν.‘ c Δικταῖο ν: τὸ Κρητικὸν σπήλαιον· Δίκτη γὰρ ὄρος Κρήτης. L g (P) d 〈 ἀμφοτέρῃσι ν:〉 λείπει χερσί. L g e δραξαμέν η: ἔθος ἐστὶ ταῖς κυούσαις τῶν παρακειμένων λαμβάνεσθαι καὶ ἀποκουφίζειν ἑαυτὰς τῶν ἀλγηδόνων, ὡς καὶ Λητὼ ἐλάβετο τοῦ φοίνικος. 〈...〉 ἔδει δὲ εἰπεῖν Ὀαξίδο ς· προσετέθη δὲ τὸ ι . f ἐβλάστησε ν: ἐγέννησεν. L g P 1132 ἐριώλα ς: διαφόρως ἀνεγνώσθη, ἐπικρατεῖ δὲ ἡ βαρεῖα τάσις. L m (P) 1134—39a Ὀρφῆος ἀνωγ ῇ: τῇ τοῦ Ὀρφέως παρακελεύσει, ὡς αὐτοῦ τῆς ὀρχήσεως προκαταρχομένου. βηταρμὸν δὲ τὴν ὄρχησιν παρὰ τὴν ἁρμόδιον βάσιν αὐτῶν· λέγει δὲ νῦν τὴν πυρρίχην ὄρχησιν. τὸ δὲ ἑξῆς· ὠρχοῦντο τοῖς ξίφεσι τὰς ἀσπίδας κομποῦντες διὰ τὸ τὸν Κύζικον θρηνεῖσθαι ὑπὸ τῶν Δολιόνων, ἵνα μὴ τῆς θυσίας οὔσης δύσφημος φωνὴ ἀναφέρηται· ὅθεν καὶ Φρύγες κυμβάλοις καὶ τυμπάνοις τὴν Ῥέαν ἱλάσκονται.

103 b ῥόμβος τροχίσκος, ὃν στρέφουσιν ἱμᾶσι τύπτοντες, καὶ οὕτως κτύπον ἀποτελοῦσι. τινὲς δὲ ῥύμβον αὐτὸν καλοῦσιν, ὡς καὶ Εὔπολις ἐν Βάπταις (fg 72 Kock I 274) καὶ Δίδυμος (fg I 5, 33 Schmidt 69). 1141—48a ἀνταί η: ἡ Ῥέα οὕτω λέγεται, διότι ἐναντία τοῖς Τελχῖσιν ἐγένετο. ὡς δέ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινες, ἀνταίη ἡ εὐάντητος καὶ εὐλιτάνευτος. b σήμα τ ’ ἔγεντ ο: διὰ τούτου οὐδὲν ἕτερον ὁ ποιητής φησιν ἢ τὴν τῆς θεοῦ φύσιν· καὶ τοῖς φυσικοῖς γὰρ δοκεῖ ἡ αὐτὴ εἶναι τῇ γῇ, γῆς δὲ εὐμενείας σημεῖον τὸ εὔκαρπα εἶναι τὰ δένδρα καὶ πόας αὐτομάτους φύειν. c τερείνη ς: τῆς ἁπαλῆς καὶ χλωρᾶς. εἰλυοὺς δὲ τὰς καταδύσεις τῶν θηρῶν. ξυλόχους δὲ τοὺς ἐν τοῖς ὄρεσιν ὑλώδεις τόπους. ἔστι δὲ ὑπέρβατον· εἰλυούς τε ξυλόχους τε καταλιπόντε ς. διὰ πολλῶν δὲ τὸ θαυμαστὸν παρέστησε, διά τε τοῦ διψάδος καὶ ὅτι οὐκ ὀλίγον τὸ ἀναδοθὲν ὕδωρ, ἀλλὰ καὶ ἄληκτο ν.

104 τὸ δὲ ναῖεν οὐκ εὖ. ἔδει γὰρ χωρὶς τοῦ ι νᾶε ν, ἵν’ ᾖ ἔρρει, ὡς παρ’ Ὁμήρῳ (ι 222)· ‘νᾶεν δ’ ὀρῷ ἄγγεα πάντα‘. d ἡ δὲ σύνταξις κατὰ μετάθεσιν, ὡς τό ‘ῥέε δ’ αἵματι γαῖα‘ ἀντὶ τοῦ ‘αἷμα ἔρρεεν ἐν τῇ γῇ‘. ἢ μεταληπτέον τὸ νᾶεν εἰς τὸ κατάρρυτον, ἵν’ ᾖ· ‘κατάρρυτον ἦν τὸ Δίνδυμον ὕδασιν‘. P e 〈 ποίη ς:〉 βοτάνης. L g f 〈 παροίτερο ν:〉 ἔμπροσθεν, πρότερον. L g g ἀνέβραχ ε: ἀντὶ τοῦ ἀνεδόθη. L g P h διψάδο ς: ξηρᾶς. L g (P) 1152 νῆσο ν: τὴν Κύζικον. L g (P) 1158a ἀελλόποδε ς: ἀντὶ τοῦ ταχεῖς. L g (P) b κίχο ν: κατέλαβον. L g P 1159 ζαχρηέσιν αὔραι ς: μεγάλως ἐπιβαρούσαις καὶ πνεούσαις. κυρίως δὲ ζαχρηὲς τὸ βιαίως ταῖς χερσὶ πραττόμενον· παρὰ γὰρ τὰς χεῖρας πεποίηται ἡ λέξις καὶ τὸ ζα ἐπιτατικόν. 1161 μετελώφεο ν: ἐπαύοντο. L g P 1162 ἐφέλκετ ο· πρὸς τὴν πάντων αὐτῶν ἀργίαν καὶ τὴν τοῦ κύματος ὑπερβολὴν τὸ ἐφέλκετο πρὸς πλείονα εἶπεν ἔμφασιν· ὅπερ καὶ Καλλίμαχος ἐπὶ τοῦ ταύρου ἡττηθέντος φησίν (fg 275 Schn. = 57 Kapp)· ‘ὁ μὲν εἷλκεν, ὁ δ’ εἵπετο νωθρὸς ὁδίτησ‘. 1164 λελιημένοι 〈ἠπείροι ο:〉 ἢ ταραττόμενοι ἢ προθυμούμενοι. L g (P): 1165a Ῥυνδακίδα ς: Ῥυνδακὸς ποταμός ἐστι Φρυγίας, οὗ μνημονεύει Βακχυλίδης (fg 67 B. III 588 = 50 Blass—Snell). 〈...〉 ταῖς δὲ ἀληθείαις τάφος ἐστὶ τοῦ Βριάρεω, κατὰ τὴν ἔξοδον. Καλλίμαχος δὲ ἱστορεῖ περὶ τοῦ ποταμοῦ ἐν τῷ Περὶ τῶν κατὰ τὴν Ἀσίαν ποταμῶν (fg 100 e 2 Schn.

105 ) καὶ Δημήτριος ὁ Σκήψιος ἐν Τρωικῷ διακόσμῳ (fg 71 Gaede). b Ῥυνδακὸς ποταμὸς Φρυγίας ὁ νῦν Μέγιστος, πρὸς ᾧ καὶ Αἰγαίωνός τινος ἥρωος Μυσοῦ τάφος. Ῥυνδακὸς δὲ ὡς Αἰακός. c μέγα τ ’ ἠρίο ν: γράφεται καὶ μέγα τε ῥίο ν. καὶ τὸ μὲν ῥίον ἐστὶν ὄρος ἤτοι ἀκρωτήριον, τὸ δὲ ἠρίον μνημεῖον. ὁ δὲ περὶ τοῦ Αἰγαίωνος μῦθος ὑπὸ Δημητρίου φέρεται τοῦ Σκηψίου (v. sch. a ). Κιναίθων δὲ ἐν τῇ Ἡρακλείᾳ φησίν, ὅτι Αἰγαίων καταγωνισθεὶς ὑπὸ Ποσειδῶνος κατεποντίσθη εἰς τὸ νῦν λεγόμενον ὑπὸ τοῦ Ἀπολλωνίου ἠρίον Αἰγαίωνος, τὸν αὐτὸν καὶ Βριάρεων καλῶν. περὶ δὲ τῆς κλήσεως τοῦ πελάγους 〈...〉 μὲν ἐν τῷ τρίτῳ τῆς Νησιάδος φησὶν ἐν τούτοις· ‘τὸ Αἰγαῖον πέλαγος οἱ μὲν ἀπὸ τῆς περὶ Κάνας Αἰγὸς ἐπώνυμον γεγονέναι φασίν, οἱ δὲ ἀπὸ τῆς Καρυστίας τῆς Αἰγαίης ὀνομαζομένης. αἱ μὲν γὰρ Αἰγαί, ἔνθεν τὸν Ποσειδῶνα παραγίνεσθαί φασι, κατὰ Πελοπόννησόν εἰσιν ἐν τοῖς περὶ Κρῖσαν τόποις. εἰσὶ δέ τινες, οἳ διὰ τὸ θεωρεῖσθαι δι’ ὅλου τοῦ πελάγους τὴν παρακειμένην γῆν‘. τὸν δὲ Αἰγαίωνα Ἡσίοδός (Theog. 149) φησιν Οὐρανοῦ καὶ Γῆς· Βριάρεως δὲ καὶ Αἰγαίων καὶ Γύης ὁ αὐτὸς λέγεται συνωνύμως.

106 Εὔμηλος δὲ ἐν τῇ Τιτανομαχίᾳ (Titan. fg 2 Kink. 6) τὸν Αἰγαίωνα Γῆς καὶ Πόντου φησὶ παῖδα, κατοικοῦντα δὲ ἐν τῇ θαλάσσῃ τοῖς Τιτᾶσι συμμαχεῖν. καὶ Ἴων φησὶν ἐν διθυράμβῳ (fg 11 B. II 255) ἐκ μὲν τοῦ πελάγους αὐτὸν παρακληθέντα ὑπὸ Θέτιδος ἀναχθῆναι φυλάξοντα τὸν Δία, Θαλάσσης δὲ παῖδα. ἄλλοι δὲ θαλάσσιον θηρίον φασὶ τοῦτον. d μέγα τ ’ ἠρίο ν: γράφεται καὶ μέγα τε ῥίον Αἰγαίωνο ς. 〈κακῶσ〉 · οὐ γὰρ τὸ ὄρος, ἀλλὰ τὸ μνημεῖον δηλοῖ. ὁ δὲ περὶ τοῦ Αἰγαίωνος μῦθός ἐστιν οὗτος. φυγὼν ἐκ τῆς Εὐβοίας ἦλθεν εἰς τὴν Φρυγίαν κἀκεῖ τὸν βίον ἐτελεύτησεν· γίγας δὲ ἦν. οὕτως Ταρραῖος (fg 11 a Linnenkugel De Lucillo Tarrh., Diss. Monast. 1926, 93). 1166a τυτθὸν ὑ π ’ ἐκ Φρυ〈γίησ 〉 : τὴν οὖσαν ὀλίγον ἄνω τῆς Φρυγίας. οὕτω γὰρ καὶ Ὅμηρος (Β 858—863) κεῖσθαί φησι τὴν Φρυγίαν, ἐγγὺς πάνυ τῆς Μυσίας. διὸ καί τινες μίαν εἶναί φασιν ἀμφοτέρας, διὰ τὸ πάνυ πλησιάζειν. b παρεμέτρεο ν: παρέπλεον. L g P 1167—68a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνοχλίζω ν: ἀνακινῶν ἐν τῷ κωπηλατεῖν καὶ ἀνακόπτων τὰ κύματα κατὰ τὰς δίνας. τετρηχότος δὲ τραχυνομένου καὶ σφοδροῦ ὄντος. ὁλκοὺς δὲ τὰς φυσήσεις καὶ οἷον ἐπάρσεις καὶ μετεωρισμοὺς τῶν κυμάτων. τὸ δὲ μεσσόθεν ἔμφασιν καὶ τῆς τοῦ πελάγους δεινότητος καὶ τῆς τοῦ ἥρωος ῥώμης ἔχει. τρύφος δὲ τὸ κλάσμα τῆς κώπης. b μεσσόθεν ἆξε ν: διὰ ταύτην τὴν αἰτίαν φησὶ καταλελεῖφθαι τὸν Ἡρακλέα ἐν Κίῳ· οἱ δὲ ἐν Ἀφεταῖς, ἐπειδὴ ἑτεροκλινῆ τὴν Ἀργὼ ἐποίει, Ἔφορος δὲ ἐν α′ (70 fg 14 a J.) ἀποδεδρακέναι αὐτὸν δι’ Ὀμφάλην. 1171 ἀήθεσσο ν: ἀήθεις ἦσαν τοῦ ἠρεμεῖν διὰ τὴν ἔμφυτον τοῦ ἥρωος δύναμιν. 1174a ἐν προμολ ῇ: τῇ προστάδι καὶ τοῖς προθύροις.

107 λέγονται δὲ προμολαὶ καὶ τὰ ἐξώπυλα μέρη, ὡς αὐτὸς ἐν τοῖς πρώτοις φησί (v. 320)· ‘στῆ δ’ ἄρ’ ἐπὶ προμολῇσιν, οἱ δ’ ἀντίοι ἠερέθοντο‘ b τετρυμ [μ ]έν α: καταπεπονημένα ὑπὸ καμάτου. L g G g S m P 1175a αὐσταλέο ς: κατάξηρος καὶ ἀνεπιμέλητος. L g P b περιτριβέα ς: κοπιασάσας ἐκ τοῦ πόνου. L g (P) 1176 ἠρήσατ ο: ἀντὶ τοῦ προσεῖπεν. L g P 1177—78a Κιανίδο ς: περιφραστικῶς τὴν Κίον. ἔστι δὲ πόλις Μυσίας ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Κιανῶν πολιτείᾳ (fg 471 Rose 1555 b 31). κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοί, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι. καὶ ποταμὸς δὲ ἔστιν οὕτως ὀνομαζόμενος, τὴν πόλιν παραρρέων, οὗ μνημονεύει Σκύλαξ ὁ Καρυανδεύς (Peripli maris interni fg 2 M. Geogr. gr. min. I, XXXIV). b ἀμ φ ’ Ἀργανθώνειο ν: ὄρος τῆς Κίου. 1180 ἤιά τέ σφ ι: ἐφόδια βρώματα.

108 σημαίνει δὲ καὶ τὰ ἄχυρα Ὅμηρος (ε 368)· ‘ἠίων θημῶνα τινάξῃ‘. 1182—83a κάγκαν α: κατάξηρα. L g S m (P) b λεχαίην φυλλάδ α: τὴν πρὸς λέχη καὶ στιβάδας ἐπιτηδείαν. 1184 στόρνυσθα ι: λείπει τὸ ὥς, ἵν’ ᾖ ὥστε στόρνυσθαι. τὸ δὲ δινεύεσκον ἀντὶ τοῦ ἔστρεφον, παρέτριβον· τὰ γὰρ ξύλα παρέτριβον καὶ ἀπ’ αὐτῶν πῦρ ἔλαβον. πυρήια γὰρ ταῦτά φησι τὰ προστριβόμενα ἀλλήλοις πρὸς τὸ πῦρ ἐγγεννᾶν, ὧν τὸ μέν ἐστιν ὕπτιον, ὃ καλεῖται στορεύς, θάτερον δέ, παραπλήσιον τρυπάνῳ, ἐπιτρίβοντες τῷ στορεῖ στρέφουσιν. 1188 υἱὸς Διό ς: ὁ Ἡρακλῆς. L g (P) 1189a φθαί η: προλάβοι πρὸ τοῦ πλοῦ. L g (P) b καταχείριο ν: τὸ τῇ χειρὶ ἁρμόδιον. L g P 1190 ἀλαλήμενο ς: ἢ διὰ τὸ ἄπειρον εἶναι τῶν τόπων ἢ ἀντὶ τοῦ περιερχόμενος, ἕως ἂν αὐτῷ ἁρμόδιον εὕρῃ. 1192 ταναῆ ς: τεταμένης καὶ ἐπιμήκους. αἴγειρος δὲ παρὰ τὸ ἐκ τῆς ἔρας ἀίσσειν καὶ κινεῖσθαι, ἢ παρὰ τὸ κατάγνυσθαι ὑπὸ τῶν ἀνέμων. 1195—96 ἔδυ δ ’ ἀπὸ δέρμ α: τὸ ἑξῆς· ἀπέδυ δέρμα λέοντο ς . χαλκοβαρεῖ δὲ τῷ ἰσχυρῷ ἢ τῷ πρὸς τῷ τέλει χαλκῷ βεβαρημένῳ. Πείσανδρος (16 fg 4 J.) δέ φησι χαλκοῦν εἶναι τὸ ῥόπαλον Ἡρακλέους.

109 ἐτυμολογοῦσι δὲ 〈τοῦτο〉 παρὰ τὴν ῥοπὴν καὶ τὸ ἀλοιᾶν. δαπέδοιο δὲ ἐκ τῆς ῥίζης. 1197 στύπο ς: τὸ στέλεχος. L g P 1200 ἔχμασ ι: κωλύμασι. L g S m (P) 1201—05a ἀπροφάτω ς: ἀθρόως. L g P b κατάι ξ: σφοδρὰ ὁρμή. L g P c 〈 κατάι ξ:〉 καταιγίς. S m d αὐτοῖσι σφήνεσσ ι: τοῖς περὶ τὴν ἱστοδόκην σφησὶ τοῖς περιέχουσι καὶ κρατύνουσι τὸν ἱστόν. διόλου δὲ ἡ παραβολὴ ὑγιὴς καὶ ἐρρωμένη. ἱστῷ γὰρ τὴν ἐλάτην εἰκάζει διὰ τὸ ἰθυτενὲς καὶ εὐαυξές· καὶ γὰρ ἐκείνη ἱστοῦ δίκην ἵσταται· χειμερινῷ δὲ καιρῷ τὴν ἀθρόαν τοῦ ἥρωος ἐπιφάνειαν, σφοδρῷ δὲ ἀνέμῳ τὴν ῥώμην. τὸ δὲ αὐτοῖσι σφήνεσσι διὰ τὰ περιέχοντα τῆς ἐλάτης τὴν ῥίζαν χώματα· καὶ γὰρ ἐκεῖνα ὥσπερ σφηνῶν δίκην αὐτὴν περιεῖχεν, οἱ δὲ τόνοι προτόνων δίκην ἐπεῖχον τεταμένοι. 1207a τόφρ α: ἐν ὅσῳ τὴν ἐλάτην ἔτεμνεν ὁ Ἡρακλῆς. L g (P) b τόφρα δ ’ Ὕλα ς: τὸν Ὕλαν ὁ μὲν Ἀπολλώνιος Θειοδάμαντός φησιν υἱὸν εἶναι, Ἑλλάνικος (4 fg 131 b J.) δὲ Θειομένους. Ἀντικλείδης δὲ ἐν Δηλιακοῖς (140 fg 2 J.) ἱστόρησεν οὐ τὸν Ὕλαν εἰς τὴν ὑδρείαν ἐξεληλυθέναι, ἀλλὰ τὸν Ὕλλον, καὶ ἀνεύρετον γενέσθαι. ἐγένοντο δὲ πολλοὶ ἐρώμενοι Ἡρακλέους· Ὕλας, Φιλοκτήτης καὶ Δίομος καὶ Πέρινθος καὶ Τρίγξ, ἀφ’ οὗ πόλις τῆς Λιβύης. Σωκράτης δὲ ἐν τῷ Πρὸς Εἰδόθεόν (fg 9 M.

110 IV 498) φησι τὸν Ὕλαν ἐρώμενον Πολυφήμου καὶ οὐχ Ἡρακλέους γενέσθαι. Ὄνασος δὲ ἐν α′ Ἀμαζονικῶν (41 fg 1 a J.) ἀληθέστερον τὴν ἱστορίαν ἐκτίθεται, οὐχ ἡρπάσθαι αὐτὸν ὑπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νυμφῶν, ἀλλὰ κατηνέχθαι αὐτὸν εἰς κρήνην καὶ οὕτως ἀποθανεῖν. ἀπρεπὲς δὲ νεανίαν ὑδρίαν βαστάζειν· Ὅμηρος (η 20) δὲ πρεπόντως παρθένον. πιθανώτερον δὲ ἦν ἀμφορέα εἰπεῖν, ὡς Καλλίμαχος (fg 546 Schn.). 1208 δίζετ ο: πρὸς τὸ ἄπειρον τῶν τόπων τὸ δίζεσθαι. L g (P) 1209 φθαί η: προλάβοι πρὸ τοῦ συμποσίου. L g (P) 1212—19a νηπιάχοντ α: Ἡρακλῆς γήμας Δηιάνειραν τὴν Οἰνέως θυγατέρα καὶ διάγων ἐν Καλυδῶνι, ἐν συμποσίῳ Κύαθον [ἤτοι] τὸν Οἰνέως οἰνοχόον, Ἀρχιτέλους δὲ παῖδα, πλήξας κονδύλῳ ἀνεῖλεν, ὅτι αὐτῷ τὰ ποδάνιπτρα [ὕδατα] ἀγνοῶν ἐπὶ τῶν χειρῶν ἐπέχεεν. φεύγων οὖν τὸν φόνον καὶ σὺν τῇ γαμετῇ στελλόμενος ἀνεῖλεν ἐν Εὐήνῳ ποταμῷ Νέσσον Κένταυρον, ὡς καὶ Ἀρχίλοχος (fg 147 B. II 428) ἱστορεῖ. ἔπειτα προϊὼν ἔφερεν καὶ Ὕλλον τὸν υἱὸν καὶ ἐλθὼν εἰς τὴν Δρυοπίαν—λῃστρικὸν δὲ τὸ ἔθνος ὁμοροῦν τοῖς Μηλιεῦσιν, ὡς Φερεκύδης ἐν τῇ γ′ (3 fg 19 J.) φησίν—, τοῦ παιδὸς πεινῶντος καὶ τοῦ παιδαγωγοῦ Λίχα ἀπολιμπανομένου, συντυχὼν τῷ Θειοδάμαντι ᾐτεῖτο ὀλίγην τροφήν. ὁ δὲ οὐκ ἐδίδου. ὀργισθεὶς δὲ ὁ Ἡρακλῆς καὶ ἀποσπάσας αὐτοῦ τὸν ἕνα βοῦν, θύσας εὐωχεῖτο. ὁ δὲ Θειοδάμας ἐλθὼν εἰς τὴν πόλιν ἐστράτευσε καθ’ Ἡρακλέους, καὶ εἰς τοσαύτην ἀνάγκην κατέστη ὁ Ἡρακλῆς, ὡς καὶ τὴν γυναῖκα Δηιάνειραν καθοπλίσαι, καὶ λέγεται καὶ κατὰ τὸν μαζὸν τότε τετρῶσθαι. περιγενόμενος δὲ αὐτῶν καὶ ἀνελὼν τὸν Θειοδάμαντα ἐδέξατο τὸν τούτου υἱὸν Ὕλαν, καὶ τὸ πᾶν δὲ ἔθνος διὰ τὴν λῃστείαν μετῴκισεν 〈εἰς τὴν Πελοπόννησον〉, ἵνα τῇ πολλῇ τῶν ἀνθρώπων ἐπιμιξίᾳ τοῦ λῃστρικοῦ ἤθους ἀπόσχωνται.

111 〈...〉 περὶ Τραχῖνα τὴν Θεσσαλικὴν πόλιν καὶ τὴν Οἴτην τὸ ὄρος πρὸς τοῖς ὅροις τῆς Φωκίδος. τούτων δὲ καὶ ὁ Καλλίμαχος (fg 410 Schn.) μέμνηται. Φερεκύδης δὲ ἐν τῷ β′ (3 fg 8 J.) φησίν, ὅτι Πολυδώρᾳ τῇ Δαναοῦ μίσγεται Σπερχειὸς ὁ ποταμός, τῶν δὲ γίνεται Δρύοψ, ἀφ’ οὗ Δρύοπες καλοῦνται· οἰκοῦσι δὲ ἐπὶ τῷ Σπερχειῷ ποταμῷ. b ἀντιόωντ α: ἐναντιωθέντα. L g P c ἵετο γὰρ πρόφα〈σιν〉: οὐκ ἄδικος ὢν ὁ Ἡρακλῆς τοῦτο ἤθελεν, ἀλλ’ ἵνα τὸ ἐκείνων λῃστρικὸν ἄγαν παύσῃ· ἀλεξίκακος γὰρ ὁ θεός. d Δρυόπεσσι βαλέσθα ι: Δρύοπες ἔθνος περὶ τὸν Παρνασσὸν ἄδικον, ὃ κατεπολέμησεν Ἡρακλῆς καὶ μετέστησεν εἰς Πελοπόννησον. ὠνομάσθησαν δὲ ἀπὸ Δρύοπος τοῦ Ἀπόλλωνος καὶ Δίας τῆς Λυκάονος. 1220a ἀλλὰ τὰ μὲν τηλοῦ κε ν: φησίν, ὅτι τὴν ἡμῶν ποίησιν καὶ τὸν τῶν Ἀργοναυτῶν πλοῦν καὶ τὰ σπουδαζόμενα ἀποπλανήσειεν 〈ἄν〉, εἰ βουλοίμην εἰπεῖν τὰ συμβάντα τοῖς Δρύοψιν. b λείπει τὸ λεγόμενα, ἵν’ ᾖ ἀλλὰ ταῦτα λεγόμενα ἀποστήσει με τῆς ἐν χερσὶν οὔσης ᾠδῆς. L g 1221—22a ἣν καλέουσι Πηγά ς: ὄνομα κρήνης Πηγαὶ οὕτω κυρίως. ἀγχίγυοι δὲ οἱ πλησιόχωροι, οἱ γείτονες. b 〈ἀμφίγυο ι:〉 γράφεται ἀγχί〈γυοι〉. L g 1226 ἐναύλου ς: τὰ σπήλαια νῦν. L g (P) 1227 ὑλήωρο ι: αἱ ἐν τοῖς ὄρεσι διατρίβουσαι. L g (P) 1228 καλλινάοι ο: καλλιρρόου. L g (P) 1229 Ἐφυδατί η: ὄνομα νύμφης.

112 L g P 1230 ἐρευθόμενο ν: ἀντὶ τοῦ λάμποντα. L g P 1231 διχόμηνι ς: πληροσέληνος. L g P 1233 Κύπρι ς: τὸ ἐρωτικὸν πάθος. L g P 1234—39a λέχρις ἐπιχριμφθ〈είσ〉: πλαγίως πρὸς τὴν κρήνην ἐπικλιθείς. ὁ δὲ νοῦς· ὡς καθῆκε τὴν ὑδρίαν ἐπὶ τὴν κρήνην, ἐμφορουμένου τοῦ ὕδατος εἰς τὸ ἀγγεῖον μετὰ σφοδροῦ ἤχου, τῇ εὐωνύμῳ χειρὶ τοῦ αὐχένος αὐτοῦ ἐπιλαβομένη ἐφίλει ἡ νύμφη, τῇ δεξιᾷ δὲ καθείλκυσεν αὐτὸν εἰς τὸ ὕδωρ. b αὐτίκα δ ’ ἥγ ε: Θεόκριτος ἐν τοῖς Βουκολικοῖς ἐν τῷ Ὕλᾳ ἐπιγραφομένῳ (XIII 46 sqq.) ὑπὸ πασῶν φησιν αὐτὸν τῶν νυμφῶν ἡρπάσθαι. Ὄνασος δὲ ἐν τῷ α′ τῶν Ἀμαζονικῶν (41 fg 1 b J.) πεσόντα τὸν Ὕλαν φησὶν ὑποβρύχιον γενέσθαι. καὶ Νίκανδρος ἐν τῷ β′ τῶν Ἑτεροιουμένων (fg 48 Schn.) ὑπὸ πασῶν φησιν αὐτὸν ἁρπαγῆναι νυμφῶν· ὁ δὲ Ἀπολλώνιος ὑπὸ μιᾶς. c 〈τέρε ν:〉 τὸ ἁπαλόν, ἐκ δὲ τούτου τὸ νέον. L g 1241a Εἰλατίδη ς: γράφεται καὶ Εἰλασίδη ς. κατὰ γάρ τινας Ἐλάσου υἱός ἐστιν ὁ Πολύφημος, κατὰ δέ τινας Ποσειδῶνος. γυναῖκα δὲ ἔσχεν ὁ Πολύφημος Λαονόμην, Ἡρακλέους ἀδελφήν, Ἀμφιτρύωνος καὶ Ἀλκμήνης θυγατέρα. b προτέρωσ ε: 〈εἰς τὸ〉 ἔμπροσθεν τῆς ὁδοῦ. L g (P) 1243—48a ἠύτε τις θή ρ: κυρίως οἱ ποιηταὶ τὸν λεοντά φασι θῆρα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς καὶ Καλλίμαχος (fg 211 Schn.)· ‘θηρὸς ἀερτάζων δέρμα κατωμάδιον‘. b αἰθόμενο ς: καιόμενος τῷ λιμῷ.

113 τὸ δὲ τοιοῦτον οὐχ ὅτι ὁ λιμὸς θερμασίας ἐστὶ ποιητικός, ἀλλὰ τὸ αἴθεσθαι καὶ ἐπὶ τοῦ σπεύδειν ἐστίν. c ἐνὶ σταθμοῖσι ν: ἐνήλλακται ἡ ἓν πρόθεσις ἀντὶ τῆς εἴς. ὁ γὰρ νοῦς· οἱ γὰρ νομῆες εἰς τοὺς σταθμοὺς προήλασαν. d ὧς τό τ ’ ἄ ρ ’ Εἰλατίδ 〈ησ〉 : διόλου ὑγιὴς καὶ ἐρρωμένη ἡ εἰκών. προβάτοις γὰρ βοήσασιν εἰκάζει τὸν Ὕλαν διὰ τὸ τῆς ἡλικίας νέον καὶ τὸ τοῦ σώματος ἁπαλόν, θηρὶ δὲ κατακούσαντι καὶ σπεύδοντι τὸν Πολύφημον διὰ τὴν ἔμφυτον τοῦ ἥρωος δύναμιν. τὸ δὲ λιμῷ αἰθόμενος, ὅτι καὶ αὐτὸς 〈τοιαύ〉τη διαθέσει πρὸς τὸν παῖδα ὥρμα. τὸ δέ οὐκ ἐπέκυρσε ποίμνῃσι πρὸς τὸ συμβεβηκός· καὶ γὰρ ἡ νύμφη συνεῖρξεν τὸν παῖδα πρὸ τῆς τοῦ Πολυφήμου παρουσίας καὶ βοηθείας. 1252 ληί δ ’ ἑτοίμη ν: κτῆμα καὶ λάφυρον ἕτοιμον, διὰ τὸ ἀκμητὶ καὶ χωρὶς μάχης λαβεῖν. 1254 εὖ δέ μιν ἔγν ω: διὰ τὸ λάμπειν τὴν σελήνην· εἶπεν γάρ (v. 1231), ὅτι διχόμηνος ἔλαμπεν. 1256 ἄσθματ ι: τῷ ἐκ τοῦ δρόμου γενομένῳ φυσήματι. L g (P) 1265—72a ὡς δ ’ ὅτε τίς τε μύωπ ι: μύωψ εἶδος μυίας κατὰ τὸ ἔαρ γινόμενον, ἥτις ταῖς λαγόσι τῶν βοῶν ἐπικαθεζομένη δάκνει αὐτὰς καὶ εἰς μανίαν ἄγει, ἀφ’ οὗ καὶ οἶστρος λέγεται. Σώστρατος δὲ ἐν τῇ δʹ Περὶ ζῴων (fg 10 Wellm.) διαστέλλει τὸν μύωπα τοῦ οἴστρου. ὁ μὲν γὰρ μύωψ ἐκ τῶν ξύλων ἀπογεννᾶται, ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζῳαρίων. b πίσεά τε προλιπὼν καὶ ἑλεσπίδα ς: οἱ μὲν τοὺς συμφύτους τόπους, οἱ δὲ τοὺς ἑλώδεις καὶ πηλώδεις, ἄμεινον δὲ τοὺς 〈λεπώδεις καὶ〉 πετρώδεις παρὰ τὸ λέπεσθαι ὑπό τε τοῦ ἡλίου καὶ ἀνέμου καὶ ὑετοῦ.

114 ὅθεν καὶ λέπα τὰ ἀκρωτήρια τῶν ὀρῶν· Εὐριπίδης (Phoen. 24) ‘καὶ Κιθαιρῶνος λέπασ‘. c ὧς ὅγε μαιμώω ν: διόλου ὑγιὴς ἡ παραβολή. ταύρῳ γὰρ βεβλημένῳ εἰκάζει τὸν Ἡρακλέα διὰ τὸ τοῦ ἥρωος καρτερόν. ἐπικείμενον δὲ μύωπά φησι τὴν τοῦ Ὕλα ζήτησιν· καὶ γὰρ αὕτη δίκην μύωπος αὐτὸν ἤλγυνεν. τὸ δέ πίσεά τε προλιπὼν πρὸς τὴν ναῦν καὶ τὴν τῶν ἑταίρων σύνοδον. τὸ δὲ οὐδὲ νομήων, ὅτι οὔτε τοῦ ἐξάρχου τοῦ πλοῦ Ἰάσονος ἐπεστράφη οὔτε τῶν ἄλλων ἑταίρων. τὸ δὲ ἄλλο τ ’ ἄπαυστος, ὅτι ποτὲ μὲν ἔτρεχεν ἕως κάμῃ, ποτὲ δὲ ἑστήκει. τὸ δέ ἵησι μύκημα, ὅτι καὶ οὗτός ποτε ἐβόα καλῶν τὸν Ὕλαν. 1273—75 αὐτίκα δ ’ ἀκροτάτα ς: ἀντέστραπται τὰ πρῶτα. ὁ γὰρ ἑξῆς λόγος ἐστίν· ὡς δὲ πρὸς ταῖς ἀκρωρείαις ὁ ἑωσφόρος ἐφάνη, παραχρῆμα πνοαὶ παρῆλθον, ταχέως δὲ ὁ Τῖφυς παρεκελεύσατο ἐμβάντας ἀπολῦσαι τὸ ἱστίον. 1276—77a ὕψι δὲ νηό ς: ἀνασπάσαντες τὰς ἀγκύρας καὶ τοῦ ὅρμου ἀνακινήσαντες τὴν ναῦν. γελοῖος δὲ Ἔφορος (70 fg 42 a J.) νομίζων πρῶτον Ἀνάχαρσιν τὴν διπλῆν ἄγκυραν εὑρηκέναι· πρεσβύτεροι γὰρ Ἀναχάρσιδος οἱ Ἀργοναῦται. b 〈 ἀνεκρούσαντο κάλωα ς:〉 διὰ τοῦ προηγουμένου τὸ ἐπακολουθοῦν δηλώσας, ἀντὶ τοῦ· τὸ ἱστίον ἐχάλασαν. c ἀνεκρούσαντ ο: προσέκρουσαν τῇ νηὶ τὰ σχοινία τῆς ἀγκύρας διὰ τὸ βεβρέχθαι.

115 L g (P) 1280—81a ἦμος δ ’ οὐρανόθεν χαροπ ή: χαροπὴν τὴν ἠῶ διὰ τὸ λαμπρύνειν τὸν ἀέρα καὶ φωτίζειν. τὸ δὲ γλαυκὸν καὶ χαροπὸν συνωνύμως λέγεται· ἀμφότερα γὰρ ἐπὶ τοῦ λαμπροῦ. διὸ καὶ ἐπήνεγκεν διαγλαύσσουσιν, ἀντὶ τοῦ φωτίζουσιν ἢ διαλάμπουσιν. ὅθεν καὶ ἡ Ἀθηνᾶ γλαυκῶπις καὶ γλήνη ἡ κόρη τοῦ ὀφθαλμοῦ, παρὰ τὸ γλαύσσειν, ὅ ἐστι λάμπειν. καὶ Εὐριπίδης ἐπὶ τῆς σελήνης ἐχρήσατο (fg 1009 N. 2 ). ‘γλαυκῶπις [τε] στρέφεται μήνη‘. b 〈 ἐκ περάτη ς:〉 ἐκ τοῦ πέρατος καὶ τοῦ ὑπὸ γῆν ἡμισφαιρίου. L g c ἡ δὲ περάτη σημαίνει μὲν κατά τινας καὶ τὸ ὑπὸ γῆν ἡμισφαίριον. λέγεται δὲ κυρίως ἡ ἀνατολή· πέρας γὰρ αὕτη τῆς τοῦ οὐρανοῦ κινήσεως· ἐκεῖθεν γὰρ ἄρχεται καὶ εἰς αὐτὴν τελευτᾷ. P 1283 〈 τούσ γ’:〉 Ἡρακλέα, Πολύφημον καὶ Ὕλαν. L g 1286 σφωιτέρω ν: οὐχ ὑγιῶς δυϊκὸν κατὰ πλήθους ἔθηκεν· ἔδει γὰρ πληθυντικὸν εἰπεῖν. L g (P) 1287 〈 οὐδέ τι τοῖο ν:〉 οὔτε ἀγαθὸν οὔτε φαῦλον προΐετο λόγον. L g 1289—91a Τελαμῶνα δ ’ ἕλεν χόλο ς: οὗτος γὰρ πάνυ Ἡρακλέους γέγονεν ἑταῖρος, ὃς καὶ [εἰς]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλοὺς ἄθλους αὐτῷ συνεμάχησεν καὶ εἰς Ἴλιον συνέπλευσεν καὶ συνεπολέμησεν Ἀμαζόνας καὶ τὸν Ἀλκυονέα ἀνεῖλεν, ὡς καὶ ὁ Πίνδαρος (Nem.

116 IV 25 sqq., Isthm. VI 26 sqq.) ἱστορεῖ. ὁ δὲ Βουκόλος ἁπλῶς αὐτοὺς ἔφη φίλους εἶναι (Theocr. XIII 38)· ʻοἳ μίαν ἄμφω ἑταῖροι ἀεὶ δαίνοντο τράπεζαν.ʻ ὁ δὲ λόγος· καθέζῃ ὡς ἔτυχες ἥσυχος. Ἀπολλώνιος μὲν οὖν ἀπολελεῖφθαί φησι τὸν Ἡρακλέα περὶ Κίον ἐκβάντα ἐπὶ τὴν Ὕλα ζήτησιν· Διονύσιος δὲ ὁ Μιτυληναῖος (32 fg 6 b J.) συμπεπλευκέναι φησὶ τὸν ἥρωα τοῖς ἀριστεῦσιν ἕως Κόλχων καὶ τὰ περὶ Μήδειαν συμπεπραχέναι τῷ Ἰάσονι. ὁμοίως καὶ Δημαρέτης (42 fg 2b J.). Ἡρόδωρος (31 fg 41 b J.) δέ φησι μὴ συμπεπλευκέναι αὐτόν τε καί τινας ἄλλους. Ἡσίοδος ἐν τῷ Κήυκος γάμῳ (fg 154 Rz. 2 ) ἐκβάντα φησὶν αὐτὸν ἐφ᾽ ὕδατος ζήτησιν τῆς Μαγνησίας περὶ τὰς ἀπὸ τῆς ἀφέσεως αὐτοῦ Ἀφετὰς καλουμένας ἀπολειφθῆναι. Ἀντίμαχος δὲ ἐν τῇ Λύδῃ (fg 8 B. II 290) φησὶν ἐκβιβασθέντα τὸν Ἡρακλέα διὰ τὸ καταβαρεῖσθαι τὴν Ἀργὼ ὑπὸ τοῦ ἥρωος 〈...〉 καὶ Ποσείδιππος ὁ ἐπιγραμματογράφος (fg 4 Schott Posid. epigr., Diss. Berol. 1905, 106 ) ἠκολούθησε καὶ Φερεκύδης (3 fg III b J.). Ἔφορος δὲ ἐν τῇ ε′ (70a fg 14 b J.) φησὶν αὐτὸν ἑκουσίως ἀπολελεῖφθαι πρὸς Ὀμφάλην τὴν Λυδῶν βασιλεύουσαν. ἰδίως δὲ Ἀντικλείδης ἐν τῇ β′ τῶν Δηλιακῶν (140 fg 2 J.) Ὕλλον φησὶ τὸν Ἡρακλέους υἱὸν ἀποβάντα ἐφ᾽ ὕδωρ μὴ ὑποστρέψαι. b 〈 ἐπεὶ νύ το ι:〉 ὅτι δή σοι. L g c ἄρμενο ν: ἁρμόδιον, ἀρεστόν. L g P 1292—93 ὄφρα τὸ κείνου κῦδ 〈οσ 〉: ἀστείως καὶ τεχνικῶς οὐ τοῦ κατεπείγοντος καιροῦ μέμνηται, ἀλλ᾽ ἐπὶ τὸν νόστον ἀνάγει τὸν λόγον, ἵνα πλέον κακίσῃ τὴν πρᾶξιν· οὐδὲν γάρ σοι διεφέρετο ἐν Σκυθίᾳ ὑπὸ Ἡρακλέους ἡττῆσθαι, ἀλλ᾽ ὅμως τοῦτό σοι αἰσχύνην ἔφερεν ὕστερον ἡμῶν εἰς Ἑλλάδα ἐπανελθόντων.

117 διὸ καὶ τὴν κοινὴν πάντων σωτηρίαν ὑπὲρ τῆς σῆς εὐδοξίας παρῆκας. 1294—95 ἀλλὰ τί μύθων ἦδο ς: Ἡρωδιανὸς ἐν τῷ κ′ (I 537, II L) φησίν, ὅτι τὰ εἰς ος λήγοντα οὐδέτερα δισύλλαβα, ἀρχόμενα ἀπὸ φύσει μακρᾶς, ψιλοῦται· αἶσχος ἦθος εὖρος εἶδος. οὕτως οὖν καὶ τὸ ἦδος. τὸ δὲ ἡθμὸς δασύνεται καίτοι τὸ η ἔχον πρὸ τοῦ θ τῇ ἐννοίᾳ, τοῦ ἥσω μέλλοντος δασυνομένου. ἐλλείπει δὲ τὸ μοί. ὁ γὰρ νοῦς· ἀλλὰ τί τούτων ἦδός μοι τῶν λόγων; πορεύσομαι γὰρ χωρὶς τῶν συντεθειμένων σοι τοῦτον τὸν δόλον. 1297 ὄστλιγγε ς: αἱ λαμπηδόνες. ἐν ἄλλοις δὲ σημαίνει ἡ λέξις τοὺς βόστρυχας· ʻἀπ᾽ ὀστλίγγων ὁ αἰὲν ἄλειφα ῥέειʻ (Callim. fg 12 Schn.) τοῦτο δέ φησιν Ἡρωδιανὸς ἐν τῷ β′ τῆς Καθόλου (I 44, 4 L.)· ʻπαρὰ μὲν Ἀπολλωνίῳ καὶ Φιλητᾷ (fg. 24 Kuchenmueller) διὰ τοῦ α ʻ. 1298 ἐκ παραλλήλου τὸ αὐτὸ ἂψ ὀπίσ ω. L g (P) 1299 λαῖτμα βιησάμενο ι: ἀντὶ τοῦ μαχεσάμενοι τῷ κατεπείγοντι ἀνέμῳ καὶ βιασάμενοι. λαῖτμα δὲ τὸ κύτος τῆς θαλάσσης καὶ διάστημα, οἱονεὶ λάταμα, ἢ παρὰ τὸ λατύσσεσθαι ὑπὸ τῶν κυμάτων, ὅ ἐστι τύπτεσθαι.

118 Σιληνὸς δὲ ἐν Γλώσσαις πέλαγος εἶναι καὶ Εἰρηναῖος ἐν α′ Ἀπολλωνίου (fg 18 Haupt Opusc. II 439 ) ἀποδεδώκασιν. 1300—05a εἰ μὴ Θρηικίοι ο: τούτους Ἡρακλῆς ἀνεῖλεν ὕστερον εὑρὼν περὶ Τῆνον τὴν νῆσον, ἣ παράκειται Δήλῳ. Νίκανδρος δέ φησιν οὕτως (fg 113 Schn.)· ʻἐπειδὴ Ἡρακλῆς ἐμνησικάκει τῷ Βορέᾳʻ. Ὅμηρος (Ο 26)· ʻτὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας.ʻ Αἰνησίδαμος δὲ ἐν Τηνιακοῖς (M. IV 286), ἐπειδὴ τὸν Ἡρακλέα ξενίσαντες ἐνήδρευσαν αὐτὸν φονεῦσαι βουλόμενοι. b ἄθλων γὰρ Πελίαο ἕως τοῦ ἀμ φ ᾽ αὐτοῖ ς: ὅτι Ἡρακλῆς ἀνεῖλε τοὺς Βορεάδας διὰ τὸ κωλῦσαι τὴν ναῦν ὑποστρέψαι πάλιν εἰς τὴν Μυσίαν, φησὶν Ἀπολλώνιος. Σῆμος (fg 18 M. IV 495) δέ φησι διὰ τὸ λειφθῆναι δρόμῳ τὸν Ἡρακλέα ὑπὸ τῶν Βορεαδῶν, Στησίμβροτος (107 fg 19 J.) δέ, ὅτι διαφορὰν ἔσχον πρὸς τὸν Ἡρακλέα περὶ τῶν δεδομένων δώρων ὑπὸ Ἰάσονος τοῖς ἀριστεῦσι. Νίκανδρος δὲ ὁ Κολοφώνιος ἐν τῇ α′ τῶν Οἰταϊκῶν (fg 15 Schn.) φησι Βορέαν αἴτιον γεγονέναι τοῦ θανάτου τῶν προειρημένων διὰ τοῦ χειμάσαι τὸν Ἡρακλέα εἰς Κῶ ὑποστρέφοντα. c δεδουπότο ς: μετὰ γὰρ τὸν θάνατον Πελίου ἀνιόντας ὡς ἐπὶ τὴν πατρίδα τοὺς Βορεάδας ἐκ τοῦ ἐπιταφίου αὐτοῦ ἀγῶνος συντυχὼν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡρακλῆς καὶ ὑπομνησθεὶς αὐτοῦ τούτου, ὅτι αὐτὸν ἀναζητηθῆναι ἐκώλυσαν, ἀνεῖλεν αὐτοὺς ἐν Τήνῳ τῇ νήσῳ. 1306—08 στήλας τε δύ ω: τῶν δύο τάφος ἐστὶν ἐν Τήνῳ τῇ νήσῳ καὶ στῆλαι, ὧν τὴν ἑτέραν πάντως συμβαίνει ὑπὸ ἀνέμου κινεῖσθαι τοῦ Βορέου τοῦ πατρὸς αὐτῶν. 1309 καὶ τὰ μὲν ὥς ἤμελλ ε: Καλλιμάχου ὁ στίχος (fg 212 Schn.). κοινὸν δὲ ἁμάρτημα πάντων τῶν μεθ' Ὅμηρον ποιητῶν, τὰ ἀπὸ συμφώνου ἀρχόμενα ῥήματα κατὰ τὸν ἐνεστῶτα χρόνον διὰ τοῦ η ἐκφέρειν ἐπὶ τοῦ παρατατικοῦ. 1310a τοῖσιν δὲ Γλαῦκο ς: Γλαῦκος Πολύβου παῖς, Ἀνθηδόνιος τὸ γένος—ἡ δὲ Ἀνθηδὼν Βοιωτικὴ πόλις, ὡς καὶ Ὅμηρος (Β 508) 'Ἀνθηδόνα τ' ἐσχατόωσαν'—, ἁλιεὺς τὴν τέχνην, ὃς πολλῶν ποτε ἰχθύων εὐτυχήσας ἄγραν μεταξὺ τῆς ὁδοῦ ἀποκαμὼν ἀπέθετο τὸ φορτίον τῶν ἰχθύων.

119 ὁ δὲ εἷς τούτων ἀθάνατον φαγὼν βοτάνην ἀνέζησε. λαβὼν δὲ καὶ ὁ Γλαῦκος, φαγὼν καὶ αὐτὸς ἀπεθεώθη. εἶτα ὡς εἰς ἄκρον γήρως ἤρχετο, μηκέτι φέρων ἐδίσκευσεν ἑαυτὸν εἰς θάλασσαν καὶ ἐτιμήθη ὡς θαλάσσιος δαίμων. καὶ τὸν ἰχθὺν τὸν γλαῦκον ἀπ' αὐτοῦ κεκλῆσθαι λέγουσι. b 〈 βρυχίη ς:〉 τῆς ταραχώδους. L g c βρυχίαν δὲ ἄλα τὴν βρυχώδη φησί. P 1314 νήιον 〈ὁλκαῖον 〉 λέγεται μέρος τῆς νεώς, οὗπερ σύρεται κατὰ τὸ ὕδωρ. L m P 1315 τίπτε παρὲκ μεγάλ 〈οιο 〉 : τὸ ἑξῆς· τίπτε μενεαίνετε παρὲκ μεγάλοιο Διὸς βουλή ν; τουτέστι· τί προθυμεῖσθε παρὰ τὴν τοῦ Διὸς βουλήν; 1317—18a Ἄργει οἱ μοῖ ρ ' ἐστί ν: ὅτι ἄθλους ἐπιτελῶν Ἡρακλῆς παραλιπὼν τούτους ὥρμησεν ἐπὶ τοὺς ἀριστεῖς, αὐτὸς Ἀπολλώνιος ἐν τῷ καταλόγῳ τῶν ἡρώων (Ι 124 sqq.) φησί. b ἐκπλῆσα ι: ἐκπληρῶσαι. L g P 1319—20 εἴ κ ' ἔτι παύρου ς: ἐὰν ἔτι ὀλίγους πρὸς οἷς ἤνυσεν ἀνύσῃ ἄθλους. συνέστιον δὲ συνδιαιτητήν, ὁμοτράπεζον, ὁμότιμον, ὅτι ἡ κοινὴ τράπεζα τὴν αὐτὴν τιμὴν τοῖς μεταλαμβάνουσιν αὐτῆς δίδωσιν. 1321—23a προχοῇσι Κίοι ο: ποταμὸς Μυσίας, ἀφ' οὗ ἡ Κίος ὁμωνύμως τῷ ποταμῷ. ἐτελεύτα γὰρ Πολύφημος τοῖς Χάλυψι μαχόμενος· ἔστι δὲ ἔθνος Σκυθικόν. b Χαλύβω ν: Χάλυβες ἔθνος Σκυθίας, ὅπου ὁ σίδηρος γίνεται. Καλλίμαχος (fg 35 c Schn. = Pap. Soc. It. 1092, 48)· 'Χαλύβων ὡς ἀπόλοιτο γένοσ'. 1325 ὃν πόσι ν: κακῶς τέθεικεν τὸ ὃν πόσι ν· ἔστι γὰρ προσληπτικὸν ἰσοδυναμοῦν τῷ αὐτῆς.

120 δεῖ δὲ εἰπεῖν ἧς πόσι ν· τοῦτο γὰρ ἰσοδυναμεῖ τῷ ἑαυτῆς, ἵν' ᾖ ὁ λόγος· ἐποιήσατο νύμφη ἑαυτῆς πόσιν. 1326a ἁλίαστο ν: ἀντὶ τοῦ πολύ. L g P b δύψα ς: καταδύς. L g P 1329a γήθησα ν: διὰ τὸ μαθεῖν τὴν αἰτίαν τῆς ἀπολείψεως. L g P b ἐσσυμένω ς: ταχέως. L g P 1331 προσπτύξατ ο: ἐδεξιώσατο, ἐφιλοποιήσατο τοῖς λόγοις. 1332a μή μοί τι χολώ 〈σεαι 〉 : διὰ μὲν τοῦ μή μοι χολώσεαι τὸ ἀποφατικὸν τέταχεν ἀντὶ τῆς ἀπαγορεύσεως. ἔδει γὰρ εἰπεῖν· μή μοι χόλου, προστακτικῶς. b ἀφραδίῃσι ν: ἀγνοίαις. κατὰ μεσότητα ἀκουστέον· ἀφραδέως, ἀδιανοήτως. 1333—35a εἰ τί περ ἀασάμη ν: κατὰ μεταφορὰν ἀπὸ τῶν ἁρματοδρόμων. ὑπερφίαλον δὲ ἀντὶ τοῦ ἡμαρτημένον, οἷον ὑπέρφυλον κατὰ παρέμπτωσιν τοῦ α , καταστρέφει δὲ εἰς τὸ οὐ καθῆκον οὐδὲ νόμιμον. b 〈 ἧκε ν:〉 γράφεται εἷλε ν. L g c ἀλ λ ' ἀνέμοισι δώομε ν: ἡ διάνοια παρὰ τοῦ ποιητοῦ (θ 408 sq.)· 'ἔπος δ' εἴ πέρ τι βέβακται δεινόν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι θύελλαι.' 1336 ἐπιφραδέω ς: διανενοημένως, συνετῶς. L g P 1337 ἐκυδάσσα ο: ἐλοιδόρησας· κύδος γὰρ ἀρσενικῶς ἡ λοιδορία παρὰ Συρακοσίοις. Σοφοκλῆς Αἴαντι μαστιγοφόρῳ (722)· 'κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ'.

121 1338 ἐνηέος ἀνδρό ς: ἐνηλλαγμέναι εἰσὶν αἱ πτώσεις. ὁ γὰρ νοῦς· εἰς προσηνῆ ἄνδρα ἁμαρτεῖν. 1344 ἀρθμηθέντε ς: φιλιωθέντες. L g P 1345 βαλέσθα ι: ἀντὶ τοῦ πολίσαι. L g (P) 1346 ἐπώνυμον ἄστ υ: ἀντὶ τοῦ ὁμώνυμον τοῦ ποταμοῦ. καὶ γὰρ Κίος ὁ ποταμὸς καὶ ἡ πόλις. ὠνόμασται δὲ ὁ ποταμὸς ἀπὸ Κίου τοῦ ἡγησαμένου Μιλησίων. 1348—49a ἐπηπείλησε δὲ γαῖαν Μυ 〈σί δ ' 〉 : ἀνάστατον καὶ ἔρημον ποιήσειν παραυτὰ καὶ εὐθέως τὴν Μυσίδα ἤτοι Μυσῶν χώραν ἠπείλησε. b τὸ δὲ Μυσίδα ἔχει μὲν τύπον ὑποκοριστικοῦ, οὐ μὴν ἔστιν ὑποκοριστικόν. καὶ τὸ Ἀσίδος (V. 444) ἀντὶ τοῦ Ἀσίας. P c ὁππότ ε: Ἀττικόν ἐστι παρῳχημένου χρόνου ἰσοδυναμοῦν τῷ 〈ὅτε〉 ·

'ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον' (Α 399). τίθεται δὲ κατὰ τὸν ἐπιόντα χρόνον συνεκφερομένου αὐτῷ τοῦ ἐπιζευκτικοῦ συνδέσμου τοῦ ἄν· 'ὁππόταν ἡβήσητε' (α 41). ἔδει οὖν ἐπιζευκτικῷ αὐτὸν χρήσασθαι τῷ εἴ· 'εἰ μή μοι τλαίης γε θεά' (ε 178). 1350 ἢ ζωοῦ εὕροιεν Ὕλα μόρο ν: ἀντὶ τοῦ μοῖραν ἀκουστέον· παρεσχημάτισται γὰρ ἀπὸ τοῦ μοῖρα, ὡς τὸ πύλῳ ἀπὸ τῆς πύλης παρ' Ὁμήρῳ (Ε 397) 'ἐν πύλῳ ἐν νεκύεσσι βαλών'. μοῖραν οὖν ἢ ζῶντος ἢ τεθνηκότος· ἧς ἐστί ποτε μοίρας, εἴτε ζῶν εἴτε νεκρός. 1351 τοῖο δὲ ῥύσ ι ' ὄπα 〈σσαν〉 : ἀντὶ τοῦ Ὕλα ἐνέχυρα οἱ Μυσοὶ παρέσχον τῷ Ἡρακλεῖ, ὑπὲρ τοῦ πάντοτε αὐτὸν ἐπιζητεῖν. πλεονάζει δὲ ἡ ἀπὸ πρόθεσις. 1353 μαστεύοντε ς: ζητοῦντες· ἐξ οὗ καὶ μαστὺς ἡ ζήτησις.

122 Καλλίμαχος (fg 277 Schn.)· 'μαστύος ἄλλοτ' ἔκαμνον ἀλητύι'. ὅθεν καὶ μαστοὶ καλοῦνται διὰ τὸ ἀναγκαίως ζητεῖσθαι ὑπὸ τῶν παίδων. 1354 ἐρέουσι ν: ἀντὶ τοῦ ἐρευνῶσι, ζητοῦσιν. Ὅμηρος (φ 31) 'τὰς ἐρέων Ὀδυσῆι συνήντετο' καὶ (δ 337) 'κνημοὺς ἐξερέῃσι'. 1355—57a ἐυκτιμένης τε μέλονται Τρηχῖνο ς: Τραχὶν πόλις Θεσσαλίας, ἔνθα τοὺς παῖδας τῶν Μυσῶν ἐνῴκισεν Ἡρακλῆς, ὅτε ἀντενέχυρα τοῦ Ὕλα ἐδέξατο αὐτούς. οὐχ ὑγιῶς δὲ τέθεικεν τὸ αὐτόθ ι· δηλωτικὸν γάρ ἐστι τοῦ παρόντος τόπου, ἴσον τῷ (Κ 65)· 'αὖθι μένειν, μή πως ἀβροτάζομεν ἀλλήλοιιν.' ἔδει δὲ εἰπεῖν τὸν ἀφεστῶτα τόπον, ὡς τό (κ 82 sq.) 'ὅθι ποιμένα ποιμὴν ἠπύει'. b νάσσατ ο: ἀντὶ τοῦ κατῴκισε. L g P c ῥύσι α: τὰ ἀντί τινος ἐνέχυρα διδόμενα ὑπὲρ τῆς πράξεως. ὅτι δὲ Κιανοὶ ὅμηρα ἔδοσαν Ἡρακλεῖ καὶ ὤμοσαν μὴ λήξειν ζητοῦντες Ὕλαν καὶ φροντίδα ἔχουσι Τραχινίων διὰ τὸ ἐκεῖσε κατοικισθῆναι ὑφ' Ἡρακλεῖ τοὺς ὁμηρεύσαντας, Κιναίθων ἱστορεῖ ἐν Ἡρακλείᾳ (Kinkel 212). 1358—62a νηῦν δὲ πανημερ 〈ίην〉 : ὁ νοῦς οὕτως· τὴν δὲ ναῦν δι' ὅλης ἡμέρας καὶ νυκτὸς ὁ ἄνεμος ἔφερεν σφοδρῶς ἐπιπνέων, τῆς δὲ ἡμέρας ἐπιφανείσης οὐδὲ ὀλίγον ἔπνει, ἀλλ' εὐθέως ἐπαύετο. b εἰσανέχουσα ν: ἐξέχουσαν καὶ ἐπηρμένην ἢ ἀνέχουσαν καὶ ἀνατεταμένην ἀκτὴν πλατεῖαν ἰδόντες, ἐπίκωποι γενόμενοι καθώρμισαν τὴν ναῦν. B [ Ἔνθα δ ' ἔσαν σταθμοί τε βο 〈ῶν〉 :] Τοῦ β' τῶν Ἀργοναυτικῶν τὰ κεφάλαιά ἐστι τάδε.

123 (1t) Ἄμυκος ὁ τῶν Βεβρύκων ἡγούμενος διαπυκτεύει Πολυδεύκει καὶ ἀναιρεῖται. διὸ μάχη γίνεται τῶν Ἀργοναυτῶν καὶ τῶν Βεβρύκων, καὶ πολλοὺς ἀναιροῦσιν οἱ Ἀργοναῦται, οἱ δὲ λοιποὶ φεύγουσιν. ἔπειτα παραγίνονται οἱ Ἀργοναῦται πρὸς Φινέα πεπηρωμένον τὰς ὄψεις, ὃς ἱκετεύει βοηθῆσαι αὐτῷ. Ἅρπυιαι γὰρ ἐξ ἀφανοῦς τινος πορευόμεναι, τούτου τὴν τροφὴν ἁρπάζουσαι ἄγευστον αὐτὸν ἐποίουν. ἐγίνωσκε δέ, ἅτε δὴ μάντις, ὑπὸ τίνων ἦν μεμοιραμένον αὐτὰς διωχθῆναι. οἱ δὲ Βορεάδαι οὐκ ἠπείθησαν, ἀλλ' ἐδίωξαν αὐτάς. ἐν τοσούτῳ δὲ Φινεὺς αὐτοῖς ἐξηγεῖται τὸν εἰς Κόλχους πλοῦν. ἐπανελθόντες δὲ οἱ Βορεάδαι διηγοῦνται ὡς κατηγωνίσαντο τὰς Ἁρπυίας. ἑξῆς δέ ἐστι τὰ περὶ Κυρήνην τὴν Ὑψέως καὶ Ἀρισταῖον τὸν Ἀπόλλωνος καὶ αὐτῆς τῆς Κυρήνης υἱόν, καὶ ὅσα μεμύθευται περὶ τῶν ἐτησίων ἀνέμων, καὶ ὡς τὰς Συμπληγάδας διέπλευσαν καὶ ἐν τῇ παρακειμένῃ τῇ Θυνίδι χώρᾳ νήσῳ ἐγένοντο καὶ ἐπεφάνη αὐτοῖς ὁ Ἀπόλλων, ἔνθα τέμενος κατασκευάσαντες Ἑῷον τὸν θεὸν ἐπωνόμασαν· τά τε περὶ τὴν Μαριανδυνίαν καὶ ἐνταῦθα κειμένην Ἀχερουσίαν ἄκραν, καὶ ὡς Λύκος ὁ βασιλεὺς τῆς χώρας ταύτης φιλοφρονέστατα αὐτοὺς ὑπεδέξατο, ὅτι ἐχθρὸν αὐτῷ Ἄμυκον ὄντα ἐκόλασαν, Ἴδμων δὲ ὁ μάντις καὶ Τῖφυς ὁ κυβερνήτης ὅτι ἐτελεύτων ἐν τῇ Μαριανδυνίᾳ. τὰ δὲ ἑξῆς περὶ τῶν παρὰ Χάλυψι καὶ Τιβαρηνοῖς καὶ Μοσσυνοίκοις νομίμων λέγεται καὶ τῶν ἐν τῇ νήσῳ τοῦ Ἄρεως μυθευομένων ὀρνέων, ὡς ἐξηλάθησαν ὑπὸ τῶν Ἀργοναυτῶν· καὶ ὡς οἱ Χαλκιόπης τῆς Μηδείας ἀδελφῆς καὶ Φρίξου υἱοὶ στελλόμενοι εἰς Ὀρχομενὸν ἐναυάγησαν, καταχθέντες δὲ εἰς τὴν Ἄρεως νῆσον συνέβαλον τοῖς Ἀργοναύταις, καὶ ἀλλήλους γνωρίσαντες κοινῇ ἔπλευσαν εἰς τὸν ἐν Κόλχοις ποταμὸν Φᾶσιν.

124 1a 〈 ἔνθα δ':〉 ἐν τῷ αἰγιαλῷ, ᾧ προσωρμίσθησαν. L m b αὖλις δὲ ἡ διατριβὴ καὶ ἡ διαγωγή. L m (P) c Ἄμυκος δὲ Βεβρύκων βασιλεύς, ἔθνους Βιθυνῶν. L m 2a Βεβρύκων βασιλῆο ς: τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βεβρύκων ἐβασίλευσεν Ἄμυκος, τῆς Βιθυνίας τά τε ἄλλα κατ’ ἐκείνους τοὺς χρόνους καὶ τὰ παραθαλάσσια κατεχόντων. κατῴκησαν δέ τινες αὐτῶν καὶ περὶ τὴν Λυδίαν ἐν τοῖς πλησίον Ἐφέσου τε καὶ Μαγνησίας τόποις. Χάρων (fg 7 M. I 33) δέ φησι καὶ τὴν Λαμψακηνῶν χώραν πρότερον Βεβρυκίαν καλεῖσθαι ἀπὸ τῶν κατοικησάντων αὐτὴν Βεβρύκων. τὸ δὲ γένος αὐτῶν ἠφάνισται διὰ τοὺς γενομένους πολέμους καθάπερ καὶ ἄλλων ἐθνῶν. b 〈 ἀγήνορο ς:〉 αὐθάδους. L g c ἀγήνορα δὲ τὸν ὑπερήφανον. P 3—4a Βιθυνὶς Μελί η: ἄδηλον πότερόν ἐστι τὸ κύριον. Μελίαν δέ φησιν αὐτὴν διὰ τό τινας τῶν νυμφῶν Μελίας καλεῖσθαι ἀπὸ Μελίας τῆς Ὠκεανοῦ, ὥς φησι Καλλίμαχος (fg 404 Schn.

125 ), ἢ διὰ τὸ περὶ μελίας δένδρα διατρίβειν καθάπερ Ἁμαδρυάδας· Βιθυνίδα δὲ διὰ τὸ Βιθυνὴν τὸ γένος τυγχάνειν. 〈...〉 . Γενέθλιον δὲ εἶπεν αὐτὸν διὰ τὸ δεσπόζειν τοῦ ὑγροῦ καὶ πάσης τροφῆς καὶ γενέσεως αἴτιον εἶναι, καθὸ τὸ ὕδωρ πάντων γεννητικόν. b Βιθυνί ς: ὄνομα κύριον. L g (P) c Μελί η: ἐπίθετον. L g (P) d ὑπεροπληέστατο ν: ὑπερηφανώτατον. L g (P) 5 ὃς καὶ ἐπὶ τοῖς ξένοις κακὸν νόμον ἔθηκεν. L g 6 ἀποστείχει ν: ἀναχωρεῖν. L g P 8—10a καὶ δὲ τότ ε: ὁ νοῦς· καὶ τότε δὲ πρὸς τὴν ναῦν ἐλθών, τοῦ μὲν τὰ πρὸς τὴν χρείαν πυθέσθαι τοῦ πλοῦ, τουτέστι τίνος χρείαν ἔχουσι καὶ τίνες εἰσίν, ἠφροντίστησεν, τοιαῦτα δὲ πρὸς αὐτοὺς εἶπεν. L b χρειώ μιν ἐρέσθα ι: τὸ μὶν ἑνικὸν ἀντὶ πληθυντικοῦ τοῦ αὐτούς, τοὺς ἥρωας. δύναται δὲ καὶ ἑνικὸν εἶναι, ἵνα περὶ τοῦ Ἀμύκου λάβωμεν· ἔδει γὰρ αὐτόν—τὸν Ἄμυκον—ἐρωτῆσαι τοὺς ἥρωας. ὁ δὲ Θεόκριτος (XXII 53 sq.) ἄλλως ἱστόρησεν. c τὸ δὲ ἄτισεν ἀντὶ τοῦ οὐκ ἐφρόντισεν· ὃ γὰρ οὐ τιμᾷ τις, ἐκείνου οὐδὲ φροντίζει. P d τὸ δὲ παρασχεδὸν ἀντὶ τοῦ ἐγγύς. P 12—14 θέσμιο ν: νόμιμον. ὁ δὲ λόγος· νόμος ἐστὶ τὸν προσπλεύσαντα τῇ Βεβρυκίᾳ τῶν ξένων μὴ ἀπαλλάττεσθαι πρὶν ἢ ἐμοὶ πυκτεῦσαι. L 15—16a τῷ καί μο ι: διό μοι τὸν ἄριστον ὑμῶν κεκριμένως στήσατε πυγμῇ μοι διαγωνίσασθαι. L b τὸ δὲ ἀποκριδὸν ἀντὶ τοῦ κατ’ ἐκλογήν. P c τὸ δὲ δηρινθῆναι ἀντὶ τοῦ μαχέσασθαι, ἀπὸ τοῦ δηρίνομαι· τοῦτο δὲ ἀπὸ τοῦ δηρίομαι.

126 P 17—18 εἰ δ ’ ἂν ἀπηλεγέοντε ς: ἀφροντιστοῦντες, παρ’ οὐδὲν ἡγησάμενοι. 〈...〉 . ὁ δὲ Ἡρωδιανὸς ἀνηλεγέως φησὶ διὰ τοῦ ν ἐν τῷ γ′ τῆς Καθόλου (I 79, 23 L.). ὁ δὲ νοῦς· εἰ δὲ ἀφροντιστήσαντες τοὺς νόμους μου παρ’ οὐδὲν ἡγήσεσθε, πείσεσθε ἄν, οἶμαι, οὐχὶ τὴν τυχοῦσαν ἀνάγκην. 19 〈 μέγα φρονέω ν:〉 οἷον ὑπὲρ ἄνθρωπον. B g 21 αἶψα δ ’ ἑῶν ἑτά 〈ρων 〉 : δασύνεται τὸ ἑῶ ν . εἰ γὰρ δασεῖαι αἱ ἀρκτικαί εἰσιν καὶ εἴ ποτε μετασχηματίζονται, πάλιν τὴν δασεῖαν ἐπὶ τῆς ἀρχῆς ἔχουσιν, οἷον ἔρσα ἕερσα, ἕδνα ἕεδνα. 22—23a ἴσχεο νῦ ν: ἐπίσχες, ὅστις ποτὲ ὑπάρχεις· πειθαρχήσομεν γὰρ οἷς λέγεις νόμοις. διὰ δὲ τοῦ μηδὲ τὸ ὄνομα εἰδέναι σφόδρα αὐτοῦ τὴν ἀξενίαν ὠνείδισεν. L b τὸ δὲ ὅτις εὔχεαι ἐπὶ καταφρονήσει εἴρηται. P 25a 〈 ἀπηλεγέω ς:〉 πάλιν ἀντὶ τοῦ ἀφροντίστως. L g b ἑλίξα ς: οἷον ἐπιστρέψας εἰς αὐτὸν τὰ ὄμματα. L g (P) 27 ἰλλόμενο ς: συνειλούμενος καὶ συστρεφόμενος. L g P 28a ἐπὶ δ ’ ὄσσεται οἰόθεν οἶο ς: φασὶ τὸν λέοντα τρωθέντα μόνον ἐπιτηρεῖν τὸν τρώσαντα. μόνος οὖν ὑπάρχων μόνον ἐκεῖνον προσβλέπει τὸν τρώσαντα. b οἰόθε ν: μόνον. καὶ Ἀριστοτέλης (Hist. an. IX 44, 629b 24) δέ φησι τοῦτο ποιεῖν τὸν λέοντα. L 30 ἐύστιπτο ν: εὔστρεπτον, εὐπίλητον, παρὰ τὸ στείβω· ὅθεν καὶ στιβὰς καὶ στιβεῖς οἱ κναφεῖς.

127 32—34a λώπη ν: χλανίδα. ὁ δὲ λόγος· ὁ δὲ τὴν μέλαιναν καὶ διπλῆν χλανίδα σὺν αὐταῖς ταῖς περόναις ἀπέβαλεν. λώπην δὲ τὴν διφθέραν. καλαύροπα δὲ ποιμενικὴν ῥάβδον. καὶ τοῦτο δὲ διὰ τὸ σκληρὸν καὶ ἄγριον τοῦ ἀνδρός. b τὴν φορέεσκε ν: ἥντινα ἐβάσταζεν ἐκ κοτίνου οὖσαν, τουτέστιν ἀγριελαίου. ὀριτρεφέος δὲ τοῦ ἐν ὄρει τεθραμμένου κοτίνου. 35a ἑαδότα δέ φησι τὸν ἀρέσαντα τόπον. P b 〈 ἑαδότ α:〉 ἀρέσκοντα. S m 36 〈 ἷζο ν:〉 καθέζεσθαι ἐποίουν. S m 38—39a ὀλοοῖο Τυφωέο ς: διὰ τὸ τερατῶδες καὶ ἐκτράπελον τοῦ σώματος τοῦτό φησιν· ἐνομίζετο, φησίν, ἢ Τυφῶνος ἢ Γῆς υἱός, ἀντὶ τοῦ μέγας. ἔστι δὲ ἀπὸ ὀρθῆς τῆς Τυφωεύς. b πέλωρ δὲ λέγεται τὸ θηρίον καὶ τὸ ὑπερμέγεθες. P 40 χωομένη Δι ί: ἐπεὶ λέγεται ἡ Γῆ κατὰ ὀργήν, ὅτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς Τιτᾶνας κατεταρτάρωσεν ὁ Ζεύς, γεννῆσαι τοὺς Γίγαντας. 42 ἑσπερίην διὰ νύκτ α: ἀντὶ τοῦ κατὰ νύκτα, τουτέστι περὶ τὸν ἕσπερον. Ὅμηρος (Χ 318)· ‘ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ‘. ἀμαρυγαὶ δὲ αἱ ἀκτῖνες, αἱ λαμπηδόνες. 43 ἔτι χνοάοντας ἰούλου ς: τοὺς ἰούλους ὡς χνοῦν ἀναφύοντας ἔχων, τὰς ἐξανθήσεις τῶν γενείων. λέγεται δὲ ἴουλος καὶ θηρίον πολύπουν καὶ εἶδος ᾠδῆς, ὥς φησιν Ἐρατοσθένης (fg XII Hiller = 241 fg 36 J.). 44 τὸ δὲ ἀντέλλειν τὸ φύειν ἐνταῦθα ἐνεργητικῶς σημαίνει. P 45—47a πῆλε δὲ χεῖρα ς: οἷον· προσεπάλλετο διάπειραν τῶν χειρῶν ἑαυτοῦ ποιούμενος, εἰ ὡς πρὶν εὐκίνητοί εἰσι μηδ’ ἀπὸ τοῦ τῆς εἰρεσίας καμάτου δυσκινήτως ἔχοιεν.

128 L b τὸ δὲ πῆλε τὸ ἐκίνει σημαίνει καὶ πειράζειν τὸ δοκιμάζειν. P 48 οὐ μὰν αὖ τ ’ Ἄμυκ〈οσ〉 : οὐ μὴν ὁ Ἄμυκος διεπείρασεν ἑαυτοῦ. καὶ διὰ τούτου δὲ δηλοῖ τὸ ὑπερήφανον αὐτοῦ. 49 καὶ οἱ ὀρέχθε ι: ἐν ὀρέξει ἦν· νῦν δὲ ἀντὶ τοῦ ἐφώρμα καὶ ἐπεθύμει. σημαίνει δὲ ἡ λέξις καὶ τὸ ἔστενεν· ‘ὀρέχθεον ἀμφὶ σιδήρῳ (Ψ 30). 50 〈 κεδάσσα ι:〉 σκορπίσαι. L g 51 Λυκωρεύ ς: οὗτος ὑπὸ τοῦ ποιητοῦ πεποίηται, οὐκ ἐξ ἱστορίας παρείληπται. 52—53a ἱμάντα ς: τοὺς καλουμένους μύρμηκας. ἀζαλέους δὲ ἀντὶ τοῦ ξηρούς· ὅθεν τινὲς οὐκ ἀπὸ Ἀζᾶνος βασιλέως, ἀλλὰ διὰ τὸ τραχεῖαν εἶναι Ἀζανίαν φασὶ κληθῆναι τὴν Ἀρκαδίαν· τραχεῖα γάρ ἐστι καὶ ξηρά. b περὶ δ ’ οἵ γ ’ ἔσαν 〈ἐσκληῶτεσ〉 : περισσῶς κατεσκληκότες ἦσαν. ὅθεν καὶ σκέλος τὸ ἄσαρκον μέρος τοῦ σώματος, καὶ σκληφρὸς ἄνθρωπος ἀπὸ τούτου. 54 ὑπερφιάλοι ς: ὑπερηφάνοις. ἡ δὲ μεταφορὰ ἀπὸ τῆς φιάλης· τὸ γὰρ πληθύον αὐτῆς ὑπερφίαλον, ἀντὶ τοῦ ὑπέρμετρον. φιάλη δὲ εἶδος λεβητώδους ἀγγείου. 55—56a πάλου ἄτε ρ: χωρὶς κλήρου. καὶ διὰ τούτου δὲ πάλιν ὑπερήφανον δείκνυσι. τὸ δέ ἵνα μή μοι ἀτέμβηαι μετόπισθεν ὥσπερ ἤδη ἑαυτῷ πεπιστευκὼς τὴν νίκην. καὶ τοῦτο βάρβαρον. εἰ γὰρ ὁ κλῆρος τὴν στάσιν λύειν ἐπίσταται καὶ ἑκάστῳ τὰ ἴσα διδόναι, πῶς ἂν ὕστερον ἔμελλεν αὐτῷ ἀντιμάχεσθαι; μᾶλλον γὰρ νῦν ἐστασίασεν ἂν μὴ κληρωθείς.

129 b ἀτέμβηα ι: ἵνα μή μοι μέμψῃ ὕστερον ὡς χείρονας εἰληφώς. τὸ γὰρ ἀτέμβεσθαι οἱ νεώτεροι οὐκ ἐπὶ τοῦ στερίσκεσθαι ἤκουσαν, ἀλλ’ ἐπὶ τοῦ μέμφεσθαι. 60 παραβλήδη ν: παραβλητικῶς. L g (P) 62 ἀπροφάτω ς: ἀδιστάκτως, ἀδιακρίτως, μηδὲν πρὸς τὴν ἀναίρεσιν προφασισάμενος. L g P 64 παρηγορέοντε ς: ἀντὶ τοῦ προτρεπόμενοι. L g (P) 65 τὸ δὲ ᾔδειν ἀντὶ τοῦ πληθυντικοῦ κεῖται τοῦ ᾔδεσαν, ὡς καὶ τό ‘τῆς δ’ ἦν τρεῖς κεφαλαί‘ (Hes. Theog. 321). P 66 〈 κακῇ δήσαντες ἐν αἴσ ῃ:〉 ἐν κακῇ μοίρᾳ. L g 67 οἱ δ ’ ἐπεὶ οὖν ἱμᾶσι διασταδό ν: ἐν τῇ ἀπ’ ἀλλήλων διαστάσει παρεσκευάσαντο. L g (P) 68a 〈 ῥεθέω ν:〉 νῦν τῶν προσώπων. L g b ῥέθος δὲ ἅπαν μέλος, ἐνταῦθα δὲ τὸ πρόσωπον. P 70—74a ἅτε κῦμα θαλ〈άσσησ〉 : καθάπερ, φησί, κῦμα μετεωριζόμενον νηὶ προσπίπτει, τῇ δὲ ἐμπειρίᾳ τοῦ κυβερνήτου παρακλίναντος ἡ ναῦς διαφεύγει, οὕτω καὶ ὁ Ἄμυκος ἐπέκειτο μὲν ἐκφοβῶν αὐτόν, διεκκλινόμενος δὲ ἐκεῖνος ἄτρωτος ἦν. L b ἀλύσκε ι: ἐκφεύγει. διὰ δὲ τὴν τραχύτητα καὶ τὴν σφοδρὰν αὐτοῦ ὁρμὴν κύματι εἰκάζει τὸν Ἄμυκον, κυβερνήτῃ δὲ τεχνίτῃ τὸν Πολυδεύκην. c φοβέω ν: ταράσσων· τῇ ἀθρόᾳ κατ’ αὐτοῦ ὁρμῇ ἐμβραδύνειν οὐ συνεχώρει αὐτόν. 75—78a ἀίσσω ν: λείπει ἡ ὑπό, ἵνα ᾖ ὑπαΐσσων καὶ ὑποφεύγων τὸν Ἄμυκον τῇ ἑαυτοῦ τέχνῃ ἄπληκτος καὶ ἀβλαβὴς διέμεινεν. L b ἀπηνέα δ ’ αἶψα νοή〈σασ〉 : συνιδών, φησίν, ὁ Πολυδεύκης, ὅπου ἄπρακτος καὶ εὐεπιχείρητος ἦν, συνέμιξεν αὐτῷ τὰς χεῖρας ὑποστάς. c ᾗ κάρτος ἀάατος καὶ ἀρ〈είων〉 : ὁ Πολυδεύκης, φησί, παρετήρει τὸν Ἄμυκον, ὅπου ἄτρωτος τυγχάνει καὶ οὐκ εὐεπιχείρητός ἐστιν.

130 ἢ οὕτως· συνιδών, ἐν ᾧ ὑπερεῖχεν αὐτοῦ καὶ ἐν ᾧ καταδεέστερος ἦν, ὑποστὰς συνέμιξεν αὐτῷ τὰς χεῖρας. 〈...〉 θάρσος δὲ θράσους διαφέρει· θάρσος γὰρ τὸ εὔλογον, θράσος δὲ τὸ μετὰ ἰταμότητος. οὕτω καὶ Ἀρίστιππος ὁ φιλόσοφος. d 〈 ᾗ τε χερείω ν:〉 ἢ καὶ ἀρείω ν. L g 79—83a ὡς δ ’ ὅτε νήια δοῦρα θοοῖς ἀντίξοα γόμφοι ς: οὕτως ἀντεξυσμένα ἀλλήλοις, ὥστε, ἡνίκα συμβάλλονται ἐναντία, συναρμόζειν ἀλλήλοις. ἢ τὰ ἀντικείμενα τοῖς σφησίν· εἰς γὰρ τὰ πλάγια

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν σανίδων τιθέασι τοὺς σφῆνας πρὸς ἀσφάλειαν. ὑληουργοὶ δὲ ὑλοτόμοι καὶ τὰς ναῦς ἐργαζόμενοι. ὥσπερ δὲ ναυπηγήσιμα ξύλα συναρμόζοντες ξυλουργοὶ γόμφοις συνεχῶς ταῖς σφύραις τύπτουσιν, ἐγείρεται δὲ ἄλλος ἐξ ἄλλου ψόφος, οὕτως ὁ Ἄμυκος καὶ ὁ Πολυδεύκης ἀλλήλων ἔτυπτον τὰς σιαγόνας. b θοοῖ ς: ὀξέσι. 〈...〉. καὶ Ὅμηρος (ι 327)· ‘ἐγὼ δ’ ἐθόωσα παραστάσ‘. L m (P) c τὸ δὲ ἐπιβλήδην τὸ ἐπιβλητικῶς σημαίνει· ἐπιβάλλουσι γὰρ πρὸς ἄλληλα τὰ ξύλα οἱ ναυπηγοί. P d ἄητα ι: ἐξηχεῖται, ἀκούεται· L g P e ἄδην δὲ ἀντὶ τοῦ συνεχῶς ἢ ἀκορέστως. P f βρυχὴ δέ ἐστιν ὁ τῶν ὀδόντων ἦχος. P 84a 〈 ἐπισταδὸν οὐτάζοντε ς:〉 ἐν τῷ συνεστάναι πλήσσοντες.

131 L g b τὸ ἐπισταδὸν ἀντὶ τοῦ ἐπιστατικῶς καὶ ἀμετακινήτως. P 88—89a φορβάδος ἀμφὶ βοό ς: ὑπὲρ νομάδος καὶ εὐτραφοῦς βοός. 〈...〉 ἵνα τὸ τῆς κατανομῆς ὄνομα πλέον καὶ μεῖζον τῇ βοΐ δοίη τὸ σῶμα καὶ τὸ κάλλος. Ἀντίπατρος ἐν τῷ Περὶ ζῴων φησὶ τὸν ἀλκιμώτατον ἐν τῇ ἀγέλῃ ταῦρον μίγνυσθαι πάσαις ταῖς βουσίν, μὴ ἐπιτρέπειν δὲ ἑτέρῳ· ἐὰν δέ τις πεποιθὼς τῇ ἰδίᾳ δυνάμει ἀνθίστηται αὐτῷ καὶ καταγωνίσηται, τοῦτον τοῦ λοιποῦ πλησιάζειν ταῖς βουσίν. b φορβάδο ς: ἀγελάδος. L g (P) 90—93 ἀερθεὶς βουτύπος οἷα πόδ〈εσσι 〉: ἐπαρθείς. ἐπ’ ἄκρων τῶν ποδῶν, φησί, σταθεὶς καὶ ἐκτείνας ἑαυτὸν ὡς βουτύπος τὴν χεῖρα ἑαυτοῦ κατέφερεν· ἐπιόντος δὲ αὐτοῦ ὁ Πολυδεύκης ὑπέστη καὶ παρακλίνας τὴν κεφαλὴν τῷ ὤμῳ αὐτοῦ ἐδέξατο τὸν πῆχυν. βουτύπος δέ ἐστιν ὁ τοὺς θυομένους βοῦς τῷ πελέκει τύπτων κατὰ τοῦ αὐχένος· οὗτος δὲ ἐπ’ ἄκροις τοῖς ὄνυξιν ἵσταται μέλλων κρούειν. 94—95a ὁ δ’ ἄγ χ ’ αὐτοῖ ο: ἐγγὺς δὲ αὐτοῦ προβαίνων καὶ μεταφέρων τὰ σκέλη ἔτυψεν αὐτὸν πρὸς τὸ οὖς. b τὸ δέ παρὲκ γόνυ γουνὸς ἀμείβων Ὁμηρικόν (Λ 547). P c μεταΐγδη ν: ὁρμητικῶς. L g P 96—97a ὁ δ ’ ἄ μ ’ ὀδύ〈νῃ 〉: ὁ δὲ Ἄμυκος ὑπὸ τῆς ἀλγηδόνος κατενεχθεὶς εἰς τὴν γῆν ἀπώλετο. b 〈 γνύ ξ:〉 ἐπὶ γόνυ. c τοῦ δ ’ ἀθρόος ἔκχυτο θυμό ς: ἀντὶ τοῦ ταχέως ἐξέπνευσεν. L g P 98—100a οὐ δ ’ ἄρα Βέβρυκε ς: Ἀπολλώνιος μὲν ἐμφαίνει ὡς ἀνῃρημένον τὸν Ἄμυκον· Ἐπίχαρμος (fg 7 Kaibel) δὲ καὶ Πείσανδρός (16 fg 5 J.

132 ) φασιν, ὅτι ἔδησεν αὐτὸν ὁ Πολυδεύκης. Δηίοχος δὲ ἐν α′ Περὶ Κυζίκου (fg 9 M. II 19) καταπυκτευθῆναί φησιν αὐτὸν ὑπὸ Πολυδεύκους. οὐκ ἠμέλησαν δέ, φησίν, οὐδὲ κατεφρόνησαν τοῦ Ἀμύκου πεπτωκότος, διὰ δὲ τὸ βάρβαρον ἑαυτῶν καὶ πόλεμον ἤγειραν. ἀζηχέας δὲ τὰς ξηράς, τὰς ἐχούσας ξηρὸν ἦχον. σιγύννους δὲ καλοῦσιν οἱ Κύπριοι τὰ ἀκόντια. b σιγύννου ς: ἀκόντια ὁλοσίδηρα. L g G m S m (P) c ἀντιαάσκο ν: ἀπήντων ἰθὺς Πολυδεύκους. L g (P) 105—06 αὐτὸς δ ’ Ἰτυμονῆ α: ὁ δὲ Πολυδεύκης λὰξ ἐπορούσας ἔπληξεν. λέγεται δὲ λὰξ ὁ ὑπὸ τῶν δακτύλων τοῦ ποδὸς ψόφος. ἢ οὕτω· κυρίως τὸ ὑποκάτω τῶν τοῦ ποδὸς δακτύλων λὰξ καλεῖται. οὕτως ἀποδέδωκεν καὶ παρὰ τῷ ποιητῇ Ποσειδώνιος (Bake 234) ‘λὰξ ποδὶ κινήσασ‘ (Κ 158). 110 Ὠρείδης δ ’ Ἀμύκ〈οιο 〉: διὰ τῆς ει διφθόγγου ἡ παραλήγουσα· οὕτως Ἡρωδιανὸς ἐν τῷ γ′ τῆς Καθόλου (I 67, 8 L.

133 ). 112—13 ὅσον δ ’ ἐπὶ δέρμα 〈τι 〉: μέχρις 〈τοῦ δέρματοσ〉. ὅσον ἀντὶ τοῦ ὀλίγον. δι’ αὐτῆς τῆς ἐπιφανείας ἦλθεν ὁ σίδηρος ὑπ’ αὐτὸν τὸν κατὰ τὴν ζώνην τόπον, ἀλλ’ ἐπὶ τῷ δέρματι μόνον, ὥστε τῶν ἐντοσθιδίων μὴ ψαῦσαι. 114a αὔτω ς: ὁμοίως. L g G g P b μενεδήιον τὸν Ἴφιτον λέγει ὡς ἐμμενετικὸν ἐν τῷ πολέμῳ· δηὶς γὰρ ὁ πόλεμος καὶ ἡ μάχη. P 115 ἀζαλέ η: τῇ ξηρᾷ, ἐπεί ἐστι ξυλίνη. Ὅμηρος δὲ καὶ σιδηρᾶν οἶδεν (Η 141)· ‘ἀλλὰ σιδηρείῃ κορύνῃ‘. τινὲς δὲ ἀποδεδώκασι ‘σιδηρείῃ‘ τῇ εὐτόνῳ, ὥσπερ καί (Ρ 424) ‘σιδήρειος δ’ ὀρυμαγδὸς ὀρώρει‘. 116—18 οὔπω κηρὶ κακ ῇ: οὔπω πεπρωμένον ἀποθανεῖν. ὁ δὲ Κλυτίος υἱὸς ἦν Εὐρύτου, ἀδελφὸς Ἰφίτου. δῃώσεσθαι δὲ φονευθήσεσθαι. ὁ δὲ Ἀγκαῖος Ἀρκὰς τὸ γένος ἐστί, φησὶ δὲ αὐτὸν ὡπλίσθαι πελέκει καὶ ἄρκτου δορᾷ. τὸ δὲ θρασὺς ἐπ’ ἀγαθοῦ νῦν, οὐκ ἐπ’ ἰταμότητος. 119 τεταγώ ν: ἐκτείνας, ἀκοντίσας. L gr( P) 120 προσχόμενο ς: προβαλόμενος ἀντὶ ἀσπίδος. L g P 121 ὁμοῦ δέ οἱ ἐσσεύοντ ο: τὸ ὁμοῦ καὶ ἐπὶ τοῦ ἀθροίσματος τιθέασι καὶ ἐπὶ τοῦ ἐγγύς, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀθηναῖοι εἰώθασι χρῆσθαι. Μένανδρος (fg 851 K. III 227)· ‘ὁμοῦ δὲ τῷ τίκτειν παρεγένεθ’ ἡ κόρη‘ ἀντὶ τοῦ ἐγγύς. 123—29a ὡς δ ’ ὅ τ ’ ἐνὶ σταθμοῖ 〈σιν 〉 : ὥσπερ δὲ ἀφυλάκτῳ ποιμνίῳ ἐπελθόντες λύκοι ἀποροῦσι, ποῖον πρῶτον ἁρπάσωσιν, οὕτω καὶ οἱ ἀριστεῖς τοὺς Βέβρυκας ἐτρέψαντο.

134 ὁμοία δὲ ταύτῃ καὶ παρ’ Ὁμήρῳ παραβολή (Π 352 sq.)· ‘ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισιν σίνται.‘ ἀπείρονα μὲν οὖν φησι τὰ πολλά. πολιοὶ δὲ ἤτοι ὑπότεφροι ἢ ἔντιμοι. τίμιον γὰρ τὸ ζῷον παρ’ Ἀθηναίοις· ὁ γὰρ ἀποκτείνας λύκον ἀγείρει αὐτῷ τὰ πρὸς τὴν ταφήν. καὶ ἴσως, ἐπεὶ ἡ Λητὼ ἔγκυος οὖσα διὰ ιβ′ ἡμερῶν εἰς Δῆλον ἦλθε μεταβαλοῦσα εἰς λύκον, διόπερ κατά τινα ὡρισμένον χρόνον τοῦ ἐνιαυτοῦ τίκτει πᾶσα λύκαινα ἐν ιβ′ ἡμέραις, ὡς Φιλοστέφανός φησιν ἐν τοῖς Ὑπομνήμασιν (fg 32 M. III 33). b λάθρη ἐυρρίνω ν: τοῦτό φησιν, ὅτι διὰ τὸ ψῦχος καταδύνουσιν εἰς τὰς ἐπαύλεις οἵ τε ποιμένες καὶ οἱ κύνες· εἶτα οὕτως ἀφύλακτα σίνονται τὰ πρόβατα. ἐυρρίνων δὲ ἤτοι εὐδερμάτων— ῥινὸς γὰρ τὸ δέρμα—ἢ 〈...〉 κυρίως διὰ τὸ ταῖς ῥισὶν ἰχνεύειν τὰ θηρία· διὸ καὶ παρατηροῦσιν οἱ κυνηγοὶ πρὸ ἡμέρας ἐξάγειν τοὺς κύνας ἐπὶ θήραν, ἵνα πρὶν ἥλιον ἐπιτεῖλαι εὐχερῶς ἰχνηλατῶσι ταῖς ῥισίν. c. 〈 ἐυρρίνω ν:〉 εὐαισθήτων, εὐοσφρήτων. L g d μαίοντα ι: ἐπιζητοῦσι. L g P e πόλ λ ’ ἐπιπαμφαλό 〈ωντεσ 〉 : πολλὰ ἐπιβλέποντες καὶ μετ’ ἐνθουσιασμοῦ· παμφαλᾶν γὰρ τὸ μετὰ πτοιήσεως ἐπιβλέπειν.

135 κέχρηται δὲ τῇ λέξει καὶ Ἱππῶναξ (fg 131 B. II 498) καὶ Ἀνακρέων (fg 160 B. III 293). λέγει δὲ καὶ Ἐρύκιος· ‘πάντοσε παμφαλόωντες ἐδινήσαντο πόδεσσι.‘ παραιτητέον δὲ Εἰρηναῖον (fg 19 Haupt Opusc. II 439 ) ἀμφαφόωντες γράφοντα καὶ ἐξηγούμενον κτείνοντες. οὔτε γὰρ κέχρηταί τις οὕτως τῇ λέξει οὔτε ἐστὶν ἁπαξαπλῶς ἡ γραφὴ τοῦ ποιητοῦ. f περὶ σφίσι ν: ἔδει εἰπεῖν περὶ ἀλλήλοις πίπτοντα· οὐ γὰρ περὶ ἑαυτά. τὸ δὲ ἁμάρτημα τῶν μεθ’ Ὅμηρον. L g P 130—31a ὡς δὲ μελισσάων σμῆ 〈νοσ 〉 : ὅτι τὸν καπνὸν φεύγουσιν αἱ μέλισσαι διὰ τὸ στενόπορον εἶναι αὐτῶν τὴν ὄσφρησιν· ὅπερ καὶ ἐπὶ τῶν ὄφεων συμβαίνει θυμιωμένου τοῦ ἐλαφείου κέρως, ὥς φησι Νίκανδρος (Ther. 35 sq.). σμῆνος δέ ἐστι τὸ τῶν μελισσῶν πλῆθος. b δίκην μελισσῶν, φησίν, ἔφευγον, αἵτινες καπνισθεῖσαι ἀφίπτανται. L g (P) c 〈 μηλοβοτῆρε ς:〉 βοσκοί. L g d μελισσοκόμο ι: μελισσουργοί. L g P 132—34a βομβηδὸν δὲ ἀντὶ τοῦ μετὰ ἤχου καὶ βόμβου. βόμβος δέ ἐστιν ὁ τῶν μελισσῶν ἦχος, ἔνιοι δὲ τῆς βοξύνου μελίττης λεγομένης. b λιγνυόεντ ι: τῷ αἰθαλώδει. ὁ δὲ λόγος· ἐπιπλέον δὲ τῷ λιγνυώδει καὶ σποδώδει καπνῷ καπνιζόμεναι ὑποχωροῦσι τῶν σίμβλων. σίμβλος δέ ἐστιν, εἰς ὃ τὰ κηρία συνάγεται ἀγγεῖον, ἡ κυψέλη. c καπνῷ τυφόμενα ι: ἀντὶ τοῦ καπνιζόμεναι· σημαίνει δὲ καὶ τὸ καιόμεναι.

136 εἰώθασι δὲ καπνίζειν κόνυζαν· δριμὺς γὰρ μάλιστα ὁ ταύτης καπνός. 138—39a ἠμὲν ἀλωα ί: αἱ ἀμπελόφυτοι χῶραι. οἷαι δὲ αἱ κῶμαι, διὰ τὸ ἐν αὐταῖς τὰ πρόβατα καὶ τὰ ἄλλα βοτὰ νέμεσθαι. b 〈 τῆμο ς:〉 τηνικαῦτα. L g c Λύκος βασιλεὺς Μαριανδυνῶν. L g (P) 140a καὶ Μαριανδυνῶ ν: Φινέως παῖδες ἐκ μὲν Κλεοπάτρας Παρθένιος καὶ Κάραμβις, ἐκ δὲ Ἰδαίας τῆς Δαρδάνου ἢ Σκυθικῆς τινος παλλακίδος Θυνὸς καὶ Μαριανδυνός, ἐξ ὧν τὰ ἔθνη κέκληνται. οἱ δέ φασι κεκλῆσθαι τοὺς Μαριανδυνοὺς ἀπὸ Μαριανδυνοῦ υἱοῦ Κιμμερίου. b ἀπεόντος ἄνακτο ς: τοῦ Ἀμύκου ἀπόντος, δηλονότι τεθνηκότος. οἱ δὲ Μαριανδυνοὶ ἔθνος ὁμοροῦν αὐτοῖς. 141 σιδηροφόρου περὶ γαίη ς: τῆς τῶν Χαλύβων· εἰσὶ δὲ οὗτοι οἱ τὸν σίδηρον ἐργαζόμενοι. 142—43a οἳ δ ’ ἤδη σταθμούς τ ε: οἱ δὲ Ἀργοναῦται τῶν Βεβρύκων πεφευγότων τὰς παρὰ θάλασσαν ἐπαύλεις ἐπόρθουν· ἤδη δὲ καὶ τῶν θρεμμάτων πολλὰ περιεληλακότες ἀπετέμοντο. b περιτροπάδη ν: περιτρέποντες ὡς ἐπὶ τὴν ναῦν ἐλαύνοντες. L g (P) 145—50a φράζεο θ ’ ὅττι κε ν: ὁ νοῦς· καὶ τί ἂν ἐποίησαν οἱ Βέβρυκες, εἰ καὶ ὁ Ἡρακλῆς μεθ’ ἡμῶν ἐληλύθει, οἷον· πῶς ἔφυγον καὶ ἡττήθησαν; οἶμαι γάρ, ὅτι οὐδὲ ἀγὼν ἂν τῆς πυγμαχίας ἐγένετο, ἀλλὰ προκαλούμενον τὸν Ἄμυκον τότε οἷς συνετίθει νόμοις ἡμῖν τῷ ῥοπάλῳ πλήξας ἀνήρηκεν. L b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δὲ κριθήμεναι ἀντὶ τοῦ διαχωρισθῆναι. P c 〈 αὐτοῖ ς:〉 λείπει ἡ σύν. L g 151—53 ναὶ μὲν ἀκήδεστο ν: ὁ νοῦς· ἐκεῖνον μέντοι ἀφροντίστως καταλιπόντες—τουτέστι τὸν Ἡρακλέα—ἐπ' ἀλλοτρίας ἐπλεύσαμεν. ἐκείνου δὲ ἀπόντος ἕκαστος ἡμῶν αἰσθήσεται ὅσον βεβλάμμεθα. 154 〈 τάδε πάντ α:〉 τὸ ἀπολειφθῆναι τὸν Ἡρακλέα.

137 L g 156 οὐταμένω ν: τοῦ Ἰφίτου καὶ τοῦ Ταλαοῦ. L g (P) 159—60a ἐρεψάμενοι δάφν ῃ: δάφνῃ ἐστέψαντο δι' Ἀπόλλωνα. ἐχρῶντο δὲ τῇ στέψει τριχῶς—ἐπὶ τῆς κεφαλῆς, ἐπὶ τοῦ μετώπου, ἐπὶ τοῦ τραχήλου τιθέμενοι τοὺς στεφάνους—διὰ τὸ τὴν ψυχὴν τριμερῆ εἶναι. b ξανθὰ δ ' ἐρεψά 〈μενο ι:〉 στεψάμενοι δὲ ὑπεράνω τῶν μετώπων δάφνῃ τὰς κεφαλάς, ἐξ ἧς δάφνης ἀνημμένα ἦν τὰ σχοινία τῆς νεώς. οὐ ποιητικῶς δὲ ἀνέπλασε τὴν δάφνην ὁ Ἀπολλώνιος, ἀλλ' ἔστιν ὄντως ἐν τῷ τόπῳ δένδρον δάφνης εὐμέγεθες, ὥς φησιν Ἀνδροίτας ὁ Τενέδιος ἐν τῷ Περίπλῳ τῆς Προποντίδος (M. IV 304), παριστορῶν, ὅτι Ἄμυκος μὲν καλεῖται τὸ χωρίον, ἔχει δὲ ἐποίκια καὶ νῦν, διέστηκε δὲ τοῦ Χαλκηδονίου νυμφαίου σταδίους ε'. Ἀπολλόδωρος δὲ ἐν τῷ πρώτῳ τῶν Ποντικῶν (M. IV 309) ἡρῷον αὐτόθι φησὶν εἶναι Ἀμύκου, καὶ εἴ τις ἐκ τῆς δάφνης κλάδον λάβοι, εἰς λοιδορίαν ἀνίστησι. 161 συνοίμιο ν: συνῴδιον· οἴμη γὰρ ἡ ᾠδή. L g (P) 162—63 περὶ δέ σφιν ἰαίνετ ο: διεχέετο ἡ ἀκτή. καθ' ὑπερβολήν, καθὸ μυθεύεται ὁ Ὀρφεὺς κηλεῖν καὶ τὰ ἄψυχα. ᾖδον δὲ ἐπινίκιον τῷ Ἀπόλλωνι. Θεραπναῖον δὲ ἀπὸ μέρους τὸν Λάκωνα. Θεράπναι γὰρ τόπος τῆς Σπάρτης· οἱ δὲ πόλιν, οἱ δὲ Ἀπόλλωνος τόπον ἱερόν. 165 ἐκ περάτω ν: ἐκ τοῦ ὑπερορίζοντος ἡμισφαιρίου.

138 L g (P) 168a ἀνὰ Βόσπορον ἰθύνοντ ο: τὸ ἀπὸ Βυζαντίου κατὰ Καλχηδόνος διάστημα σταδίων ἐστὶν ..., καὶ Βόσπορος ὀνομάζεται διὰ τὸ δοκεῖν τὴν Ἰὼ βοῦν οὖσαν διαπορεύεσθαι τοῦτον τὸν τόπον, ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην διαβαίνουσαν, ἢ διὰ τὸ πάντας τοὺς στενοὺς πορθμοὺς βοσπόρους καλεῖσθαι. ἔνιοι δέ φασι τοὺς ἐπὶ τοῦ στόματος οἰκοῦντας τὸ παλαιόν, εἴποτε ἐθέλοιεν εἰς τὸ πέραν διαβαίνειν, σχεδίας πηγνύντας καὶ βόας ἐπιζεύξαντας ἐπὶ τούτων διαπεραιοῦσθαι, ὅθεν καὶ ὠνομάσθαι τὴν θάλασσαν. ἔστι δὲ καὶ ἕτερος Βόσπορος, τῆς Σκυθικῆς, Κιμμερικὸς προσαγορευόμενος διὰ τὸ Κιμμερίους ἔθνος Σκυθικὸν περὶ ἐκείνους οἰκῆσαι τοὺς τόπους. οἱ δέ φασι στόμα τῆς Μαιώτιδος λίμνης 〈...〉 στενὸς καὶ ἐπιμήκης, ἐμφερὴς τῷ κατὰ τὸ Βυζάντιον Βοσπόρῳ. b περὶ τοῦ Βοσπόρου 〈ἡ〉 ἱστορία παρὰ τοῖς παλαιοῖς διαφόρως λέγεται. Νύμφις (fg 18 M. III 16) μὲν γάρ φησιν ἱστορεῖν Ἀκαρίωνα, ὡς ἄρα Φρύγες διαπλεῦσαι βουλόμενοι τὸν πορθμὸν κατεσκεύασαν ναῦν ἔχουσαν ἐγκεχαραγμένην προτομὴν ταύρου—καθὼς ὁ Φρίξος ἐπὶ κριοπρώρου σκάφους ἔπλευσεν—, διαπλευσάντων δὲ αὐτῶν ἀπὸ τοῦ εἴδους τοῦ περὶ τὸ σκάφος προσαγορευθῆναι τὸ πέλαγος Βόσπορον.

139 Ἔφορος (70 fg 156 J.) δέ φησιν ἡρπάσθαι τὴν Ἰὼ ὑπὸ Φοινίκων καὶ διακομισθῆναι εἰς Αἴγυπτον· ἀνθ' ἧς τὸν βασιλέα τῶν Αἰγυπτίων πέμψαι Ἰνάχῳ ταῦρον, τὸν δὲ τόπον προσηγορεῦσθαι, δι' οὗ οἱ τὸν ταῦρον ἔχοντες ἔπλευσαν, Βόσπορον· τετελευτηκότος δὲ ἐκείνου περιιέναι αὐτοὺς παραδεικνύντας τὸν ταῦρον πᾶσι, καθὸ πρότερον οὐκ ἐγίνωσκον τὸ ζῷον. δύο δέ εἰσι Βόσποροι, Κιμμέριος καὶ Θρᾴκιος ὁ πάλαι Μύσιος καλούμενος. 169 ἠλιβάτ ω: οὗ ἀλιτεῖν ἔστι τῆς βάσεως, τουτέστι ὑψηλῷ καὶ ἀπροσβάτῳ. L g (P) 170 ἐπαΐσσοντ ι: ἀντὶ τοῦ ἐπενεχθησομένῳ. L g (P) 173—74 ἀλλὰ τό γ ' ἔμπη ς: ἀλλὰ καίπερ οὕτω μέγα καὶ λάβρον ὑπάρχον τὸ κῦμα ὁμαλίζεται, εἰ ἀγαθοῦ κυβερνήτου τύχοι. 177 ἀντιπέρην γαίῃ Θυνηίδ ι: διτταί εἰσι Θυνίαι, ἡ μὲν ἐπὶ τῆς Εὐρώπης, ἡ δὲ ἐπὶ τῆς Ἀσίας, καὶ ἡ μὲν ἐπὶ τῆς Εὐρώπης περὶ Σαλμυδησσὸν κεῖται [ἐπὶ] τῆς Θρᾴκης, ἡ δὲ ἑτέρα καθήκει ἐπὶ τὸν Βόσπορον καὶ ἐπὶ τὸ στόμα τοῦ Πόντου. [ἔστι δὲ καὶ τρίτη Θυνία, νῆσος περὶ τὸν Πόντον.] ἔστι δὲ ἀμφίβολον, εἰς ποτέραν Θυνίαν φησίν, ἀμφοτέρων οὐσῶν ἐπὶ τῷ πέραν. ἄμεινον οὖν τὴν περὶ τὴν Εὐρώπην Θυνίαν λέγειν· τῇ γὰρ ἐπιούσῃ, φησίν, ἡμέρᾳ ἐν τῇ Θυνίᾳ τὰ ἀπόγεια ἔδησαν 〈...〉 , ὡς δῆλον, ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην. καὶ γὰρ ὁ Φινεύς, ὡς οἱ πλεῖστοι, ἐπὶ τοῦ Σαλμυδησσοῦ λέγεται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ᾠκηκέναι, ὅς ἐστι τῆς Θρᾴκης κατὰ τὰ ἀριστερὰ μέρη τὸν Πόντον εἰσπλέοντι. ἔστι δὲ καὶ τρίτη Θυνία, νῆσος περὶ τὸν Πόντον, ἐν ᾗ ἐστιν Ἀπόλλωνος ἱερόν. 178—82a Ἀγηνορίδης ἔχ ε: Ἀγήνορος γὰρ παῖς ἐστιν, ὡς Ἑλλάνικος (4 fg 95 J.

140 )· ὡς δὲ Ἡσίοδός (fg 31 Rz. 2 ) φησιν, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας. ὁμοίως δὲ καὶ Ἀσκληπιάδης (12 fg 22 J.) καὶ Ἀντίμαχος (fg 14 B. II 291) καὶ Φερεκύδης (3 fg 86 J.) φασίν. ἐκ δὲ Κασσιεπείας τῆς Ἀράβου Φοίνικι γίνεται Κίλιξ καὶ Φινεὺς καὶ Δόρυκλος καὶ Ἄτυμνος ἐπίκλησιν· γίνεται δὲ ἐκ Διὸς Ἄτυμνος. b 〈 ἔνθ α:〉 οὐκ ἐν τῇ περὶ 〈Ἀσίαν〉 Θυνίᾳ, ἀλλ' ἐν τῇ πέραν [τῆς Θρᾴκης], ἥτις ἐστὶ τῆς Εὐρώπης, ὡς ἀποδέδεικται (sch. 177). ἔνιοι δὲ αὐτὸν ἐν τῇ Παφλαγονίᾳ βασιλεῦσαι ἱστοροῦσιν, ἥτις ἐστὶ τῆς Ἀσίας. Ἀγηνορίδην δὲ εἶπε τὸν Φινέα, καθὸ Ἀγήνορός ἐστι παῖς, ὥς φησιν Ἑλλάνικος (v. sch. a )· ὁ δὲ Ἡσίοδος (v. sch. a ) τοῦ Φοίνικος αὐτόν φησι τοῦ Ἀγήνορος. πηρωθῆναι δὲ λέγουσι τὸν Φινέα ὑπὸ Ἡλίου, ὅτι πολυχρόνιος εἵλετο μᾶλλον εἶναι ἢ βλέπειν. ἔνιοι μὲν τοσαύτας ἐζηκέναι γενεὰς ἀπίθανον εἶναί φασιν, πλείους δὲ αὐτοὺς γεγονέναι, καὶ ἕτερον τὸν Φινέα ἕβδομον ἀπόγονον εἶναι τοῦ Φοίνικος, πρὸς ὃν ἀπήντησαν 〈οἱ〉 ἥρωες. πηρωθῆναι δὲ αὐτόν, ὅτι ἐπεβούλευσε Περσεῖ.

141 Σοφοκλῆς (fg 704 Pearson) δέ, ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσε, Παρθένιον καὶ Κάραμβιν, πεισθεὶς διαβολαῖς Ἰδαίας τῆς αὐτῶν μητρυιᾶς. ὁ δὲ Ἀπολλώνιός φησι πηρωθῆναι αὐτὸν καὶ πρὸς τῶν Ἁρπυιῶν κακῶς πάσχειν, ὅτι ἀνέδην πᾶσι καὶ διαρρήδην ἐμαντεύετο· φησὶ γάρ οὐ δ ' ὅσον ὀπίζετο καὶ Διὸς αὐτο ῦ. c οὐ δ ' ὅσσον ὀπίζετ ο: οὐδὲ ἐλάχιστον τοῦ Διὸς αὐτοῦ ἐπεστρέφετο, τὰ θεῖα ἐνθυμήματα πᾶσιν ἐμφαίνων. λέγων γὰρ πάντα τὸν νοῦν τοῖς ἀνθρώποις, οὐδεμίαν χρείαν αὐτοῖς τῶν θεῶν κατελίμπανεν. ὅτι δὲ ἦρχεν ὁ Φινεὺς μέχρι τοῦ Βοσπόρου Θρᾳκῶν πάντων τῶν ἐν τῇ Ἀσίᾳ—εἰσὶ δὲ οὗτοι Βιθυνοί τε καὶ Παφλαγόνες—Φερεκύδης ἐν τῇ ϛ' (3 fg 27 J.) φησί. πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν Μεγάλαις Ἠοίαις (fg 151 Rz. 2 ), ὅτι Φρίξῳ τὴν ὁδὸν ἐμήνυσεν, ἐν δὲ τῷ γ' τῶν Καταλόγων (fg 52 Rz. 2 ), ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινεν. παῖδας δὲ αὐτοῦ φασι γενέσθαι Μαριανδυνὸν καὶ Θυνόν, καὶ ἀπὸ μὲν Θυνοῦ Θυνηίδα, ἀπὸ δὲ Μαριανδυνοῦ Μαριανδυνίαν προσαγορευθῆναι λέγουσιν. 185 ὀνείασι ν: σιτίοις, βρώμασιν. L g (P) 191 μυδαλέη ν: μυσαράν. L g P 192 μὴ καὶ λευκανίην γ〈ε 〉 : οἱ μὲν τὸ ἀπηρτημένον τοῦ γαργαρεῶνος, Ἀμερίας δὲ τὸν λαιμὸν καὶ τὸν βρόγχον. 195—96a ἐπήισε ν: ᾔσθετο. L g P b ὧν οἱ ἰόντω ν: ὧν ἐλθόντων εἵμαρτο αὐτῷ ἐκ Διὸς ὄνασθαι τῶν ἐδεσμάτων, ὧν προσφέροιτο. 197 ἀκήριο ν: ὡς ἄψυχον ὀνειράτιον διὰ τὸ καταλελεπτύνθαι ὑπὸ τῆς νόσου.

142 198 ῥικνοῖ ς: ῥυσοῖς. L g P 200—01a πίνῳ τέ ο ἰ: τῷ δὲ ῥύπῳ ὁ κατεσκληκὼς αὐτοῦ χρὼς ἐρρυπαίνετο. b τὸ δέρμα ἐντὸς μόνον τὰ ὀστέα συνεῖχεν. L g 203—04 κάρο ς: κάρος δὲ αὐτὸν κατέσχεν, τουτέστι σκότωσις. τὴν δὲ γῆν διὰ τὴν σκοτοδινίαν ᾠήθη φέρεσθαι, ὡσεὶ εἶπεν, ὅτι ᾠήθη τὴν γῆν ἐπικεῖσθαι ἑαυτῷ. 205 ἀβληχρ ῷ: ἀσθενοποιῷ ἢ ἀσθενεῖ, κατὰ στέρησιν τοῦ βληχροῦ. ὁ δὲ νοῦς· ὑπὸ τῆς λεπτῆς ἐκείνης διὰ τὴν σκότωσιν καταφορᾶς ἔκειτο ἄφωνος. κώματι δὲ ὕπνῳ, ἐκλύσει· καὶ ἔστι κατὰ συγκοπὴν ἀπὸ τοῦ κοίμημα—ὡς οἴμημα οἶμα καὶ δόμημα δῶμα—καὶ τροπῇ τῆς οι διφθόγγου εἰς ω κῶμα. 206—08a περισταδό ν: ἀντὶ τοῦ περιέστησαν συναθροισθέντες ἐπ' αὐτόν. καὶ ἔταφον ἀντὶ τοῦ ἐξεπλάγησαν. b ἐξ ὑπάτοιο στήθεο ς: οἷον ἐξ ἄκρου καὶ οὐκ ἐκ βάθους, διὰ τὴν ἀσθένειαν ἀναπνεῖν τε καὶ λαλεῖν οὐ δυνάμενος. τὸ δὲ μόλις οὐδὲν ἕτερον ἢ τὸ τῆς νόσου σφοδρὸν καὶ μέγα αἰνίττεται. Διονύσιος δὲ ἐν τοῖς Ἀργοναύταις (32 fg 5 J.) φησὶν ἀναιρεθῆναι τὸν Φινέα ὑπὸ Ἡρακλέους ἰδόντος τοὺς παῖδας ἐν ἐρημίᾳ καὶ μαθόντος, ὅτι ὑπὸ Φινέως ἦσαν ἐκβεβλημένοι κατὰ διαβολὴν Σκυθικῆς γυναικός, ἣν γεγαμήκει ὁ Φινεὺς παραιτησάμενος Κλεοπάτραν· γεγόνει δὲ τοῦ Φινέως καὶ πρεσβῦτις κατήγορος παρὰ τῷ Ἡρακλεῖ.

143

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διόπερ Ἡρακλῆς ἀναιτίους εὑρὼν τοὺς παῖδας κατήγαγεν εἰς τὴν πατρῴαν οἰκίαν, Φινέα δὲ ἀνιστάμενον καὶ θελήσαντα καταποντίσαι τὸν ἕτερον τῶν παίδων λακτίσας ὁ Ἡρακλῆς ἀπέκτεινεν. Ἴστρος (fg 60 a M. I 426) δέ φησι τὸν Αἰήτην γνόντα, ὅτι τοὺς Φρίξου υἱοὺς εἴη σεσωκὼς ταῖς μαντείαις, καταράσασθαι αὐτῷ, τὸν δὲ Ἥλιον ἐπακούσαντα πηρῶσαι. 212—14a ὑμεῖς ἀτρεκέω ς: λείπει τὸ ἐστέ. ὁ δὲ λόγος· ἔτι μοι ὁ νοῦς διὰ τῆς ἐμῆς μαντείας ἕκαστα οἶδεν. διὰ δὲ τούτου οὐδὲν ἕτερον ἢ τὴν τέχνην ἐπαγγελλόμενος λεληθότως αὐτοὺς εἰς συμμαχίαν παρακαλεῖ. b χάριν νύ τοι ὧ ἄν α: ἀναφέρω σοι χάριν καίπερ ὢν ἐν κακοῖς. 215—216a ὅτις ῥίγιστο ς: ὅστις φοβερός ἐστι τοῖς ἁμαρτάνουσιν εἰς ἱκέτας. κυρίως δὲ πρὸς τὰ ὑποκείμενα οὐ Ξενίου Διός, ἀλλ' Ἱκεσίου μέμνηται, ἐπεὶ καὶ αὐτὸς ὡς ἱκέτης ἐστὶ τῶν ἡρώων διὰ τὴν κατεπείγουσαν χρείαν. b Φοίβου τ ' ἀμφ ί: τοῦτο ἢ ὡς μάντις ἢ ὡς αἴτιον τοῦ πλοῦ τὸν θεὸν γεγονότα φησίν. 218 χραίσμετέ μο ι: βοηθεῖτέ μοι. οἱ γὰρ Κλειτόριοι χραισμεῖν λέγουσι τὸ ἐπαρκεῖν. ἀπὸ βαρυτόνου δὲ κέκλικε τοῦ χραίσμω, ὡς βαίνω βαίνετε· τὸ γὰρ περισπώμενον χραισμεῖτε. 221 ἀμήρυτο ν: γράφεται καὶ ἀμήρυον, τουτέστιν ἀτέλεστον καὶ διηνεκῶς ἐπιμένον, ἀπέραντον.

144 ἢ τὸ τέλος μὴ ἔχον· λέγει δὲ τὸ θάνατον μὴ ἔχον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μηρυομένων ἐρίων. 222—24a πρὸς δ ' ἔτι πικρότ〈ατον〉. πλέον τὸ πάθος ποιῆσαι βουλόμενος, ἀπ' αὐτοῦ τοῦ πάθους ἤρξατο. ὁ δὲ νοῦς· πρὸς δὲ τοῖς ἄλλοις κακοῖς πικρότατον ἄλλο ἐπ' ἄλλῳ ἐπικρέμαται. ἀφράστοιο δὲ ἀνεπιγνώστου, ἀπροοράτου, ἀδήλου. b τρεῖς εἰσιν αἱ Ἅρπυιαι· Κελαινώ, Ὠκυπέτη καὶ Ἀελλώ. B Pa 225—27a 〈ἴσχ ω:〉 ἔχω. L g b ἀλλά κε ῥεῖ α: οὕτω ταχέως ἐκ τοῦ ἀφανοῦς ἔρχονται. κακῶς δὲ τὸ ἑὸν τέθεικεν, ἀντὶ τοῦ ἐμὸν εἰπών. c μεμηλώ ς: φροντίζων. τοῦτο δὲ δαιμονίως εἶπεν. οὐ γὰρ ἔφη εὐωχούμενος ἢ ἐσθίων, ἀλλὰ μόνον φροντίδα τροφῆς ἔχων, ἵνα τὸ πάθος ἐπάρῃ. 231 ἐληλάμενο ν: ἀντὶ τοῦ κεχαλκευμένον. ὁ ἀδάμας δὲ καὶ λίθος καὶ στερεοῦ σιδήρου εἶδος. 232—33 ἀλλά με πικρὴ 〈δῆτα καὶ ἄατοσ〉: ἡ πολυβλαβής. τοῦτο δὲ πρὸς πλείονα ἔμφασιν, οἱονεὶ οὐ μόνον φέρειν τὴν ὀδμήν, ἀλλὰ καὶ ἑδραίως μένειν διὰ τὸ τυφλώττειν. 234 τὰς μὲν θέσφατόν ἐστι ν: τὰς Ἁρπυίας πέπρωται ὑπὸ τῶν Βορεαδῶν ἀναιρεθῆναι. τῷ δὲ θέσφατον 〈ὡσ〉 σφόδρα ἀναγκαίως ἐχρήσατο, ὥσπερ καὶ κατὰ ἀνάγκην γινομένων. 235 οὐ δ ' ὀθνεῖο ι: οὐκ ἀλλότριοι δὲ ὄντες μοι βοηθήσουσιν. ὅτι δὲ ἡ συγγένεια προθυμοτέρους πάντας πρὸς τὰς εὐεργεσίας ποιεῖ, καὶ Εὐριπίδης φησίν (Or. 486)· ''Ἑλληνικόν τι τὸν ὁμόθεν τιμᾶν ἀεί.' 238—39 τῶν δὲ κασιγνή〈την〉: Κλεοπάτρα Βορέου καὶ Ὠρειθυίας θυγάτηρ, ἀδελφὴ τῶν περὶ Ζήτην καὶ Κάλαϊν, ἣν ἔγημεν ὁ Φινεύς.

145 γεγόνασι δὲ αὐτῶν παῖδες Παρθένιος καὶ Κάραμβις. 240 〈ἴσκε ν:〉 ἔλεγεν. L g 241 πέρι δ ' αὖτε δύ ω: ἴσως διὰ τὴν συγγένειαν τοὺς Βορεάδας πλέον οἰκτείρειν φησίν. 243 ἀσχαλόωντο ς: δυσφοροῦντος. L g P 244a 〈σμυγερώτερο ν:〉 ἐπιπονέστερον. L g b στυγερὸν δὲ σημαίνει μὲν [καὶ] τὸ μισητόν, σημαίνει δὲ καὶ τὸ ἐπίφοβον· ἐνταῦθα δὲ ἴσως τὸ ἐπίπονον. P 246—47a ἦ ῥα θεοὺς ὀλο〈ῇσιν〉: ἆρα εἰς τοὺς θεοὺς ἠσέβησας καὶ ἥμαρτες κακοτροπίᾳ τινί; ἢ ἀτραπίῃσι, τουτέστιν ἐκτραπεὶς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ· παρὰ τὴν ἀτραπόν, ἥ ἐστιν ὁδός. b ἀφραδίησ ι: γράφεται ἀτροπίησ ι. L g P c 〈μαντοσύνας δεδαώ ς:〉 ἀντὶ τοῦ παρὰ γνώμην τῶν θεῶν μαντευόμενος. L g d τὸ δὲ δεδαὼς τὸ μαθεῖν μᾶλλον ἢ τὸ διδάσκειν σημαίνει. διὰ γοῦν τὸ μαθεῖν σε, φησί, τὴν μαντικὴν καὶ μαντεύεσθαι παρὰ τὴν τῶν θεῶν γνώμην ἥμαρτες εἰς τοὺς θεούς. P 248—51a ἀτύζετα ι: φοβεῖται, καταπονεῖται. L g P b εἰ δὴ πρόχνυ γέ〈ρασ〉: εἴπερ ἡμῖν ταύτην τὴν τιμὴν παρέθετο τὸ δαιμόνιον, ὥστε σοι βοηθῆσαι. ὁ δὲ λόγος καθ' ὑπέρβατον, ἵν' ᾖ οὕτως· ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισι χραισμεῖν · ἀρίζηλοι γὰρ ἐπιχθονίοισιν ἀθανάτων ἐνιπα ί , εἰ δὴ πρόχνυ γέρας τόδε πάρθετο δαίμω ν. c ἡμεῖς δέ, εἰ ὄντως ἔχομεν παρὰ τοῦ δαιμονίου τὸ γέρας, δεδοίκαμεν, μὴ ἄρα χαλεπήνῃ τὸ θεῖον.

146

Eulogikon public reading copy · View original HTML at eulogikon.org

L d τὸ δὲ πρόχνυ τὸ ἀπαραιτήτως ἐνταῦθα σημαίνει. P e ἀρίζηλο ι: μεγάλως ἔκδηλοι καὶ ἐναργεῖς αἱ τῶν θεῶν κολάσεις εἰσίν. L g (P) 252 〈 ἔσ τ ’ ἄ ν:〉 μέχρις ἄν. L g 253a ἔκητ ι: χάριν. L g (P) b θεοῖς ἀπὸ θυμοῦ ἔσεσθα ι: ὅτι γὰρ τὸ τοῖς ἀσεβέσι βοηθεῖν εἰς τοὺς θεοὺς ἔχει ἀσέβειαν, καὶ Εὐριπίδης φησίν (Or. 534 sq.)· ‘ὡς οὖν ἂν εἰδῇς, Μενέλεως, τοῖσιν θεοῖς μὴ πρᾶσσ’ ἐναντί’, ὠφελεῖν τοῦτον θέλων.‘ ἀσεβὴς γάρ τις εἶναι δοκεῖ παρ’ αὐτῷ ὁ Ὀρέστης. 254—55 κενεὰς γλήνα ς: τοὺς κενοὺς ὀφθαλμούς. L g (P) 257 ἴστω Λητοῦς υἱό ς: τὸν ὅρκον εἴληφε παρὰ τοῦ ποιητοῦ (Α 86)· ‘μὰ γὰρ Ἀπόλλωνα διίφιλον‘. ἐπέβαλλε γὰρ μάντει εἰς πίστιν ἄγοντι τὸν προστάτην αὐτοῦ τῆς τέχνης ὀμνύειν θεόν. 259a καὶ τό δ ’ ἐ π ’ ὀφθαλμῶν ὀλοὸν νέφο ς: γράφεται καὶ ἀλαό ν. κατηγοροῦσί τινες τοῦ Ἀπολλωνίου ὡς οὐκ εὖ τὸν ὅρκον τοῦτον εἰσαγηοχότος· ὀμνύει γὰρ καθ’ ὧν κινδυνεῦσαι οὐ δύναται. ῥητέον δέ, ὅτι ἐμπαθέστερος γίνεται ὁ ὅρκος, ὅταν τις κατὰ τῆς ἰδίας ὀμνύῃ συμφορᾶς (υ 339)· ‘οὐ μὰ Ζῆν’, Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο‘. καὶ Δημοσθένης (De cor. 208)· ‘μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένουσ‘. ἔθος οὖν ἀρχαῖον, πρῶτον τοὺς θεοὺς ὀμνύναι, εἶτα ἐπάγειν καὶ τὰς ἰδίας συμφοράς. b καὶ τό δ ’ ἐ π ’ ὀφθ〈αλμῶν〉 ἀλαὸν νέφο ς: [φησί·] τὸ τυφλὸν νέφος καὶ ἡ ἐπικειμένη μοι ἀχλύς. σύνηθες δὲ τὸ κατὰ τῶν ἰδίων συμφορῶν ὀμνύειν. 260 οἳ μη δ ’ οἵδ ε: οἳ μηδὲ οὗτοι ὡς ἐπιόρκῳ εὐμενεῖς εἴησαν. παρὰ τὸ Ὁμηρικόν (Τ 264)· ‘εἰ δέ τι τῶνδ’ ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν‘. 263a κουρότερο ι: τὸ συγκριτικὸν ἀντὶ ἀπολελυμένου κεῖται τοῦ κοῦροι.

147 καὶ ἡμεῖς πολλάκις λέγομεν ‘νεώτεροί εἰσιν‘ ἀντὶ τοῦ νέοι, καὶ παρὰ τῷ ποιητῇ (Ξ 137) ‘δεξιτερὴν ἕλε χεῖρα‘ ἀντὶ τοῦ δεξιάν. b πεπονήατ ο: πρὸς τὴν τῶν νέων σπουδὴν καὶ ταχύτητα τὸ 〈αἶψα〉 πεπονήατο, οἷον ἐνεργῶς ἐποίουν, ἡτοίμαζον. 264—65a ἑλώριον δὲ ἀναίρεμα, ἅρπαγμα· ἢ βρῶμα. λοίσθιον δὲ ἔσχατον. τὸ δὲ ἐπεσσυμένας πρὸς τὴν ἀθρόαν πτῆσιν τῶν Ἁρπυιῶν εἴρηται. b 〈 ἄμφ ω:〉 οἱ Βορεάδαι. L g 267a 〈 ἀδευκέε ς:〉 ἀπροσδόκητοι. L g b ἀδευκέας δὲ ἢ ἀντὶ τοῦ ἀπροσδοκήτους ἢ ἀντὶ τοῦ πικράς· δεῦκος γὰρ τὸ γλυκύ. P 268—69a ἀπρόφατο ι: ἀντὶ τοῦ ἀπροόρατοι, ἀπροφάσιστοι, οἷον ἄνευ προφάσεως καὶ ἐποχῆς καὶ ὑπερθέσεως, παρόσον τοῖς προφασιζομένοις παρέπεται ὑπέρθεσις. b κλαγγῇ μαιμώωσα ι: ὥρμων μετὰ κλαγγῆς ἐπιθυμοῦσαι τῆς τροφῆς. τοῦτο δὲ ὡς ἐπὶ ὀρνέων ἁρπακτικῶν· καὶ γὰρ ἐκεῖνα πρὸ τῆς ἁρπαγῆς κλάζειν φιλεῖ. καὶ τὸ ἐσσεύοντο εἰς τὴν ἀθρόαν ἐπίπτησιν καὶ τὸ τάχος ἀναφέρεται. 271a καταβρώξασα ι: καταφαγοῦσαι. L g (P) b ὑπὲρ πόντοι ο: ὅτι διὰ τοῦ Αἰγαίου πόντου καὶ τοῦ Σικελικοῦ αὐτὰς ἐδίωκον, Φερεκύδης ἐν ς′ (3 fg 28 J.) φησί. 274 φάσγα ν ’ ἐπισχόμενο ι: τὰ ξίφη ἐν χεροῖν ἔχοντες παραπλησίως ἔτρεχον ὀπίσω αὐτῶν. L 275 ἀτὰρ Διὸς οὔ κεν ἐπ〈έσθην 〉 : οὐ γὰρ ἄν, φησί, χωρὶς τοῦ Διὸς ταῖς Ἁρπυίαις ἠκολούθησαν. 276—77a ἐπεὶ ζεφύροι ο: ἤτοι ταχίονες τῶν πνοῶν τοῦ λιβὸς ἢ ἴσα ταῖς πνοαῖς ἔτρεχον, ὡς Ἡσίοδός (Th. 268) φησιν. ἐπεὶ πάντοτε αἱ Ἅρπυιαι καὶ τὰς τοῦ ζεφύρου ἀέλλας παρεπέτοντο, εἴ ποτε εἰς τὰ τοῦ Φινέως ἔρχοιντο ἢ ἐκεῖθεν ὑπαναχωροῖεν. b αἱ τῶν ἀελλῶν συστροφαὶ πνοῶν εἰσι ταχύτεραι.

148 συμβαίνει μὲν γὰρ τὴν πνοὴν παρατετάσθαι καὶ ἐμβραδύνειν, ἡ δὲ ἄελλα ταχυτέρα καὶ κουφοτέρα ἐστὶ τῆς πνοῆς. καὶ εὐλόγως· ταχύτατος γάρ ἐστιν ὁ ζέφυρος τῶν λοιπῶν ἀνέμων, ὡς καὶ Ὅμηρος (Τ 415 sq.)· ‘νῶι δὲ καί κεν ἅμα πνοιῇ ζεφύροιο θέοιμεν, τόν περ ἐλαφρότατόν φας’ ἔμμεναι.‘ 279a ἠὲ πρόκας ἰχν〈εύοντεσ 〉 : ζῷόν τι ὅμοιον ἐλάφῳ, ὁ λεγόμενος νεβρός. Διονύσιος δέ φησιν ὁ Ἀθηναῖος ἐν ταῖς Κτίσεσι (fg 12 M. IV 395) τὰς ἐλάφους οὕτω λέγεσθαι, πρόκας· ὅθεν καὶ Προκόννησος, ἐπεὶ ἐν ταύτῃ πληθύουσιν ἔλαφοι. οἱ δὲ Προχόννησον λέγουσιν εἰρῆσθαι ἀπὸ τῆς προχόου, ἣν ἔχουσα τοῖς Μιλησίοις ἀπήντησεν ἡ Παρθένος, ὅτε τὴν ἀποικίαν ἐστέλλοντο. οἱ δὲ Προχώννησον ἐτυμολογοῦσιν, καθὸ πρότερον οὖσα νῆσος ὕστερον προσεχώσθη. ὑπό τινων δὲ 〈ἡ〉 Προκόννησος καὶ Ἐλαφόνησος ἐκλήθη. Φιλητᾶς (fg 48

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Kuchenm.) δέ φησι πρόκας λέγεσθαι ἐλάφους τὰς πρώτως τικτομένας, οἷον πρωτοτόκους. b 〈 ἰχνεύοντε ς:〉 ζητοῦντες. L g 280a 〈 θείωσι ν:〉 τρέχωσιν, ἐκ τοῦ θέω.

149 G m b τυτθὸν δὲ τιταινόμενο ι: μικρὸν δὲ ἄποθεν μετὰ διαστάσεως ἔτρεχον. 281 μάτην ἀράβη 〈σαν 〉 : προσδοκῶντες ἀεὶ διὰ τὸ σφόδρα ἐγγὺς εἶναι καὶ δάκνειν καὶ ἐπιψαύειν [δοκεῖν]. 282—83a μάλα σχεδό ν: πλησίον τῶν Ἁρπυιῶν ὁρμῶντες. L g (P) b ἐπέχραον ἤλιθα χερ〈σ ί:〉 πολλάκις, φησίν, ἐθελήσαντες αὐτὰς πλῆξαι, μάτην ἐπήνεγκαν τὰς χεῖρας. c 〈 ἤλιθ α:〉 ματαίως, ἠλιθίως. L g 284 ἀέκητ ι: παρὰ γνώμην. L g (P) 285 ἐπὶ Πλωτῇσ ι: ταῖς περιπλεομέναις καὶ βρεχομέναις πανταχόθεν ὑπὸ τῶν κυμάτων· φησὶ δὲ τὰς Στροφάδας νήσους. καὶ ἄλλοι δὲ ποιηταὶ λέγουσι παρὰ τὰς Πλωτὰς καταληφθῆναι τὰς Ἁρπυίας, αἳ νῦν Στροφάδες καλοῦνται. εἰσὶ δὲ αἱ νῆσοι αὗται ἐν τῷ Σικελικῷ πελάγει. 〈...〉 ἃς ὁ ποιητής φησι (B 677) ‘νήσους τε Καλυδνάσ‘. 286 εἰ μὴ ἄ ρ ’ ὠκέα Ἶρι ς: ἄλλοι τὸν Ἑρμῆν φασιν. ἀστείως δὲ ταύτῃ τῇ θεῷ τὸ κωλῦσαι τοὺς Βορεάδας δίδωσιν, ἤτοι ὅτι ἄγγελος ἢ ὅτι τῶν Ἁρπυιῶν ἀδελφή. 292 ὀπιδνοτάτ η: τιμία καὶ ἐπιστροφῆς ἀξία, παρὰ τὴν ὄπιδα καὶ ἐπιστροφήν, διὰ τὸ τιμωρεῖσθαι τοὺς ἐπιόρκους. ῥιγίστη δὲ φρικτή. 295 〈 εἴξαντε ς:〉 πεισθέντες. L g 296—97a Στροφάδας δ έ: Στροφάδας φησὶ κεκλῆσθαι διὰ τὸ τοὺς Βορεάδας αὐτόθεν ὑποστρέψαι στραφέντας εἰς τοὐπίσω, λαβὼν παρὰ Ἀντιμάχου (fg 13 B. II 291). οἱ δὲ Στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθι ηὔξαντο τῷ Διὶ 〈ἐπὶ τῷ〉 καταλαβεῖν τὰς Ἁρπυίας.

150 κατὰ δὲ Ἡσίοδον (fg 59 Rz. 2 ) καὶ Ἀντίμαχον (v. supra) καὶ Ἀπολλώνιον οὐ κτείνονται. b πάρος Πλωτὰς καλέοντ〈εσ 〉 : αἱ Πλωταὶ νῆσοι μετωνομάσθησαν Στροφάδες. μέμνηται αὐτῶν καὶ Ἀντίμαχος ἐν τῇ Λύδῃ (v. sch. a ). 〈...〉. ὅτι δὲ ηὔξαντο οἱ περὶ Ζήτην τῷ Διὶ στραφέντες, λέγει καὶ Ἡσίοδος (fg 57 Rz. 2 )· ‘ἔνθ’ οἵ γ’ εὐχέσθην Αἰνηΐῳ ὑψιμέδοντι.‘ ἔστι γὰρ Αἶνος ὄρος τῆς Κεφαλληνίας, ὅπου Αἰνησίου Διὸς ἱερόν ἐστιν, οὗ μνημονεύει Κλέων ἐν Περίπλῳ (M. IV 365) καὶ Τιμοσθένης ἐν τοῖς Λιμέσιν (fg 39 E. A. Wagner Die Erdbescbreibung des T., Diss. Lips. 1888, 72 ). Ἀπολλώνιος μὲν οὖν τὴν ἀποστρέψασαν τοὺς περὶ Ζήτην Ἶριν λέγει, Ἡσίοδος (fg 58 Rz. 2 ) δὲ Ἑρμῆν. αἱ δὲ Πλωταὶ νῆσοι κεῖνται ἐν τῷ Σικελικῷ πελάγει. 299 κευθμῶνα Κρήτη ς: κοιλάδα τῆς Κρήτης κατέδυσαν. τοῦτο δέ φησι καὶ Νεοπτόλεμος. ὁ 〈δὲ〉 τὰ Ναυπακτικὰ ποιήσας (fg 3 Kink.) καὶ Φερεκύδης ἐν ς′ (3 fg 29 J.) φασὶν εἰς τὸ σπέος αὐτὰς φυγεῖν τῆς Κρήτης τὸ ὑπὸ τῷ λόφῳ τῷ Ἀργινοῦντι. 300 μεταχρονί η: μετέωρος. L g (P) 301—02a 〈 πινόε ν:〉 ῥερυπωμένον. L g b φοιβήσαντε ς: τὸ ῥυπαρὸν σῶμα καθάραντες. εἶπεν γάρ (v. 200) ‘πίνῳ δέ οἱ αὐσταλέος χρώσ‘, ἀπεσκληρυμμένος τῷ ῥύπῳ ἐτύγχανε.

151 φοιβήσαντες οὖν λαμπρύναντες, καθάραντες· φοῖβον γὰρ τὸ καθαρόν, ὅθεν καὶ Φοῖβος ὁ Ἀπόλλων, διὰ τὸ καθαρόν. c ἐπικριδό ν: ἐπικρίναντες ἔθυον. L g (P) 306 ἁρπαλέω ς: ἀδηφαγῶν ἤσθιεν, ἴσην ὀνείρου ἡδονὴν ἔχων, μὴ πιστεύων μηδὲ νῦν εἰ εὐωχεῖται δι’ ἃ πέπονθεν, ἀλλ’ ὥσπερ ὀνειράτια εἶναι δοκῶν. 308 ἐγρήσσειν τὸ ἐγρηγορεῖν, τὸ δὲ μένον ἀντὶ τοῦ προσεδέχοντο. P 310 πεῖρατ α: ἃ δεῖ αὐτοὺς διαπερᾶσαι. ἄνυσιν δέ, ἀστείως καὶ καιρίως ταύτῃ τῇ λέξει ἐχρήσατο· ἀνύσαι γὰρ κυρίως τὸ μετὰ καμάτου τι ποιῆσαι, ὡς καὶ μέχρι 〈τοῦ〉 νῦν φαμεν. 311—12a κλῦτέ νυ ν: τὸ νὺν ἀντὶ τοῦ οὖν. διὰ δὲ τοῦ οὖν ὥσπερ ὀφειλομένην τὴν μαντείαν αὐτοῖς ἀποδίδωσι, λέγων· ‘ἐπακούσατε οὖν, ὥσπερ τὸ χρέος ἀπολαμβάνοντεσ‘. b 〈 οὐ μὲν πάντ α:〉 τοῦτο δέ φησιν, ἵνα μὴ ὕστερον ὀχλήσωσιν αὐτόν, τὸ ἀκριβὲς ζητοῦντες. καὶ δαιμονίως τούτου τὴν αἰτίαν τοῖς θεοῖς περιάπτει καὶ οὐχὶ ἑαυτῷ, λέγων· ὅσσα δ ’ ὄρωρε θεοῖς φίλον οὐκ ἐπικεύσ ω . c ὄρωρ ε: ἀντὶ τοῦ ὑπάρχει. L g (P) 313 τὸ δὲ ἀασάμην ἀντὶ τοῦ ἐλύπησα κεῖται. ἀφραδίαν δέ φησι τὴν ἀβουλίαν. καὶ τὴν αἰτίαν ἐπάγει, δι’ ἣν ἐλύπησε τὸν Δία. P 314 χρείων ἑξείη ς: μαντευόμενος πᾶσιν ἐφεξῆς καὶ τελείως. παρατίθησι δὲ αὐτοῦ τὰς συμφοράς, ἤδη δηλῶν, ὡς οὐκ ἀκριβῶς αὐτοῖς οὐδὲ ἄκρως μαντεύεται, εἴγε διὰ τοῦτο ἐβλάβη. 315—16a ἐπιδευέ α: μὴ τέλεια, ἀλλ’ ἔτι 〈τι〉 ἐνδέοντα λόγια τοῖς ἀνθρώποις ἐκφαίνειν, ἵνα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τοῦ θείου χρείαν ἔχωσι. b 〈 ἐπιδευέ α:〉 ἐλλιπῆ. G g c θέσφατα δὲ μαντοσύνης τὰ θεσπίσματα τῆς μαντικῆς λέγει. P 317—18a πέτρας μέ ν: περὶ τῶν Συμπληγάδων, ὅτι ἐπὶ τοῦ Ποντικοῦ στόματος ἦσαν καὶ ὅτι Κυάνεαι ἐκαλοῦντο διὰ τὸ χρῶμα, ἐν τῷ α′ (v.

152 2 sq.) εἴρηται. ὁ δὲ διὰ πάντων καὶ ἐκ πρώτης ἀκοῆς δεδίσσεται τοὺς ἥρωας, διά τε τῆς παλιρροίας τῶν πετρῶν καὶ διὰ τοῦ ἐν θαλάσσῃ στενοῦ, ὅπερ καὶ ἐπὶ γῆς ἄγαν κινδυνῶδες καὶ φοβερόν ἐστιν. L b ἁλὸς ἐν ξυνοχῇσ ι: ὅπου στενοῦται ἡ θάλασσα. λέγει δὲ ἐπὶ τοῦ στόματος τοῦ Πόντου. L g (P) 319 διαμπερὲς ἐξαλ〈έασθα ι:〉 τοῦτό φησιν, ἐπεὶ οὐδεὶς οὐδέποτε ἀβλαβὴς τελέως ἐξέφυγεν, ὥστε οὐδὲ ἂν ἡ Ἀργὼ καίτοι Ἥρας προνοουμένης. 320a τὸ μὲν οὖν ἐρηρεῖσθαι τὸ ἐρριζῶσθαι σημαίνει. P b νεάτῃσι ν: ταῖς εἰς βάθος οὔσαις. L g (P) 321 ἀλλὰ θαμὰ ξυνί〈ασι ν:〉 διὰ πάντων τὸ δεινὸν τοῦ λόγου ἐπαίρει, διά τε τοῦ μὴ ἁπλῶς συνιέναι ἀλλὰ συνεχῶς, καὶ διὰ τοῦ ἐναντία ι. εἰ μὲν γὰρ ἐκ τῶν πλαγίων ἑαυταῖς συνήρχοντο, τάχα ἄν πως δυνατὸν ἦν ὑποτηρήσαντα τὴν σύνοδον ἐκφυγεῖν· εἰ δὲ ἐξ ἐναντίας συνέρχονται, ἄντικρυς καὶ ὡμολογημένος ὁ κίνδυνος. δεινοποιεῖ δὲ καὶ τῇ ἀκοῇ ἐκπλήττει τοὺς ἥρωας, ἐπεὶ μεγάλας ἔσχε παρ' αὐτῶν τὰς εὐεργεσίας, ἵνα καὶ αὐτὸς μεγάλα αὐτοῖς καὶ δεινὰ προμηνύων ὥσπερ ἴσος ἀντευεργέτης ὀφθῇ. 322—23a κορθύετα ι: βρασσόμενον ὑπὲρ αὐτῶν τὸ ὕδωρ διικνεῖται. στρηνὲς δέ ἐστι τὸ ἀνατεταμένον καὶ μέγα καὶ ὀξὺ καὶ διάτορον. b 〈 κορθύεται βρασσόμενο ν:〉 ἠχεῖται. S m c βρασσόμενον δὲ ἀντὶ τοῦ μετὰ ἤχου καὶ ταραχῆς αἰρόμενον. P d στρηνέ ς: σκληρόν. L g P e στυφελὴ δὲ ἡ τραχώδης ἀκτή. P 324 τῷ νῦν ἡμετέ〈ρησ ι:〉 διὸ νῦν, ἐπεὶ μέγας καὶ πολὺς ὁ κίνδυνος.

153 παραιφασίῃσι δὲ παραινέσεσιν, ὑποθήκαις. 325 τὸ δὲ ἀλέγειν ἀντὶ τοῦ φροντίζειν. P 326a πείρειν δὲ ἐνταῦθα μὲν τὸ διαπλέειν καὶ διαπερᾶν, ὡς τό 'ἀλεγεινά τε κύματα πείρων' (Hom.), ἀλλαχοῦ δὲ καὶ τὸ διατρυπᾶν· 'σπλάγχνα δ' ἄρ' ἀμπείραντεσ' (B 426). P b αὐτάγρετο ν: αὐθαίρετον. L g P 327 τὸ δὲ θύνειν τὸ ὁρμᾶν σημαίνει. οἱ δὲ ἰθύνειν γράφοντες ἁμαρτάνουσιν. P 328—29a οἰωνῷ δὴ πρό〈σθε 〉 : τὸ ἑξῆς· οἰωνῷ δὴ πρόσθε πελειάδι πειρήσεσθε ἐφιέμενο ι. πελειὰς δὲ εἶδος περιστερᾶς, ὡς καὶ Ἀριστοτέλης (Hist. an. V 13, 544b 1) φησίν. ὅτι δὲ ἐχρήσαντο περιστερᾷ πλεῖν μέλλοντες, καὶ Ἀσκληπιάδης ἐν Τραγῳδουμένοις (12 fg 2 b J.) φησίν. b τὸ δὲ πρόσθε τὸ πρότερον δηλοῖ, τὸ δὲ ἀποπρὸ τὸ μακράν. τὸ δὲ ἐφιέναι ἐνταῦθα μὲν τὸ ἐνδιδόναι σημαίνει, ἔστι δ' ὅτε τὸ ἐντέλλεσθαι καὶ ἐπιτρέπειν, παρὰ δὲ τοῖς ῥήτορσιν ἰδίως τὸ ἀπὸ δικαστηρίου εἰς δικαστήριον μεταβαίνειν, καὶ ἔφεσις ἡ μετάβασις. Λουκιανός (Prom. 4)· 'ἡ δὲ ἔφεσις ἐπὶ τὸν Δία ἔσται'. ἐφίεμαι δὲ τὸ ἐπιθυμῶ. ὁ δὲ νοῦς· πρότερον δὲ πειράσασθαι ἐφιέναι οἰωνῷ πελειάδι, ὥστε πέτεσθαι δηλαδή, μεθέντες αὐτὴν ἀποπρὸ καὶ μακρὰν τῆς νεώς. P 330a σό η: ἀβλαβής. L g P b δίητα ι: διωχθείη καὶ πετασθείη ἡ ὄρνις. L g P 332 ἀλ λ ' εὖ καρτύναντε ς: ἀσφαλισάμενοι καὶ κρατύναντες. Δωρικὸν δέ ἐστι τὸ κατ' ἐναλλαγὴν στοιχείων διαλέγεσθαι, ὡς καὶ κραδίαν καὶ κάρτος λέγουσι. 333—34a ἐπεὶ φάος οὐ νύ τι τόσσο ν: ἡ διάνοια 〈ἡ〉 αὐτὴ γέγονε παρὰ τὴν ἐν ἄλλοις λεχθεῖσαν (I 870 sq.)· 'οὐδέ τι κῶας αὐτόματον δώσει τις ἑλὼν θεὸς εὐξαμένοισιν.

154 ' b 〈 φάο ς:〉 ζωή. S m 335 ὀνήιστο ν: ὠφελιμώτατον πονεῖτε καὶ πράττετε. λέγει δὲ τὸ κωπηλατεῖν. 336 πρὶν δ ' οὔτι θεού ς: πρὸ δὲ τοῦ εἰς τὸν πορθμὸν ἐλθεῖν οὐ κωλύω ὑμᾶς τοὺς θεοὺς ἐπικαλεῖσθαι βοηθούς. 341 ὦ μέλεο ι: τοῦτό φησιν ὡς τῶν ἡρώων μέγα φρονούντων ἐπὶ τῇ κατασκευῇ τῆς Ἀργοῦς διά τε τὸ τῶν ξύλων μέγεθος καὶ τὴν κατασκευάσασαν Ἀθηνᾶς τέχνην. 342—44a εἰ κέ με τρὶς τόσσο ν: διὰ τούτου μάλιστα, ὥσπερ ἐκ θεῶν τὸ κώλυμα τῆς ὁδοῦ λέγων εἶναι, πείθει αὐτοὺς ἐπαναχωρεῖν, ἐάν τι φαῦλον συμβῇ τῇ ὄρνιθι. τοῦτο δέ φησιν, ἐπεὶ τοὺς παρὰ τῶν ἀδίκων λόγους ὡς ἀπίστους καὶ ἀπληρώτους λαμβάνομεν διὰ τὸ ἀσεβὲς αὐτῶν. φησὶν οὖν· εἰ καὶ τρὶς τοσοῦτον ἢ καὶ πλέον ὑπονοεῖτέ με μισεῖσθαι ὑπὸ τῶν θεῶν ὅσον ἀληθῶς μισοῦμαι, μὴ τολμήσητε χωρὶς οἰωνοῦ περᾶν. b τὸ δὲ ἀνάρσιος σημαίνει μὲν τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνάρμοστον, σημαίνει δὲ καὶ τὸν ἐχθρόν· οἱ γὰρ ἐχθροὶ ἀλλήλοις οὐ συμβαίνουσι. P c τὸ δὲ πάρεξ βαρυτόνως ἀντὶ τοῦ χωρίς. 345 καὶ τὰ μὲν ὥς κε πέλ〈η〉 : καὶ ταῦτα μὲν οὕτως ἂν γένοιτο, καθὼς καὶ ἔσται καὶ εἵμαρται. L 346 σύνδρομα πετράω ν: τὴν σύνοδον. διὰ δὲ τούτου πάλιν αἰνίττεται μᾶλλον, ὡς οὐ ῥᾳδία αὐτοῖς οὐδὲ ἀκίνδυνος ἡ ἔξοδος. 347—49a αὐτίκα Βιθ〈υνῶν〉 : μετὰ γὰρ τὴν Φινέως νῆσον ἐπὶ τὰ δεξιὰ μέρη ἐστὶ Βιθυνία παρὰ τὸν Βόσπορον. ταχέως ἄρα ἐκπλεύσαντι τὸ στόμα τοῦ Πόντου ἡ ἑτέρα πλευρὰ τῆς Βιθυνίας· ἡ γὰρ Βιθυνία, ὡς προείρηται, περὶ τὸν Βόσπορόν ἐστιν ἐν δεξιᾷ, ἐν ἀριστερᾷ δὲ Σαλμυδησσὸς Θρᾳκῶν ἀγρίων.

155 ὠνομάσθη δὲ Σαλμυδησσὸς ἀπὸ τοῦ συρρέοντος εἰς αὐτὸν ποταμοῦ. b πλώετε ῥηγμῖνα ς: ἐχόμενοι τῆς Βιθυνίας πλεῖτε πρὸς τὰ δεξιά, φυλαττόμενοι τὰς ἐκ τοῦ ἀριστεροῦ μέρους ῥηγμῖνας—λέγοι δ’ ἂν τοῦ Σαλμυδησσοῦ, ἐπειδὴ οἱ περὶ τὸν Σαλμυδησσὸν κατοικοῦντες Θρᾷκες ἐπιτιθέμενοι διήρπαζον τοὺς παραπλέοντας. c Ῥήβας δὲ ποταμὸς Βιθυνίας. d Μέλαινα ν: ἄκρα οὕτως καλουμένη. L g (P) 351—52a κεῖθεν δ ’ οὐ μάλ α: ἐκ τῆς Θυνιάδος νήσου πλεύσαντες οὐ πολὺ ἐπὶ τὸ πέραν εἰς τὴν Μαριανδυνῶν ἥξετε γῆν. τὴν δὲ Μαριανδυνῶν 〈γῆν〉 σὺν Γνησιόχῳ τῷ Μεγαρεῖ Βοιωτοὶ κατέσχον, ὡς Ἔφορος (70 fg 44 b J.) ἱστορεῖ. παραρρεῖ δὲ αὐτὴν ὁ Ἀχέρων ποταμός. Ἀχέρων δὲ παρὰ τὰ ἄχεα εἴρηται. b τὸ δὲ ἀντιπέραιαν πρὸς τὴν νῆσον· ἀντιπέραν γὰρ τῆς νήσου κεῖται ἡ Μαριανδυνία. P 353—56a ἔνθα μὲν εἰς Ἀίδα 〈ο〉 : κατὰ τὸν ἐν τῇ Μαριανδυνίᾳ Ἀχέροντα ὡς ἐπὶ τὸν τοῦ Ἅιδου ποταμὸν καταβατή τις ἔστιν ὁδός. ὁ δὲ ῥεῖθρα σφοδρὰ ἔχων διατέμνει αὐτήν —τὴν Μαριανδυνίαν —, κάτωθεν ῥέων, καὶ εἰς ἄκραν αὐτὴν ἔκ τινος φάραγγος ῥέων τὰ ῥεύματα εἰσβάλλει. b ἀκτή τε προβλή ς: ἄκρα κατὰ τὴν Ἡράκλειαν, ἣν Ἀχερούσιον καλοῦσιν οἱ ἐγχώριοι.

156 Ἡρόδωρος (31 fg 31 J.) δὲ καὶ Εὐφορίων ἐν τῷ Ξενίῳ (fg 35 Scheidw.) ἐκείνῃ φασὶ τὸν Κέρβερον ἀνῆχθαι ὑπὸ τοῦ Ἡρακλέους καὶ ἐμέσαι χολήν, ἐξ ἧς φυῆναι τὸ καλούμενον ἀκόνιτον φάρμακον. Ἄνδρων δὲ ὁ Τήιος ἐν τῷ Περίπλῳ (fg 1 M. II 348) φησὶν Ἀχέροντά τινα βασιλεῦσαι τῶν τόπων, οὗ θυγατέρα γενέσθαι Δαρδανίδα· ταύτην δὲ Ἡρακλέους πλησιάσαντος ἐσχηκέναι υἱὸν Ποιμένα λεγόμενον· ἀποθανόντων δὲ κατὰ τὸν αὐτὸν χρόνον τῆς τε Δαρδανίδος καὶ τοῦ υἱοῦ αὐτῆς Ποιμένος, τοὺς τόπους ἀπ’ αὐτῶν κληθῆναι κατὰ τὴν Ἡράκλειαν Δαρδανίδα τε καὶ Ποιμένα. c ὑψόθι δὲ τείνειν αὐτήν φησι, τουτέστι ὑψηλή ἐστιν. P d δινήεις τ ’ Ἀχέρω ν: καὶ ὁ Ἀχέρων ποταμὸς εἰς θάλασσαν ῥεῖ διὰ μεγάλης φάραγγος, τέμνων τὴν Ἀχερουσίαν ἄκραν. παρὰ γὰρ τὴν Ἡράκλειαν τὴν ἐν Μαριανδυνοῖς Ἀχέρων τις ἔστι 〈ποταμὸσ〉 καὶ στόμιον σπηλῶδες. φάραγγος δὲ τῆς τοῦ ὄρους τραχύτητος καὶ ὀρεινῆς κοιλάδος· φάραγξ γὰρ ἡ ὀρεινὴ κοιλάς. 357—59a ἀγχίμολον δ ’ ἐπὶ τ ῇ: ἐπὶ τῇ Μαριανδυνῶν χώρᾳ. τὸ δὲ ἑξῆς· ἐπὶ δὲ τῇ Μαριανδυνῶν γῇ ἐκ τοῦ σύνεγγυς παραπλέετε τὰ τῶν Παφλαγόνων ὄρη. b κολωνού ς: ὄρη. L g (P) c τοῖσίν τ ’ Ἐνετή〈ιοσ〉 : ἀπὸ Ἐνέτης πόλεως Παφλαγόνων. Ὅμηρος (B 852)· ‘ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένοσ‘. τούτους δὲ Καύκωνας ἐκάλουν πρὸ τῶν Τρωικῶν.

157 τὸν δὲ Πέλοπα Παφλαγόνα τὸ γένος εἶπεν, ἄλλοι δὲ Λυδὸν αὐτὸν ἱστοροῦσιν: ὁ δὲ Εὐφορίων (fg 135 Scheidw.) ἀμφοτέραις ταῖς δόξαις συντίθεται. d. 〈 μενεδήιο ς:〉 γράφεται Ἐνετήιο ς. L g G m e. τὸ δέ τοῦ καί περ ἀ φ ’ αἵματος εὐχετόωνται περισσὸν ἔχει τὸν περ · ἀπὸ τοῦ Πέλοπος γὰρ ἔλεγον κατάγεσθαι οἱ Παφλαγόνες. P 360—63a ἔστι δέ τις ἄκρη Ἑλ〈ίκησ〉 : ὅτι ἡ Κάραμβις ἄκρα ὑψηλή τε καὶ καταρρὼξ τῆς Παφλαγονίας καὶ εἰς τὸ πέλαγος τείνει πρὸς ἄρκτον, μνημονεύει καὶ Ἔφορος ἐν δ' (70 fg 41 J.). ὁ δὲ νοῦς· ἔστι δέ τις ἄκρα καὶ ἐξοχὴ ὑψηλὴ εἰς τὸ πέλαγος τείνουσα, κατεναντίον τῆς Ἑλίκης Ἄρκτου κειμένη, ὑφ’ ἧς καὶ αἱ τοῦ Βορέου ἄελλαι περισχίζονται, τουτέστιν αἱ πνοαί. ἔστι δὲ ὑπέρβατον, καὶ ἡ ὑπὲρ ἀντὶ τῆς ὑπό· ὑφ’ ἧς καὶ αἱ τοῦ Βορέου πνοαὶ σχίζονται. b ἴσως δὲ βέλτιον λαμβάνειν τὴν ὑπὲρ 〈ἀντὶ τοῦ ἐπάνω· ὑπὲρ〉 τῆς Καράμβιδος καὶ αἱ πνοαὶ τοῦ Βορέου σχίζονται ἤτοι διαλύονται. εἰ γὰρ ἐν ταῖς κορυφαῖς τῶν ὑψηλῶν ὀρέων νηνεμία ἐστίν, ὡς οἱ φυσιολόγοι ἀξιοῦσι, πολλῷ μᾶλλον ὑπὲρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκείνας. διὸ καὶ ἐπάγει· οὕτως ἀνὰ τὸ πέλαγος τετραμμένη τῷ αἰθέρι κύρει καὶ προσπελάζει. P c 〈 αἰθέρι κύρε ι:〉 ἡ Κάραμβις τῷ αἰθέρι προσεγγίζει. L g 364 〈 τὴν δὲ περιγνάμψαντ ι:〉 τὴν Κάραμβιν δηλονότι κάμψαντι. L g 366a Ἅλυος ποταμοῖ ο: Ἅλυς ποταμὸς Παφλαγονίας, ὃν φυλάττεσθαι ὁ Πύθιος τῷ Λυδῶν βασιλεῖ Κροίσῳ εἶπεν (96 Hendess Orac.

158 gr. 1877, 61 )· ‘Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει‘. ἔστι δὲ μεταξὺ Σύρων τῶν ἐν τῷ Πόντῳ καὶ Παφλαγόνων εἰς τὸν Πόντον ἐκδιδούς. b Ἅλυο ς: ποταμὸς Παφλαγονίας περὶ Σινώπην ἐκβάλλων. L g (P) 367—68a ἐρεύγοντα ι: ἠχοῦσι, ῥέουσι μετὰ ἤχου. L g (P) b μετὰ τόν δ ’ ἀγχίρρ 〈ο〉 ος Ἶρι ς: μετὰ δὲ τὸν Ἅλυν πλησίον ῥεῖ ὁ Ἶρις, ἐλάττων ὢν τοῦ Ἅλυος κατὰ τὸ μέγεθος. λευκῇσι δὲ ἀντὶ τοῦ καθαραῖς. c 〈 Ἶρι ς:〉 ποταμὸς Παφλαγονίας. L g 369—72a κεῖθεν δὲ προτ〈έρωσε 〉 : ἐκεῖθεν δὲ προελθοῦσιν ἀκτήν τινα εἶναί φησιν ἐκκειμένην εἰς θάλασσαν· κάμψαντι δὲ αὐτὴν κόλπον εἶναι, εἰς ὃν καταφέρεσθαί φησι τὸν Θερμώδοντα ὑπὸ τὴν Θεμισκύρειον ἄκραν, ἔνθα ᾤκησαν αἱ Ἀμαζόνες. b ὑπείροχο ς: ὑπερέχων, ὑψηλός. L g (P) c 〈 Θερμώδοντο ς:〉 ποταμὸς Παφλαγόνων. L g d μύρετα ι: ἀντὶ τοῦ ἐκρεῖ. συναπτέον δὲ οὕτω· τὸ στόμα Θερμώδοντος κόλπῳ μύρεται. διαειμένος δὲ κατὰ ἀντιστροφὴν διαφερόμενος, μεθ’ ὁρμῆς ῥέων, οἷον· διὰ πολλῆς γῆς ῥέων ὁ ποταμὸς ὁ Θερμώδων κατὰ τὴν Θεμισκύρειον ἄκραν εἰς κόλπον εὐδινὸν ἐκρέει. 373—76a ἔνθα δὲ Δοίαντος πεδ〈ίον 〉 : Δοίας καὶ Ἄκμων ἀδελφοί· τίνος δὲ πατρός, οὐ φέρεται, ὥς φησι φερεκύδης (3 fg 15 b J.). πλησίον δέ, φησί, τοῦ Δοίαντος πεδίου εἰσὶ τρεῖς πόλεις, ἔνθα κατῴκουν αἱ Ἀμαζόνες, Λυκαστία, Θεμίσκυρα καὶ Χαδησία.

159 οἱ δὲ Χάλυβες ἔθνος Σκυθικὸν μετὰ τὸν Θερμώδοντα, οἳ μέταλλα σιδήρου εὑρόντες μοχθοῦσι περὶ τὴν ἐργασίαν. ἐκλήθησαν δὲ Χάλυβες ἀπὸ Χάλυβος τοῦ Ἄρεως υἱοῦ. μέμνηται αὐτῶν καὶ Καλλίμαχος (fg 35 c Schn. = Pap. Soc. Ital. 1092, 48 sq.)· ‘Χαλύβων ὡς ἀπόλοιτο γένος, γειόθεν ἀντέλλοντα κακὸν φυτὸν οἵ μιν ἔφηναν.‘ b σμυγερώτατο ι: ἐπιπονέστατοι. L g P c 〈 ἐργατίνα ι:〉 μοχθηροί. L g 377—80 Γενηταίην ὑπὲρ ἄκρη ν: Γενηταία ἄκρα, κυρίως οὕτω λεγομένη ἀπὸ Γένητος ποταμοῦ, ἔνθα Διὸς Ξενίου ἱερόν ἐστι. καὶ Τιβαρηνοὶ ἔθνος Σκυθικὸν πλησιόχωρον Χαλύβων. Μοσσύνοικοι δὲ ἔθνος καὶ αὐτὸ 〈Σκυθικόν〉 , ἀπὸ τῆς διαγωγῆς τὴν προσηγορίαν ἐσχηκός. μόσσυνοι γὰρ οἱ ξύλινοι οἶκοι λέγονται, οἷς [καὶ αὐτοὶ] ἐχρῶντο· ὅπερ καὶ αὐτὸς αἰνιττόμενος ὑλήεσσαν γῆν αὐτοὺς οἰκεῖν ἔφη. ἀπὸ γοῦν τοῦ μόσσυνος, ὃ λέγεται ὁ ξύλινος οἶκος, ἐκλήθησαν Μοσσύνοικοι. [382]. κάλιν α: ξύλινα. L g (P) 382—85a λισσῇ ἐπικέλσετε νήσ ῳ: τῇ τραχείᾳ καὶ ὑψηλῇ. ἡ δὲ νῆσος καλεῖται Ἀρητιάς. ἐν δὲ ταύτῃ τῇ νήσῳ αἱ Στυμφαλίδες ἦσαν ὄρνιθες, ἀπὸ Στυμφάλου τῆς Ἀρκαδίας πόλεως ὑπὸ Ἡρακλέους διωχθεῖσαι. ἐν ταύτῃ οὖν τῇ νήσῳ, φησί, παντοίᾳ σπουδῇ κατάχθητε· ἐκεῖ γὰρ ὑμῖν ἐπιφανήσεταί τις ὠφέλεια. λισσὴ δὲ ἀντὶ τοῦ ὁμαλή.

160 Ἀμερίας δὲ ἐν Γλώσσαις λισσὸν τὸ ὑψηλὸν ἀποδίδωσιν. ὅτι δὲ ἡ νῆσος αὕτη ὄρνιθας ἔχει τοξευούσας τοῖς πτεροῖς ὡς βέλεσιν, ἱστορεῖ καὶ Εὐριπίδης ἐν Φρίξῳ (fg 838 N. 2 ). b 〈 ἀπειρέσιο ι:〉 πολλοί. L g c ἐφέπουσι ν: διατρίβουσιν. L g P 387a Ὀτρηρὴ καὶ Ἀντιόπ η: Ἀμαζόνων αὗται βασίλει. b 〈 στρατόωντ ο: ...〉 ποίαν δὲ στρατιάν, οὐδεὶς ἐδήλωσεν. 388—91a ἔνθα γὰρ ὔμμι ν: ἐνταῦθα γάρ, ἐν τῇ Ἀρητιάδι νήσῳ, ὑμῖν ὄφελος ἐκ τῆς θαλάσσης ἥξει ἄρρητον, δηλονότι διὰ τὸ ναυάγιον. λέγει δὲ τοὺς Φρίξου καὶ Χαλκιόπης τῆς Αἰήτου θυγατρὸς παῖδας, οἵτινες ἐπὶ τὴν Ἑλλάδα στελλόμενοι διὰ τὸν Ἀθάμαντος κλῆρον, ἐν ταύτῃ τῇ νήσῳ ναυαγήσαντες ἔτυχον ἐπιμελείας παρὰ τῶν ἡρώων καὶ ὁδηγοὶ αὐτοῖς εἰς τὴν Σκυθίαν ἐγένοντο. εἰσὶ δὲ οὗτοι Ἄργος, Μέλας, Κυτίσωρος, Φρόντις. b 〈 ἀδευκέο ς:〉 τῆς ἀπροσδοκήτου, ἀντὶ τοῦ τῆς παρ’ ἐλπίδας ὑμῖν φανείσης. L m c ἀδευκῆ δέ φησι τὴν θάλασσαν, ἤγουν πικράν· δεῦκος γὰρ τὸ γλυκύ. ἄρρητον δέ φησι τὸ ὄνειαρ διὰ τὸ ἀπροσδόκητον τοῦ ναυαγίου. P d τῷ κέ τε φίλα φρο〈νέων 〉 : διό, ἐπεὶ ὠφελήσει ὑμᾶς, εὐνοῶν ὑμῖν κελεύω κατέχειν. e 〈 ἀλλὰ τίη μ ε:〉 ταῦτά φησιν, ἐπεὶ ἔλαθεν ἑαυτὸν τὰ πάντα μέλλων λέγειν—

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τίνες τε εἴησαν οἱ συντευξόμενοι καὶ ὅπερ αὐτοῖς ποιήσουσιν—καὶ παρεκβαίνειν τῶν προαπαγγελθέντων αὐτῷ· ἔφη γὰρ (v.

161 311 sqq.) τὰ πάντα ἀκριβῶς μὴ εἰπεῖν διὰ τὸ μὴ προσκροῦσαι τοῖς θεοῖς πάλιν. διὸ ἑαυτοῦ ἐπιλαμβάνεται. f 〈 ἀλιτέσθα ι:〉 ἁμαρτεῖν. L g g 〈 διηνεκέω ς:〉 καθόλου. L g 392—94a νήσου δὲ προτέρω 〈σε 〉 : μετὰ δὲ τὴν νῆσον καὶ τὴν περαίαν γῆν οἰκοῦσιν οἱ Φίλυρε ς. ὑπεράνω δὲ τῶν Φιλύρων καὶ ἔμπροσθέν εἰσιν οἱ Μάκρωνες, ἔθνος Σκυθικὸν 〈ἢ〉 ἄποικον τῶν Εὐβοέων· ἡ γὰρ Εὔβοια καὶ Μάκρις ἐκαλεῖτο διὰ τὴν θέσιν. b νήσου δὲ προτέ〈ρωσε 〉 : τῆς δὲ νήσου τῆς Ἀρητιάδος ἔμπροσθεν καὶ τῆς κατὰ τὸ ἐναντίον γῆς οἰκοῦσι Φίλυρες, οἳ ἐκλήθησαν ἀπὸ Φιλύρας τῆς Ὠκεανοῦ θυγατρός, γαμετῆς δὲ Κρόνου, μητρὸς δὲ Χείρωνος, ἐνταῦθα διατριψάσης. ἢ οὕτως· μετὰ δὲ τὴν νῆσον 〈καὶ〉 τὴν περαίαν γῆν νέμονται Φίλυρες. c περιώσι α: πολλά. φησὶ δὲ τοῦτο διὰ τὸ εἰς πολλὴν χώραν διεσπάρθαι αὐτούς. d. 〈 φῦλα Βεχείρων κτλ.:〉 ἔθνη Σκυθικά. L g P 395 ἑξείης δὲ Σάπειρες 〈ἐπὶ σφίσι 〉 : ἐπὶ τοῖς Βεχείροις. Σάπειρες δὲ ἔθνος Σκυθικὸν οὕτω κληθὲν διὰ τὸ πολλὴν παρ’ αὐτοῖς γίνεσθαι τὴν σαπφειρίνην λίθον. 396a 〈 Βύζηρε ς:〉 ἔθνος Σκυθικόν. L g b ὁμώλακε ς: ὅμουροι. ὦλακα γὰρ τὴν αὔλακα Δωρικῶς· καὶ Ὅμηρος (N 707) ‘ἱεμένω κατὰ ὦλκα‘. 397—98a ἀρήιο ι: ἤτοι οἱ κατὰ φύσιν πολεμικοὶ ἢ οἱ τῷ Ἄρει φίλοι καὶ ἱεροί. L m (P) b ἀλ λ ’ ἐνὶ νηὶ πείρε 〈 θ ’ 〉 : ἀλλὰ πλεῖτε, φησίν, ἕως ἂν εἰς τὸ μυχώτατον τῆς θαλάσσης ἀφίκησθε.

162 μετὰ γὰρ τὴν Σκυθίαν ἐστὶ τὸ τέλος τῆς θαλάσσης διὰ τὸ διαδέχεσθαι τὴν Μαιώτιδα λίμνην, μεθ’ ἣν ὁ Ἀρκτικός ἐστιν ὠκεανός. L c ἀλλὰ πείρετε, φησίν, καὶ πλέετε, ἤγουν ἕως ἂν τῇ μυχάτῃ καὶ ἐσχάτῃ θαλάσσῃ ἐγχρίμψητε, δηλονότι μέχρις ἂν εἰς τὸν μυχὸν ἀφίκησθε τοῦ Εὐξείνου πόντου· ἐνταῦθα γὰρ καὶ ἡ Σκυθία τελευτᾷ. καὶ τὴν μὲν Σκυθίαν διαδέχεται ἡ Σαρματία, τὸν δὲ Εὔξεινον ἡ Μαιῶτις· περιοικοῦσι δὲ τὴν Μαιῶτιν οἱ Σαρμάται, ὑπὲρ δὲ τοὺς Σαρμάτας ὁ Σαρματικός ἐστι καὶ Ἀρκτικὸς ὠκεανός. P 399—401a Κυταΐδο ς: Κολχικῆς· Κύταια γὰρ πόλις Κολχίδος. ἔστι δὲ καὶ ἑτέρα Κύταια, πόλις τῆς Εὐρώπης, ὁμώνυμος τῇ Σκυθικῇ, κατὰ τὸν εἴσπλουν τοῦ Εὐξείνου· ἐκεῖθεν δὲ τὴν ἀρχὴν λαμβάνει.

163 λέγεται δὲ οὕτως ὀνοματικῶς, ὅθεν Κυταΐδα τὴν Μήδειαν προσαγορεύουσιν. Ἀμαραντῶν δὲ περισπωμένως, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ Καθόλου (I 222, 17 L.). ἔστι δὲ Ἀμαραντὸς πόλις ἐν Πόντῳ· ὡς δὲ αὐτός φησιν, 〈Ἀμαραντὰ〉 ὄρη τῆς Κολχίδος, ἐξ ὧν ὁ Φᾶσις ποταμὸς καταφέρεται. ὅπερ ἀγνοήσας Ἡγέστρατος ὁ Ἐφέσιος Ἀμαραντίους ἀπέδωκε λειμῶνας τοῦ Φάσιδος διὰ τὸ εὐθαλεῖς εἶναι καὶ ἀμαράντους. ὅτι δὲ τὰ Ἀμαραντὰ ὄρη ἐστὶ Κόλχων, ἱστορεῖ Κτησίας ἐν β′ (fg 94 M. Herod. rec. Dind. 1844, App. 106 ). ὁ δὲ Φᾶσις φέρεται μὲν ἀπὸ τῶν Ἀρμενίας ὀρῶν, ὥς φησιν Ἐρατοσθένης (fg III B 75 Berger), ἐκδίδωσι δὲ κατὰ Κόλχους εἰς θάλασσαν. Κίρκαιον δὲ τόπος ἐστὶ τῆς Κολχίδος, ἀπὸ Κίρκης τῆς Αἰήτου ἀδελφῆς, ἢ πεδίον. οὐ δύναται δὲ ἀπὸ τῆς ἑτέρας Κίρκης ὠνομάσθαι. ἐγένοντο γὰρ Κίρκαι δύο, περὶ ὧν ἐν τοῖς ἑξῆς ἐροῦμεν. καὶ Τίμαιος (fg 9 M. I 195) δέ φησι πεδίον ἐν Κόλχοις εἶναι Κίρκαιον. b Κιρκαίοι ο: προπαροξύνεται Κίρκαιον. L g (P) 404—05a ἄλσος τε σκιόει ν: ἀντὶ τοῦ σκιόεν. ὁ δὲ Ἑλλάνικος (4 fg 129 J.

164 ) ἐν τῷ ἱερῷ τοῦ Διός φησι κεῖσθαι τὸ δέρας. τοῦ δὲ ἐν Κόλχοις λεγομένου Ἀρείου πεδίου καὶ τοῦ αὐτόθι Ἄρεως τεμένους μέμνηνται πολλοί. φησὶ δέ, ὅτι τὸ χρυσοῦν δέρας ἀνάκειται ἐν τῷ τοῦ Ἄρεως ἄλσει ἐπί τινος φηγοῦ, φυλασσόμενον ὑπὸ δράκοντος τεραστίου τὸ μέγεθος. τὸ δὲ σκιόειν ἀντὶ τοῦ σκιόεν κατὰ Ἰωνικὴν πρόσθεσιν τοῦ ι . b 〈 τέρα ς:〉 ἀντὶ τοῦ θαῦμα. L g 409 ἀμφασίῃ βεβολημένο ι: οἷον ὑπὸ ἀφασίας ἐκπεπληγμένοι. L g P 413—18a ἀσπαστῶς κεν παρὰ σέ ο: ἡδέως ἂν παρὰ σοῦ μάθοιμι, εἰ καὶ ὑποστρέψαντες ἐκ Κόλχων ἐκφευξόμεθα. b δύο δὲ μάλιστα ἐφίεται ὁ Ἰάσων μαθεῖν παρὰ τοῦ Φινέως· ἓν μέν, πῶς ἂν αὖθις κατὰ τὴν ὑποστροφὴν διαπλεύσαι τὰς Συμπληγάδας· δεύτερον, πῶς ἂν μέχρι τῆς Κολχίδος ἀφίκοιτο διαπλεύσας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοσαύτην θάλασσαν. τὸ δὲ δυσχερὲς τοῦ πλοῦ ἐνέφηνε διὰ τοῦ τὴν Κολχίδα κεῖσθαι ἐπὶ τὰ ἔσχατα τῆς γῆς καὶ τοῦ. Πόντου. P c Αἶα δὲ Κολχί ς: ἡ Αἶα πόλις τῆς Κολχίδος, αὕτη ἐπ' ἐσχάτοις κεῖται τῆς οἰκουμένης. 421—22a ἐπεὶ δαίμω ν: ἐκ δὲ τῆς Αἴας, φησίν, τουτέστιν ἐκ τῶν Κόλχων, θεὸς ὑμῖν καθηγήσεται, καὶ εἰς τὴν Αἶαν πλέουσι πολλοὶ ἔσονται καθόλου πομποί. b ἐξ Αἴη ς: ἄλλος ὑμῖν, φησί, γενήσεται πλοῦς ἐκ τῆς Αἴας. τοῦτο δὲ λέγει, παρόσον οὐ διὰ τῶν Συμπληγάδων ὑποστρέψουσιν. 423—24 ἀλλά , φίλοι , φρά〈ζεσθε〉 : διὰ φροντίδος ἔχετε, φησί, τὴν ἐκ τῆς Ἀφροδίτης δολίαν βοήθειαν. 431—32 τὸ δὲ ὅσσον ἄπωθεν ἤλασαν ἀντὶ τοῦ ὅσον μακρὰν ἐπορεύθησαν. P 434 Δικταίης ἄντρο ν: εἰς τὸ τῆς Κρήτης ὄρος. ἐρίπναι δὲ κατὰ μέν τινας τὰ ἀποθραύσματα τῶν ὀρῶν· κατὰ δὲ τοὺς γλωσσογράφους πάντα τὰ ὄρη ἐρίπναι καλοῦνται.

165 438 ἦ ἄρα δή τι ς: τὸ ἄρα ἠθικῶς ἀντὶ τοῦ ὡς ἔοικε. καὶ ἐν Ὀδυσσείᾳ (ρ 454)· 'οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν'. καὶ Ἡσίοδος (Op. II)· 'οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένοσ', οὐκ ἦν, ὡς ἔοικε, μία Ἔρις. 441—42 εἰ δὲ καὶ ὀφθαλμ〈οῖσι〉 : εἰ δὲ καὶ ἀναβλέψαι θεῶν τίς σε ποιήσειεν, χαρείην ἂν ὅσον [ὡς] εἰ σωθείην εἰς τὴν πατρίδα. L 445 ὑποσμύχοντα ι: ὑποτύφονται, ὅπερ ἐστὶν ὑπὸ πάθους ἠμαύρωνται. ἔστι δὲ ὑποσμύχειν καὶ τὸ ἠρέμα ὑποκαίειν, οἱονεὶ ὑποκέκαυνται. 451—52 〈 οἳ καὶ πρόσθεν ἐ π ' ἤματ ι:〉 οἵτινες συνεχῶς ἤρχοντο πρὸς αὐτόν. τὸ ἑξῆς· φέροντες μέρος τῆς ἰδίας τροφῆς. L m (P) 456—57 σὺν τοῖσι δ ' ἵκανε Παραίβιο ς: ὁ μὲν Ἀπολλώνιος τὸν Παραίβιον φίλον Φινέως εἶναί φησιν, οἱ δὲ ἄλλοι δοῦλον εἶναι πιστόν. οἱ δὲ περὶ τὸν Παραίβιον, φησίν, ἐχάρησαν ἰδόντες τοὺς ἥρωας. 458—60a 〈 αὐτό ς:〉 ὁ Φινεὺς δηλονότι. L g b αὐτὸς γὰρ ὁ Φινεὺς ὑπεμυθήσατο καὶ προεῖπε τῷ Παραιβίῳ τὴν τῶν ἡρώων ἔλευσιν. συνάπτειν μὲν γὰρ δεῖ τὴν ὑπὸ τῷ ἐμυθήσατο, λαμβάνειν δὲ ἀντὶ τῆς πρό· ὥσπερ καὶ τὸ 'ὑπειπών' (Ar. Vesp. 55) ἀντὶ τοῦ προειπών. P c 〈 Θυνίδι γαί η:〉 τὴν περὶ τὸν Βόσπορον χώραν πάλιν (cf. v. 177) Θυνίδα εἶπεν. L m d ὅρα δέ, ὅτι Θυνίδα γῆν εἶπεν, ἐν ᾗ κατῴκει ὁ Φινεύς, ὡς εἶναι μέρος τι Θρᾴκης, ὃ καλεῖται Θυνίς. P 470 μόρο ν: νῦν τὴν τύχην. L g (P) 471—75a εὖτε γὰρ οὖν ὡς πλεῖστα κά〈μοι〉 : ὁ Παραίβιος, φησί, πατρικὴν ἁμαρτίαν ἀποτιννὺς ἀεὶ ἐν ἀπορίᾳ ἦν βίου, καὶ εἰ πλεῖστα μοχθήσειεν.

166 b χρησμοσύν η: ἀπορία, πενία, ἔνδεια. L g (P) 476—83a Ἁμαδρυάδος νύμφη ς: Ἁμαδρυάδας νύμφας Μνησίμαχός (fg 3 M. IV 453) φησι διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι· ἢ ἐπεὶ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι, νύμφαι Ἁμαδρυάδες λέγονται. Χάρων δὲ ὁ Λαμψακηνὸς (fg 12 M. I 35) ἱστορεῖ, ὡς ἄρα Ῥοῖκος, θεασάμενος δρῦν ὅσον οὔπω μέλλουσαν ἐπὶ γῆς καταφέρεσθαι, προσέταξε τοῖς παισὶν ὑποστηρίξαι ταύτην. ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυὶ νύμφη ἐπιστᾶσα τῷ Ῥοίκῳ χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας, ἐπέτρεπεν δὲ αἰτήσασθαι ὅ τι βούλοιτο. ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέσθαι αὐτῇ, ὑπέσχετο δοῦναι τοῦτο· φυλάξασθαι μέντοι γε ἑτέρας γυναικὸς ὁμιλίαν παρήγγειλεν, ἔσεσθαι δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. καί ποτε πεσσεύοντος αὐτοῦ παρίπτατο ἡ μέλισσα· πικρότερον δέ 〈τι〉 ἀποφθεγξάμενος εἰς ὀργὴν ἔτρεψε τὴν νύμφην, ὥστε πηρωθῆναι αὐτόν. καὶ Πίνδαρος δέ φησι, περὶ νυμφῶν ποιούμενος τὸν λόγον (fg 165 Schr.)· 'ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῦσα'. ὁ οὖν τοῦ Παραιβίου πατὴρ ἐκκόπτων δρῦν παρεκαλεῖτο ὑπὸ νύμφης μὴ τεμεῖν αὐτήν· συγγεγεννημένη γὰρ οὖσα ἐὰν ἐκκοπῇ, αἰτίαν αὑτῇ ἔσεσθαι θανάτου.

167 ἀπιθήσαντος δὲ αὐτοῦ νεμεσῆσαι τὸ δαιμόνιον αὐτῷ τε καὶ τοῖς ἐγγόνοις καὶ κακῶν γενέσθαι παραίτιον. b ἀθέριξ ε: ἀντὶ τοῦ ἠμέλησε. L g (P) c 〈 ἥ μι ν:〉 ἥτις αὐτόν. L g d 〈 πρέμνο ν:〉 στέλεχος. L g e νηκερδ ῆ: ἀνωφελῆ. L g (P) f οἶτο ν: τύχην. L g (P) 483—84 ἔγωγε μέν , εὖ τ ' ἀφίκα〈νεν〉 : πρὸς ἐμὲ ὅτε ἦλθε, φησίν, ὁ Παραίβιος μαντευσόμενος καὶ τὴν ἀτυχίαν ἀνεκοινώσατο, ἔγνων αὐτὸν ὑπὲρ τῆς τοῦ πατρὸς ἁμαρτίας δίκην ἀποτιννύντα. 485a λωφήια ῥέξα ι: ἐφ' οἷς λωφήσει καὶ παύσεται ἡ τῆς νύμφης ὀργή, τουτέστι καταπαυστικὰ τῆς ὀργῆς. b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λωφήι α: ἐξιλαστήρια, ἐφ’ οἷς λωφήσει καὶ παύσεται κακούμενος. ‘λωφῆσαι‘ δὲ κυρίως ἐπὶ τῶν ζῴων, τὸ ἀπὸ τοῦ τραχήλου ἄχθος ἀποθέσθαι. καὶ ‘λωφήσων‘ (Aesch. Prom. 27) ἀντὶ τοῦ λήξων, ἀναπαύσων τὸν λόφον τουτέστι τὸν τράχηλον· ἢ ἀναπαυσόμενος. 494 νέον ἤματος ἀνομένοι ο: ὑπὸ τὴν πρωίαν, αὔξησιν τῆς ἡμέρας λαμβανούσης. 495 〈 ἀλέγυνο ν:〉 εὐτρέπιζον. L 498—527a ἦρι δ ’ ἐτησίαι αὖρα ι: οἱ ἐτησίαι ἄρχονται πνεῖν τοῦ ἡλίου ὄντος ἐν Καρκίνῳ περὶ τὴν ἐσχάτην μοῖραν, μέχρις οὗ Λέοντα παρέλθῃ, ὡς καὶ Ἄρατος (Phaen. 151 sqq.)· ‘ἠελίου τὰ πρῶτα συνερχομένοιο Λέοντι, τῆμος καὶ κελάδοντες ἐτησίαι εὐρέι πόντῳ ἀθρόοι ἐμπίπτουσι.

168 ‘ ἐπιφέρει καὶ Ἀπολλώνιος, δι’ ἣν αἰτίαν πνέουσι τῷ θέρει. τοῦ γὰρ κατηστερισμένου Κυνὸς φλέγοντος τὰς Κυκλάδας νήσους καὶ πολὺν χρόνον αὐχμοῦ τε καὶ ἀφορίας οὔσης, οἱ τὴν Κέω κατοικοῦντες ἐκ θεοπροπίου ἐπεκαλέσαντο Ἀρισταῖον τὸν Ἀπόλλωνος καὶ Κυρήνης ἐκ Φθίας. ὁ δὲ παραλαβών τινας ἐξ Ἀρκαδίας ἦλθεν εἰς τὴν Κέω καὶ Διὸς ἱερὸν ἱδρύσατο Ἰκμαίου ἕνεκα τοῦ τοὺς ὄμβρους γίνεσθαι, καὶ τὸν Κύνα ἐξιλάσατο, καὶ ἐνομοθέτησε κατ’ ἐνιαυτὸν τοῖς Κείοις μεθ’ ὅπλων ἐπιτηρεῖν τὴν ἐπιτολὴν τοῦ Κυνὸς καὶ θύειν αὐτῷ. ὅθεν οἱ ἐτησίαι πνέουσι καταψύχοντες τῷ θέρει τὴν γῆν, καὶ αὐχμοῦ ἀπηλλάγησαν οἱ Ἕλληνες. περὶ δὲ τῆς Κυρήνης Πίνδαρος ἱστορεῖ ἐν Πυθιονίκαις (IX), ὡς παρθένος οὖσα μέχρι πολλοῦ συνεκυνήγει τῷ Ἀπόλλωνι. διαπαλαίουσα δέ ποτε λέοντι ἠγαπήθη ὑπὸ Ἀπόλλωνος· ὃς καὶ ἁρπάσας αὐτὴν διεκόμισεν εἰς τὴν νῦν ἀπ’ αὐτῆς καλουμένην Κυρήνην τῆς Λιβύης, καὶ μιγεὶς Ἀρισταῖον ἐποίησεν. Φερεκύδης (3 fg 58 J.) δέ φησι καὶ Ἀρίαιθος (fg 4 M. IV 319), ἐπὶ κύκνων αὐτὴν ὀχηθεῖσαν κατὰ Ἀπόλλωνος προαίρεσιν εἰς τὴν Κυρήνην ἀφικέσθαι, Ἀγροίτας δὲ ἐν α′ Λιβυκῶν (fg 2 M. IV 294) ὑπὸ Ἀπόλλωνος εἰς Κρήτην αὐτὴν κομισθῆναι, ἐκεῖθεν δὲ εἰς Λιβύην. ἀδελφὴ δὲ Κυρήνης Λάρισα, ἧς ὁμώνυμος πόλις ἐν Θεσσαλίᾳ. τινὲς δέ φασι τὴν Κυρήνην Πηνειοῦ θυγατέρα γενέσθαι, κακῶς· ἔνεμεν γὰρ παρ’ αὐτῷ θρέμματα, οὐκέτι δὲ καὶ θυγάτηρ αὐτοῦ ἦν. Μνασέας (fg 39 M. III 156) δέ φησι κατ’ ἰδίαν αὐτὴν προαίρεσιν εἰς Λιβύην ἐληλυθέναι, οὐχ ὑπ’ Ἀπόλλωνος διαχθεῖσαν. Ἀκέσανδρος δὲ ἐν τοῖς Περὶ Κυρήνης (fg 5 M. IV 285) ἱστορεῖ, ἐπ’ Εὐρυπύλου βασιλεύοντος Λιβύης ὡς ὑπὸ Ἀπόλλωνος διακομισθείη ἡ Κυρήνη· λέοντος δὲ τὴν χώραν λυμαινομένου προθείη τὴν βασιλείαν ὁ Εὐρύπυλος ἆθλον τῷ ἀποκτενοῦντι τὸν λέοντα, τὴν δὲ διαχρήσασθαι αὐτόν· παῖδας δὲ αὐτῆς γενέσθαι Αὐτοῦχον καὶ Ἀρισταῖον.

169 φησὶ δὲ αὐτὴν Φύλαρχος (81 fg 16 J.) ἐλθεῖν μετὰ πλειόνων εἰς Λιβύην· τούτων δὲ ἐκπεμφθέντων ἐπὶ τὴν κυνηγίαν τούτοις καὶ αὐτὴν συνεξελθεῖν. τινὲς δ′ Ἀρισταίους γενεαλογοῦσιν, ὡς καὶ Βακχυλίδης (fg 62 B. III 587 = 45 Blass—Snell)· τὸν μὲν Καρύστου, ἄλλον δὲ Χείρωνος, ἄλλον δὲ Γῆς καὶ Οὐρανοῦ, καὶ τὸν Κυρήνης. b ὅτι ἐτησίαι ἔπνευσαν Ἀρισταίου αἰτησαμένου, ὃς ἦν Κυρήνης τῆς Ὑψέως καὶ Ἀπόλλωνος, ἀδελφὸς δὲ Αὐτούχου. ἀλλ’ ὁ μὲν ἐν Λιβύῃ 〈...〉, Ἀρισταῖος δὲ ἐν τῇ Κέῳ εὑρὼν τὰ μελισσουργικὰ πρῶτος καὶ τὴν τοῦ ἐλαίου κατεργασίαν. καὶ κατακαλεσάμενος τοὺς ἐτησίας Ζεὺς Ἀρισταῖος ἐκλήθη καὶ Ἀπόλλων Ἀγρεὺς καὶ Νόμιος. c Κυρήνη πέφαταί τι ς: ὅτι Κυρήνην τὴν Ὑψέως ὁ Ἀπόλλων θεασάμενος παρὰ Πηνειὸν εἰς Λιβύην ἐκόμισεν, ἔνθα ἐμίγη αὐτῇ, ὅπου καὶ Κυρήνη πόλις ἔκτισται, 〈καὶ〉 τὸν Ἀρισταῖον ἐγέννησε, πολλοὶ ἱστορήκασι. λέγουσι δὲ τὴν Κυρήνην οἱ μὲν Πηνειοῦ, οἱ δὲ Ὑψέως τοῦ Πηνειοῦ. L d πέφατα ι: λέγεται, ἱστορεῖται. L g P e Αἰμονίη ς: τῆς Θεσσαλίας, ἀπὸ Αἵμονος υἱοῦ Ἄρεως. f χθονίῃ ς: ταῖς ἐγχωρίαις. L g P g Μυρτώσιον 〈αἶποσ〉 : τόπος περὶ Κυρήνην ἢ ἄκρα. L g P h Ἀγρέα καὶ Νόμιο ν: 〈Ἀγρέα μέν,〉 ὅτι ἐν ἀγρῷ ἐμίγη τῇ μητρὶ αὐτοῦ ὁ Ἀπόλλων· Νόμιον δέ, ὅτι νεμούσῃ τῇ μητρὶ ἐμίγη, οἱ δέ, ὅτι τὴν κατὰ τοὺς ἀγροὺς θεραπείαν τοῖς νομεῦσιν εἰσηγήσατο.

170 i μακραίων α: πολυχρόνιον. L g (P) k καὶ ἀγρότι ν: ὅτι φιλοκύνηγος ἦν. ἱστορεῖται γὰρ καὶ ἐν τῇ Λιβύῃ βασιλεύοντος Εὐρυπύλου χειρώσασθαι λέοντα. l 〈 ἀεξηθέντ ι:〉 αὐξήσαντι. L g m

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκεστορίην τε θεοπρο〈πίασ〉 : ὑπὸ Μουσῶν γὰρ αὐτὸν τὴν ἰατρικὴν καὶ τὴν μαντικὴν δεδιδάχθαι φασὶν καὶ πρὸς γάμον Αὐτονόην λαβεῖν, δηλαδὴ τὴν Κάδμου θυγατέρα. n θέσαν ἤρανο ν: καὶ τῶν ἰδίων ποιμνίων προστάτην αὐτὸν ἐποίησαν αἱ Μοῦσαι. Ἀθαμάντιον δὲ πεδίον οὕτω καλούμενον περὶ τὴν Ἅλον· κατῴκησε γὰρ Ἀθάμας ἐν Ἅλῳ, τῇ νόσῳ τῆς βασιλείας ἐξελθών. o Ὄθρυς ὄρος Θεσσαλίας ὑψηλόν, καὶ ὁ Ἀπιδανὸς δὲ ποταμὸς Θεσσαλίας. p Μινωίδα ς: τὰς Κυκλάδας φησίν, ἐπεὶ Μίνως, Κρὴς ὤν, ἐβασίλευσε τῶν νήσων θαλασσοκρατῶν, ἐξελάσας τοὺς Κᾶρας. q Σείριο ς: ἤτοι παρὰ τὴν ζέσιν, ζείριος καὶ σείριος. ἢ παρὰ τὸ ἐκκενοῦν ἡμᾶς ἱδρῶσι ῥεομένους· σειροῦν γὰρ τὸ κενοῦν.

171 ἢ τοῦ σεσηρέναι αἴτιος· τοὺς γοῦν κύνας σεσηρέναι καὶ διαχάσκειν ποιεῖ. ἢ παρὰ τὸ σείεσθαι καὶ πάλλεσθαι. ὁμοίως δὲ καὶ πάντα τὰ ἄστρα σείρια καλοῦσιν οἷον τείρεά τινα ὄντα καὶ σημεῖα τῶν πλοϊζομένων· οἱ μέντοι ἀστρολόγοι τοὺς ἐν κινήσει ὄντας ἀστέρας λαμπροὺς 〈οὕτω〉 καλοῦσιν. εἶναι δὲ τὸ ἄστρον οἱ μὲν τοῦ Ὠρίωνος κυνός φασιν, οἱ δὲ τῆς Ἠριγόνης, οἱ δὲ τοῦ Ἀλκυονέως, οἱ δὲ τῆς Ἴσιδος, οἱ δὲ Κεφάλου, οἱ δὲ κύριον, ὡς Τιμοσθένης (fg 42 E. A. Wagner Die Erdbeschreibung des T., Diss. Lips. 1888, 73 ) φησίν. r 〈 Κέ ῳ:〉 νῆσός ἐστιν ἡ Κῶς, ὅθεν ἦν Ἱπποκράτης. L g s Παρράσιον λαό ν: Ἀρκαδικόν, ἀπὸ μιᾶς πόλεως, Παρρασίας. L g (P) t Διὸς Ἰκμαίοι ο: ἕνεκα τῆς ἰκμάδος. ἐν τῇ Κέῳ δέ ἐστιν ἱερὸν Διὸς Ἰκμαίου, τουτέστι διύγρου, ἐπεὶ αἴτιος γέγονε τῆς πνοῆς τῶν ἀνέμων. u τοῖο δ ’ ἕκητ ι: τοῦ Διὸς χάριν. L g (P) v ἤματα τεσσαρά 〈κοντα〉 : τὰς τῶν ἐτησίων ἀνέμων ἡμέρας οἱ μὲν μʹ, ἄλλοι δὲ νʹ φασὶν ὡς Τιμοσθένης (fg 7 E.

172 A. Wagner Die Erdbeschreibung des T., Diss. Lips. 1888, 65 ). ἄρχονται δὲ πνεῖν ὄντος τοῦ ἡλίου ἐν τῷ τοῦ Καρκίνου τέλει, πνέουσι δὲ δι’ ὅλου τοῦ Λέοντος καὶ λήγουσιν ἐν διμοίρῳ τῆς Παρθένου. w Κέῳ δ ’ ἔτι νῦν ἱερῆ〈εσ〉 : ἐνομοθέτησε γὰρ τοῖς Κείοις κατ’ ἐνιαυτὸν μεθ’ ὅπλων ἐπιτηρεῖν τὴν ἐπιτολὴν τοῦ Κυνὸς καὶ θύειν αὐτῷ. ὅθεν οἱ ἐτησίαι πνέουσι καταψύχοντες τῷ θέρει τὴν γῆν, καὶ αὐχμοῦ ἀπηλλάγησαν οἱ Ἕλληνες. L 528—29a ὑδέοντα ι: ᾄδονται, λέγονται. L g P b ἀριστῆες δὲ καταῦθ ι: ὑπάρχουσι γὰρ ἐναντίοι οἱ ἐτησίαι τοῖς εἰσπλέουσι τὸν Πόντον, ὄντες βορραῖ κατ’ ἐκείνους τοὺς τόπους, ὥσπερ ἐπὶ τῆς Ἑλλάδος ἐναντίοι εἰσὶν τοῖς ζεφύροις. 531—32 βωμὸν ἁλὸς ῥηγμῖνι πέρη ν: ἐν δὲ τῷ πέραν, φησίν, αἰγιαλῷ τῆς Ἀσίας, διαπλεύσαντες ἐπ’ αὐτόν, βωμὸν τοῖς δώδεκα θεοῖς ἐδομήσαντο. φανερὸν οὖν, ὅτι ἐν τῇ Εὐρώπῃ· καὶ γὰρ ἔτι καὶ νῦν Ἱερόν ἐστιν οὕτω καλούμενον ἐν τῷ πέραν τῆς Εὐρώπης [τῆς Ἀσιάδος]. Τιμοσθένης (fg 28 E. A. Wagner Die Erdbeschreibung des T., Diss. Lips. 1888, 69 ) δέ φησι τοὺς μὲν Φρίξου παῖδας βωμὸν ἱδρύσασθαι τῶν δώδεκα θεῶν, τοὺς δὲ Ἀργοναύτας τοῦ Ποσειδῶνος. Ἡρόδωρος (31 fg 47 J.) δὲ ἐπὶ τοῦ βωμοῦ φησι τεθυκέναι τοὺς Ἀργοναύτας, ἐφ’ οὗ Ἄργος ὁ Φρίξου ἐπανιὼν ἐτεθύκει. εἰσὶ δὲ οἱ δώδεκα θεοὶ οὗτοι· Ζεύς, Ποσειδῶν, Ἅιδης, Ἑρμῆς, Ἥφαιστος, Ἀπόλλων, Δημήτηρ, Ἥρα, Ἑστία, Ἄρτεμις, Ἀφροδίτη καὶ Ἀθηνᾶ.

173 533—36a οὐδὲ πελείη ς: οὐκ ἐπελάθοντο δὲ τῆς περιστερᾶς. τὸ ἑξῆς· ἀλλ’ ἐν τῇ χειρὶ εἶχεν ὁ Εὔφημος. L b δῆμα δὲ γράφεται καὶ δεῖμ α. τῷ μὲν οὖν η γεγραμμένον τὸν δεσμὸν σημαίνει, τῇ δὲ διφθόγγῳ τὸν φόβον. P 538 〈 ἐσσυμένω ς:〉 ἐνταῦθα ἀντὶ τοῦ ῥᾳδίως. G m 541—48a ὡς δ ’ ὅτε τις πάτρη〈θεν〉 : εἴρηται ἡ παραβολὴ παρὰ τὸ Ὁμηρικόν (O 80)· ‘ὡς δ’ ὅτ’ ἂν ἀίξῃ νόος ἀνέροσ‘. ὁ δὲ νοῦς· ὥσπερ δέ, ὅταν τις ἀπὸ τῆς πατρίδος πλανώμενος—οἷα πολλάκις συμβαίνει τοῖς ἀνθρώποις—τοὺς ἰδίους τῇ διανοίᾳ ἐθεάσατο οἴκους, οὐδὲ τὸ μεταξὺ διάστημα πολὺ αὐτῷ φαντασιοῦται εἶναι, ἀλλὰ καὶ πάσας καταφανεῖς τὰς πόλεις, ἅμα τε τοῖς εἰρημένοις ἡ εἰς τὰ οἰκεῖα ὁδὸς ἡ διὰ γῆς τε καὶ θαλάσσης ὑποφαίνεται αὐτῷ καὶ ἄλλοθι ἄλλην ἐκ τοῦ τόπου, ἐν ᾧ ἐστιν, 〈ὀφθαλμοῖσ〉 ἐπέρχεται ταχέως καὶ ἐν κινήσει ὀξείᾳ τὴν διάνοιαν ἔχων, οὕτω ταχέως διῆλθεν ἡ Ἀθηνᾶ τὴν μεταξὺ χώραν καὶ παρεγένετο ἐπὶ τὰς Κυανέας πέτρας. b τὸ μὲν οὖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλώμενος εἰς τὸ ἐνόησεν ἀναφέρειν δεῖ. ἐν δὲ τῷ πλαζόμεθα τετληότες μετάθεσιν ποιητέον, οἷον πλαζόμενοι τέτλαμεν. P c οὐδέ τις αἶα τηλου〈ρόσ〉 : οὐδὲ αὐτῷ πολὺ πάσης διάστημα γῆς φαίνεται. d σφωιτέρου ς: κακῶς ἐχρήσατο τῷ σφωιτέρου ς· ἔδει γὰρ εἰπεῖν σφετέρους. τὸ δέ ἐνόησε δόμους ἀντὶ τοῦ τῇ διανοίᾳ τοὺς ἰδίους οἴκους ἐθεάσατο. e ὑγρὴν δὲ κέλευθον Ὁμηρικῶς τὴν διὰ θαλάσσης νοεῖ, τραφερὴν δὲ τὴν διὰ ξηρᾶς.

174 P f ὀξέα πορφύ〈ρων〉 : πορφύρειν λέγεται τὸ μὴ ἐξ ἐπιπολῆς, ἀλλὰ κατὰ βάθους τι μεριμνᾶν· ἀπὸ τῆς πορφύρας τῆς ἐν βάθει τῆς θαλάσσης εὑρισκομένης. g Ἄξεινον δὲ τὸν Εὔξεινον Πόντον φησὶν οἱονεὶ κακόξεινον, τοῦ α σημαίνοντος τὸ κακόν. πρότερον μὲν γὰρ ὑπὸ ληστῶν περιοικούμενος Ἄξεινος ἐκαλεῖτο, καθαρθεὶς δὲ τὸ μετὰ ταῦτα Εὔξεινος ἐκλήθη. P 550a 〈 ἐεργμένο ν:〉 συνεχόμενον. L g b τὸ δὲ ἐεργμένον παράγεται μὲν ἀπὸ τοῦ εἴργω τὸ κωλύω, σημαίνει δ' ὅμως καὶ τὸ περικυκλούμενον ὡς ἐνταῦθα. P 551—52 δινήεις δ ' ὑπένερθ 〈εν〉 : ὁ ῥοῦς, φησί, δίνας καὶ συστροφὰς ἔχων ῥευμάτων ἀνέκοπτε τὴν ναῦν, καὶ πολὺ εἰς τοὔμπροσθεν προῄεσαν μετὰ φόβου. 553 ἀρασσομένων πετρά〈ων〉 : ἀντὶ τοῦ συγκρουομένων ἀλλήλαις. οὕτω δὲ ἀναγινώσκεται κατὰ τὸ ‘θυρῶν ἀρασσομένων‘. 554a νωλεμέ ς: συχνῶς. L g P b ἁλιμυρέες ἀκτα ί: αἱ ὑπὸ θαλάσσης περιρρεόμεναι ἢ περιρραινόμεναι. 557 θελήμον α: πρόθυμον καὶ ἐπιτεταμένην· οὐ γὰρ τὴν ἡσύχιον ἐνταῦθα σημαίνει. 559 τὰς δ ' αὐτίκα λοίσθιον ἄλλω ν: τοῦτο ἔφη, ἐπεὶ πεπρωμένον ἦν στηρισθῆναι αὐτάς, ἂν διέλθῃ αὐτῶν ἡ ναῦς. 562 προέηκε πελειάδ α: ὅτι διὰ πελειάδος ἐπείρασαν οἱ Ἀργοναῦται τὰς Συμπληγάδας, καὶ Ἀσκληπιάδης ἱστορεῖ ἐν δευτέρῳ Τραγῳδουμένων (12 fg 2a J.

175 ). 568a σπήλυγγε ς: αἱ κοιλάδες αἱ ὑπὸ τὰς πέτρας. b σπήλυγγε ς: σπιλάδες. L g (P) 569—70a ἐβόμβεε ν: ἤχουν. ὅθεν καὶ βομβυλιὸς εἶδος μελίσσης. καὶ ποτηρίου δὲ εἶδος, ὡς Ἀντισθένης (fg 18 Mull. II 276) παραδίδωσιν· ἔστι δὲ τοῦτο στενοτράχηλον. b βομβυλίον ὅπερ τ....ον ἐπικέκληται διακλύστερον. L c λευκὴ καχλάζοντο ς: ποιὸν ἦχον ἀποτελοῦντος. περιέκλυζε τὰς ἐφ' ὕψους ἀκτὰς ὁ τοῦ κύματος ἀφρός. 571—72a νῆα δ ' ἔπειτα πέριξ εἴλει ῥόο ς: περιῆγεν δὲ τὴν ναῦν καὶ περιέστρεφεν ὁ ῥοῦς. b ταίγε δὲ ἀντὶ τοῦ· αὗται αἱ πέτραι ἔκοψαν τὰ ἄκρα τῆς οὐρᾶς πτερά. P 573 τὸ δὲ ἔβραχε τὸ ἐβόησε σημαίνει. P 576—77a πλήμμυρις καὶ πλημμυρίς, διχῶς. ἄμεινον δὲ πλημμυρί ς· τὰ γὰρ ἀπὸ βαρυτόνων ῥημάτων θηλυκὰ ὀνόματα εἰς ις ὀξύνεται· βασιλεύω βασιλίς, πλημμύρω πλημμυρίς. b τὸ δὲ κατένεικε ἀντὶ τοῦ κατήνεγκε τὴν ναῦν εἴσω τῶν πετρῶν. P 579 ἤδη δ ' ἔνθα καὶ ἔνθ α: γενομένων δὲ αὐτῶν μεταξὺ τοῦ στενοῦ ἡ πρόσω καὶ ἡ κατόπιν θάλασσα ἐπεφαίνετο. 580—81a ἀπροφάτω ς: ἀπροοράτως.

176 L g P b κυρτὸν ἀποτμῆγι σκοπ〈ιῇ〉 : ἀνεφάνη δὲ καὶ ἐπήρχετο αὐτοῖς ἀπροόπτως προπάροιθεν ὑψηλὸν καὶ μέγα κῦμα παραπλήσιον ἀπερρηγμένῃ σκοπιῇ ἤτοι ὄρει. c 〈 ἀποτμῆγ ι:〉 ἀπορρωγάδι. L g 582—83a ἤμυσα ν: ἔκλιναν λοξὰς τὰς κεφαλάς, ὡς καλυφθησόμενοι ὑπὸ τοῦ κύματος. b τὸ δὲ κατεπάλμενον τὸ ὑπεραναβὰν σημαίνει, ἀναφέρεται δὲ πρὸς τὸ μέγα κῦμα. P 584—85 ἀλλά μιν ἔφθ η: προέλαβε δὲ ὁ Τῖφυς βαρουμένην τὴν ναῦν τῇ εἰρεσίᾳ, ὑποχαλάσας καὶ ἐνδοὺς αὐτῇ καὶ καταπαύσας τὴν εἰρεσίαν. ἢ βαρυνομένην αὐτὴν αἰσθόμενος, τῇ εἰρεσίᾳ ἀνεχάλασεν. 586—87a ἐκ δ ' αὐτὴν πρύμνη〈θεν〉 : οὕτω, φησίν, ἐπῆρεν τὸ κῦμα τὴν ναῦν, ὡς καὶ ὑπὲρ τὰς πέτρας αὐτὴν γενέσθαι. b 〈 μεταχρονί η:〉 μετέωρος. L g 590—92 ὅσσον δ ' ἂν ὑπείκαθ〈εν〉 : ὁ νοῦς· ὅσον δὲ ἄλλη ναῦς τῇ εἰρεσίᾳ πειθομένη ὑπεῖξεν ἄν, δὶς τοσοῦτον ἡ Ἀργώ· ἵνα διὰ τούτων τὸ τάχος δηλώσῃ τῆς Ἀργοῦς. διὸ καὶ ἐπιφέρει ἐπεγνάμπτοντο δὲ 〈κῶπαι〉 ἠύτε καμπύλα τόξ α, τὸ βίαιον τῆς εἰρεσίας δηλῶν. ἢ οὕτως· ὅσον ἂν εἶξε καὶ ὑπεχώρησε τοῖς ἐρέταις ἡ Ἀργώ, δὶς τοσοῦτον τῇ παλιρροίᾳ ὑπέστρεφε. 594 κύλινδρο ς: κιονίσκος λίθινος στρογγύλος. 595—96a προπροκαταΐγδη ν: εἰς τοὔμπροσθεν ἄνωθεν καταφερομένη. b ἐν δ ' ἄρα μέσσαι ς: ἐν δὲ μέσῳ τῶν Συμπληγάδων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατέσχεν αὐτὴν ὁ ῥοῦς. 598—602a καὶ τό τ ’ Ἀθηναί η: καὶ τότε ἡ Ἀθηνᾶ τῆς πέτρας ἀντελάβετο καὶ κατέσχε τῇ λαιᾷ, τῇ δὲ δεξιᾷ αὐτὴν ἐξέωσεν ἐκ τοῦ στενοῦ· ὅμως δὲ τὰ ἀκροστόλια ἀπέκλασαν αἱ πέτραι. b νωλεμὲς ἐμπλήξα〈σαι〉: βιαίως συμπεσοῦσαι τὰ ἀκροστόλια ἀπέκοψαν.

177 611—12 ἔλπομαι αὐτῇ νη ί: [οἷον δι’ αὐτὴν τὴν ναῦν] οἷον διὰ τῆς νεὼς αὐτῆς. ἢ λείπει ἡ σύν, ὁ δὲ νοῦς· ἐλπίζω, φησίν, ἤδη σεσῶσθαι ἡμᾶς σὺν αὐτῇ τῇ νηί, ἡ δὲ Ἀθηνᾶ τῆς σωτηρίας αἰτία. ταῦτα δέ φησι παραθαρσύνων αὐτούς. 615—17 Αἰσονίδ η , τύνη δ έ: ἐπειδή, φησίν, ἅπαξ ἐφύγομεν τὰς πέτρας, μηκέτι εὐλαβοῦ τὸν θάνατον. 619—20 σεῦε ν: ἀντὶ τοῦ· καὶ εὐθέως παρὰ τὴν Βιθυνίαν κατίθυνεν. L g (P) 622 παρηγορέει ς: παραμυθητικῶς λέγεις. L g (P) 624 χρῆν γὰρ ἐφιεμένοι ο: ἀντὶ τοῦ ἐπιτάττοντος. τὸ δὲ χρῆν ῥῆμά ἐστι· παρ’ αὐτὸ γὰρ καὶ ὄνομα πίπτει τὸ χρῆμα ὡς παρὰ τὸ δρῶ δρᾶμα. ἐπίρρημα γὰρ οὐ δύναται εἶναι, ὅτι οὐδὲν ἐπίρρημα σχηματίζεται. 626 κεδαιόμενο ς: διακοπτόμενος, μεριζόμενος. L g (P) 627—28 ἀτλήτους μελεδῶνα ς: ἀνυποστάτους μερίμνας ἔχω, ἀνυπομονήτους καὶ μεγάλας. στυγέων δὲ ἀντὶ τοῦ δεδοικώς· καὶ Ὅμηρος (Υ 65) ‘τά τε στυγέουσι θεοί περ‘ καὶ αὖθις (Ο 167) ‘τόν τε στυγέουσι καὶ ἄλλοι‘.

178 631 αἰεὶ δὲ στονόεσσα ν: ἀεὶ πρὸς τῇ ἡμέρᾳ καὶ διὰ νυκτὸς τὰς τύχας ὀδύρομαι. Ὅμηρος (χ 195)· ‘νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις.‘ 633 σὺ δ ’ εὐμαρέω ς: εὐχερῶς. ἔνθεν καὶ εὐμαρίς, εἶδος ὑποδήματος, ᾧ εὐχερῶς ἐχρῶντο. 635a εἶ ο: ἀντὶ τοῦ εἰπεῖν ἐμεῖο, τρίτον πρόσωπον ἀντὶ πρώτου. βούλεται δὲ λέγειν, ὅτι ἐμαυτοῦ οὐδὲ τὴν τυχοῦσαν ποιοῦμαι φροντίδα. ἰδίως δὲ ἠβαιὸν τὸ διὰ σμικρότητα βάσιν μὴ ἔχον, ἄβαιόν τι ὄν. b ἀτύζομα ι: φοβοῦμαι. L g P 638—39a οἱ δ ’ ὁμάδησα ν: ὁμοῦ ἀνεφώνησαν, θαρσύνοντες αὐτόν. ὅμαδος δὲ παρὰ τὸ ὁμοῦ ᾄδειν, ὁμόαδός τις ὤν. b 〈 ὁμάδησα ν:〉 ὡμοφώνησαν. G g 640a ἐπιρρήδη ν: φανερώτερον, παρρησιαστικώτερον, οἱονεὶ ἀναφανδόν. b ἐπιρρήδη ν: διαρρήδην. L g P 642 〈 βερέθρω ν:〉 χασμάτων. L g 643 〈ἔτι〉 τάρβος ἀνάψομα ι: ἔτι φόβον περιθήσομαι. L g P 649—50 αἶψα δὲ τοίγε Ῥήβαν ὠκυ〈ρόην〉: ταχέως δὲ κατέλαβον τόν τε Ῥήβαν καὶ τὸν πρὸ τοῦ Ῥήβα σκόπελον κολωνοειδῆ ὄντα. Κολώνη δὲ ἄκρα οὕτω καλουμένη περὶ τὸν Λύκον ποταμόν· μέμνηται αὐτῆς Νύμφις ὁ Ἡρακλεώτης ἐν τῷ Περὶ Ἡρακλείας (fg 6 M. III 13). 652—54a προχοὰς Φυλληίδα ς: Φύλλις ποταμὸς Βιθυνίας. Διψακὸς δὲ υἱὸς τοῦ Φύλλιδος καὶ νύμφης τινὸς ἐγχωρίου· ὃς φρίξον τὸν Ἀθάμαντος ἐξένισεν, ἐπὶ τοῦ κριοῦ ὅτε ἐξέφυγε τὸν θάνατον, μέλλων σφαγιάζεσθαι.

179 φασὶ δὲ ἐκεῖνον σφαγιασθῆναι τῷ Λαφυστίῳ Διί, καὶ μέχρι τοῦ νῦν 〈μὴ ἐξεῖναι〉 ἕνα τῶν Φρίξου ἀπογόνων εἰσιέναι εἰς τὸ πρυτανεῖον, εἰσελθόντα 〈δέ〉 τινα ἀκουσίως 〈θύεσθαι〉 τῷ προειρημένῳ Διί. b υ ἷ ’ Ἀθάμαντο ς: τὸν φρίξον ὑποδέδεκται ὁ Διψακὸς εἰς Κόλχους πορευόμενον. L 658—59 καὶ εὐρείας ποταμοῖο ἠόνα ς: Διονύσιος ὁ Ὀλβιανὸς ἱστορεῖ τὰς εὐρείας ἠόνας λέγεσθαι Ἀχιλλέως δρόμους. 660—61 ὁμῶς δ ’ ἐπὶ ἤματι νύκτ α: ἡμέραν δὲ καὶ νύκτα ὁμῶς ἐν νηνεμίᾳ διῆγον κωπηλατοῦντες. 662 πλαδόωσα ν: ἔνυγρον ἔτι οὖσαν. L g G g P 667 χηλὰς σκηρίπτοντ ε: τοὺς ὄνυχας ἐπερείδοντες, ἐμπείροντες· 〈...〉, ὅθεν καὶ τὸ σκηπάνιον. 668 ὑ π ’ ἐξ ἁλὸς εἷλκον ἐρετμ ά: ἐκ τῆς θαλάσσης ἀνέφερον καὶ ἀνῆγον τὰς κώπας. L 671 ἀμφιλύκην μι ν: σκοτεινήν. λύγη γὰρ ἡ σκοτία, καὶ λυγόφως ἐξ αὐτοῦ καὶ λυκόφως. 672—73 τῆμος ἐρημαίης νήσο υ: περὶ τῆς Θυνιάδος νήσου προείρηται (sch.

180 177)· ἧς μέμνηται Νύμφις ὁ Ἡρακλεώτης (fg 19 M. III 16). φησὶ δὲ αὐτὴν ἑπτὰ σταδίους ἔχειν τὴν περίμετρον. Καλλισθένης δὲ ἐν τῷ Περίπλῳ (124 fg 7 J.) ὑπὸ μὲν Ἑλλήνων φησὶ προσαγορεύεσθαι τήν τε χώραν καὶ τὴν νῆσον Θυνιάδα, ὑπὸ δὲ τῶν βαρβάρων Θυνίαν. 675 Ὑπερβορέων ἀνθρώ〈πων〉: Ὑπερβορέους μὴ εἶναι τελέως φησὶν Ἡρόδοτος (IV 36), ἐπεί, εἰ εἰσὶν ὑπερβόρειοί τινες, πάντως καὶ ὑπερνότιοι. Ποσειδώνιος (87 fg 103 J.) δὲ εἶναί φησι τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὑπερβορέους, κατοικεῖν δὲ περὶ τὰς Ἄλπεις τῆς Ἰταλίας. Μνασέας (fg 24 M. III 153) δέ φησι νῦν τοὺς Ὑπερβορέους Δελφοὺς λέγεσθαι. Ἑκαταῖος (73 B 4 Diels—Kranz) δὲ μέχρι τῶν αὐτοῦ χρόνων εἶναί φησι τὸ τῶν Ὑπερβορέων ἔθνος· ἔστι δὲ αὐτῷ βιβλία ἐπιγραφόμενα Περὶ Ὑπερβορέων. τιμᾶται δὲ παρὰ τοῖς Ὑπερβορέοις ὁ Ἀπόλλων, διὸ καὶ ἐκεῖσε χωρῶν ὤφθη. τρία δὲ ἔθνη τῶν Ὑπερβορέων· Ἐπιζεφύριοι καὶ Ἐπικνημίδιοι καὶ Ὀζόλαι. 684—87a ὀψὲ δὲ τοῖον Ὀρφεύ ς: τὸν Ὀρφέα φασὶ καὶ μάντιν εἶναι. ἐν δὲ τῇ Θυνίδι νήσῳ ἱερόν ἐστιν Ἀπόλλωνος. Ἡρόδωρος (31 fg 48 J.) οὖν φησιν Ἑῷον Ἀπόλλωνα προσαγορεύεσθαι καὶ βωμὸν αὐτοῦ εἶναι ἐν τῇ νήσῳ, οὐ καθὸ ὄρθρου ἐφάνη αὐτοῖς, ἀλλὰ καθὸ οἱ Ἀργοναῦται ὄρθρου εἰς αὐτὴν κατέπλευσαν. b εἰ δ ’ ἄγε δὴ νῆσον μέ ν: τὴν νῆσον, φησί, οὕτω καλέσωμεν, Ἑῴου Ἀπόλλωνος. 695a χερμάσι ν: λίθοις μικροῖς. L g S m (P) b ἐδίνεο ν: ἀνεστρέφοντο. L g (P) c 〈 ἐξερέοντε ς:〉 ἐξερευνῶντες.

181 L g 696 κεμάδω ν: ἡλικία ἐλάφων. L g (P) 699a 〈 εὐαγέω ς:〉 ἁγνῶς. L g b ἀνὰ διπλόα μηρί α: τῶν ἱερείων. διπλόα δέ, ἢ ὅτι δύο εἰσίν, ἢ ὅτι διπλοῦς αὐτοῖς ὑπετίθετο καὶ ἐπετίθετο ἐπίπλους. 702 Ἰηπαιήων ὁ Ἀπόλλων λέγεται ἤτοι διὰ τὸ πέμπειν τὰ βέλη ἢ ὅτι ἰάσεως ὁ θεὸς αἴτιος. LG m (S m )P 703 〈 πάις Οἰάγροι ο:〉 ὁ Ὀρφεύς. L g 704 Βιστονί η: Θρᾳκικῇ. Βίστονες γὰρ ἔθνος Θρᾳκῶν· ὠνομάσθη δὲ ἀπὸ Βιστόνος τοῦ Κίκονος, ὡς Φιλοστέφανος (fg 7 M. III 30). καὶ Βιστονὶς λίμνη Θρᾳκική. 705—11a Δελφύνη ν: τὸ ὄνομα τοῦ δράκοντος οἱ μὲν ἀρρενικῶς, οἱ δὲ θηλυκῶς εἶπον, ὃ καὶ βέλτιον. b ὅτι Δελφύνης ἐκαλεῖτο ὁ φυλάσσων τὸ ἐν Δελφοῖς χρηστήριον, Λεάνδριος (Maeandrii fg 10 M. II 337) καὶ Καλλίμαχος (fg 364 Schn.

182 ) εἶπον· δράκαιναν δὲ αὐτήν φησιν εἶναι, θηλυκῶς καλουμένην Δέλφυναν, αὐτὸς ὁ Καλλίμαχος. c 〈 ἐὼν ἔτι γυμνό ς:〉 ἔτι ἄνηβος ὤν. L g d 〈 ἀδήλητο ι:〉 ἀβλαβεῖς. L g e 〈 τὼς γὰρ θέμι ς:〉 οὕτως γὰρ πρέπον ἐστίν. L g f οἰόθι δ ’ αὐτ ή: μόνη ἐφάπτεται τῶν τριχῶν σου ἡ Λητώ. Κοιογένεια δὲ ἡ ἀπὸ Κοίου τὸ γένος ἔχουσα· Κοίου γὰρ θυγάτηρ ἡ Λητώ. g πολλὰ δὲ Κωρύκιαι νύμφ〈αι 〉 : ἄντρον ἐν Παρνασσῷ Κωρύκιο ν. ὠνομάσθη δὲ Παρνασσὸς ἀπὸ Παρνησοῦ ἐγχωρίου ἥρωος, ὡς Ἑλλάνικος (4 fg 196 J.). Ἄνδρων (10 fg 8 j.) δέ, ἐπεὶ προσωρμίσθη ἡ λάρναξ τοῦ Δευκαλίωνος· καὶ τὸ πρότερον Λαρνασσὸς ἐκαλεῖτο, ὕστερον δὲ κατὰ φθορὰν τοῦ στοιχείου Παρνασσός. Πλεῖστος δὲ ποταμός. τινὲς δὲ ἀναγινώσκουσι Πλειστοῖο προπερισπωμένως, ἐπεὶ καὶ ὑπὸ τῶν ἐγχωρίων λέγεται Πλειστὸς ὡς καλός. ἔστι δὲ ποταμὸς ἐν Δελφοῖς. τὴν δὲ ἀναιρεθεῖσαν δράκαιναν Δέλφυναν καλεῖσθαι θηλυκῶς φησι Λεάνδριος (v. sch. b). h Κωρύκιον ἄντρον ἐν Παρνησσῷ. κέκληται δὲ ἀπὸ νύμφης Κωρυκίας, ἧς καὶ Ἀπόλλωνος παῖς Λυκωρεύς, ἀφ’ οὗ Λυκωρεῖς οἱ Δελφοί.

183 Πλεῖστος δὲ ποταμὸς Δελφίδος. 712—13 θαρσύνεσκον ἔπε〈σσιν 〉 : ὅτε, φησίν, ἐτόξευσε τὸν δράκοντα, ἐπεφώνουν αἱ νύμφαι τῷ βάλλειν αὐτόν ‘ἵη ἵη βέλοσ‘· ἐξ οὗ τὸ ἐφύμνιον ἐγένετο ἰηπαιήων. 714 χορείῃ μέλψαν ἀοιδ ῇ: τῇ μετὰ χοροῦ λεγομένῃ ᾠδῇ. 715—19a λοιβαῖς εὐαγέεσσι ν: ὤμοσαν, φησίν, ὁμονοήσειν ἀλλήλοις· ὅθεν καὶ Ὁμονοίας θεᾶς ἵδρυται ἱερόν. b κυδίστη ν: ἀντὶ τοῦ κρατίστην θεῶν Ὁμόνοιαν τιμῶντες· πορσαίνοντες γὰρ ἀντὶ τοῦ τιμῶντες. γράφεται καὶ κικλήσκοντε ς . 722 ποταμοῦ στόμα Σαγγα〈ρίοιο 〉 : Σαγγάριος ποταμὸς Φρυγίας. ὁ δὲ Μυρλεανὸς (Asclepiadis fg 3 M. III 300) Σάγγαρον αὐτὸν λέγεσθαί φησιν. Ἑρμογένης δὲ ἐν τῷ Περὶ Φρυγίας (fg 1 M. III 524) φησὶν Σάγγαν τινὰ ἀσεβήσαντα περὶ τὴν Ῥέαν μεταβαλεῖν εἰς τοῦτο τὸ ὕδωρ, καὶ ἀπ’ αὐτοῦ τὸν ποταμὸν Σαγγάριον ὀνομασθῆναι. πλησίον δὲ αὐτοῦ Ὀρείας Μητρὸς ἱερόν ἐστιν, ὥς φησι Ξάνθος (fg 7 M. I 37). 723 καὶ Μαριανδυνῶν ἀνδ〈ρῶν 〉 : οἱ Μαριανδυνοὶ ὅμοροι τοῖς Παφλαγόσι, προσηγορεύθησαν δὲ ἀπὸ Μαριανδυνοῦ τοῦ Κιμμερίου παιδός. 724 Λύκοιο ῥέεθρ α: Λύκος ποταμὸς ὁμώνυμος τῷ βασιλεῖ, ῥεῖ δὲ διὰ τῆς τῶν Μαριανδυνῶν χώρας.

184

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀνθεμοεισίδα δὲ ἀπὸ Ἀνθεμοεισίας τῆς Λύκου μὲν θυγατρός, γυναικὸς δὲ Δασκύλου τοῦ Ταντάλου υἱοῦ. 727—28 ἠῶθεν δ ’ ἀνέμοιο 〈διὰ〉 κνέ〈φασ〉 : νυκτὸς δέ, φησί, τοῦ ἀνέμου λήξαντος, περὶ τὸν ὄρθρον εἰς τὸν περὶ [εἰς] τὴν Ἀχερουσίαν ἄκραν [εἰς] ὅρμον κατήχθησαν. L 729—35a ἣ μέν τε κρημν〈οῖσιν〉 : ὅτι ἡ περὶ Ἡράκλειαν Ἀχερουσιὰς καλουμένη πανταχόθεν ἐκ θαλάσσης ἐστὶν ὑψηλή τε καὶ ἀπόκρημνος καὶ νένευκεν εἰς δυσμὰς εἰς τὸ πρὸ τῆς Βιθυνίας πέλαγος, καὶ ὅτι προσπῖπτον αὐτῇ τὸ κῦμα σφοδροὺς ἀποτελεῖ ἤχους, καὶ περὶ τῶν ἐπ’ ἄκρας αὐτῆς πεφυκυιῶν πλατάνων καὶ τοῦ ἐπ’ αὐτῇ πεδίου, καὶ ὅτι δοκεῖ κατάβασις εἰς Ἅιδου ὑπάρχειν, Νύμφις ἐν τῷ Περὶ Ἡρακλείας α′ (fg 2 M. III 13) φησί· παρ’ οὗ Ἀπολλώνιος ἔοικε ταῦτα μεταφέρειν. b 〈 δερκομέν η:〉 γράφεται κεκλιμέν η. L g c λισσάδε ς: ἀντὶ τοῦ ὑψηλαί, ἀνάντεις. L g P d λισσάδες ἐρρίζ〈ωνται〉 : ἐν βάθει τεθεμελίωνται. e ἀμφιλαφεῖ ς: ἀνθηραί, μεγάλαι καὶ περίοπτοι. f ἐκ δ ’ αὐτῆς εἴσ ω: κατὰ τὸ πρὸς ἤπειρον δὲ καὶ μεσημβρίαν μέρος τῆς Ἀχερουσίας ἄκρας τὸ Ἀχερόντιον σπήλαιόν ἐστι καὶ τὸ χάσμα τὸ κατὰ γῆς. g τὸ δὲ ὕπαιθα τὸ ἔμπροσθεν καὶ ἐκ πλαγίου σημαίνει. P 736—38a ἐπηρεφέ ς: ἀντὶ τοῦ σύσκιον. φησὶ δέ, ὅτι πνεῦμα καὶ ψυχρά τις αὔρα ἀναφέρεται ἐκ τοῦ στομίου καὶ διὰ τοῦτο κύκλῳ περιπεπάχνωται. b πηγυλί ς: παγετώδης, ψυχρά.

185 L g G g (S m )P 739 ἰαίνετα ι: διαλύεται, τήκεται. L g G g S m (P) 740—42a σιγὴ δ ’ οὔποτ ε: φησίν, ὅτι καὶ διὰ τῶν δένδρων καὶ διὰ τῶν κυμάτων ἦχον καὶ ψόφον ἀποτελεῖ καὶ οὐδέποτε ἡσυχίαν ἔχει. L b βλοσυρὰν δὲ ἐνταῦθα τὴν λαμπρὰν ἴσως σημαίνει. P c 〈 τινασσομένω ν:〉 κινουμένων. L g 743—49a ἔνθα δὲ καὶ προχοα ί: φησίν, ὅτι καὶ ὁ Ἀχέρων Σοωναύτης λέγεται καὶ ὅτι ἐκ τῆς Ἀχερουσίας ἄκρας φέρεται διά τινος φάραγγος εἰς τὴν πρὸς ἀνατολὰς θάλασσαν. b 〈ἀν〉ερεύγετα ι: καταρρεῖ. L g P c Σοωναύτη ν: οἱ τὴν Ἡράκλειαν κατοικήσαντες Μεγαρεῖς, ὅτε εἰς τὴν ἀποικίαν ἔπλεον, χειμασθέντες εἰς τὸν Ἀχέροντα ποταμὸν κατέφυγον· ὅθεν καὶ διασωθέντες οἱ. ναῦται Σοωναύτην ἐκάλεσαν αὐτόν. οὗτοι δὲ οἱ Ἡρακλεῶται Μεγαρέων εἰσὶν ἄποικοι καὶ Βοιωτῶν, καὶ Μαριανδυνῶν κατοικοῦσι χώραν. d Σοωναύτης ποταμὸς περὶ Ἡράκλειαν, οὕτως ὠνομασμένος, ἐπειδὴ πάντας τοὺς ναυτιλλομένους διασώζει ἀπαθεῖς ἔχων καὶ ἠρεμαίους λιμένας. e χρίμψαντα ς: ἐμπεσόντας. L g (P) 750—51a τῇ ῥ ’ οἵ γ ’ αὐτίκα νη ί: διὰ τῆς ἄκρας τῆς Ἀχερουσίας εἰς αὐτὸν καθορμισθέντες. b εἴσωπο ί: ἐναντίοι, ἐσώτεροι γενόμενοι. L g (P) c 〈 νέο ν:〉 νεωστί. L g P 752 οὐ δ ’ ἄρα δηθὰ Λύκ〈ον〉 : Λύκον φησὶ τότε Μαριανδυνῶν βασιλεύειν, ὃς διὰ τὸ πρὸς τοὺς Βέβρυκας καὶ Ἄμυκον ἔχθος φιλοξένως τοὺς Ἀργοναύτας ὑπεδέξατο.

186 φασὶ δὲ αὐτὸν υἱὸν εἶναι Δασκύλου τοῦ Ταντάλου καὶ Ἀνθεμοεισίας τῆς Λύκου τοῦ ποταμοῦ, ὡς μαρτυρεῖ καὶ Νύμφις ἐν τῷ α′ τῆς Ἡρακλείας (fg 5 M. III 13) καὶ Ἡρόδωρος (31 fg 49 J.), παριστορῶν 〈...〉. ὑπεδέξατο δὲ τοὺς ἥρωας, ὥς τινες, διὰ τὴν πρὸς τὸν Πέλοπα τὸν θεῖον αὐτοῦ τιμήν. 754a αὐθένται Ἀμύκ〈οιο〉 : συλληπτικῶς εἶπεν φονέας Ἀμύκου τοὺς ἥρωας, καίτοι Πολυδεύκους μόνου τοῦτο δεδρακότος. αὐθέντης δὲ λέγεται ὁ δι’ ἑαυτοῦ ἐπί τινος φόνον ἱέμενος, οἷον αὐτοέντης τις ὤν. b 〈 αὐθέντα ι:〉 οἱ φονευταί. L g G g S m c 〈 κατὰ〉 κλέος 〈 , ὃ πρὶν ἄκουον〉 : κατὰ τὴν διαδεδομένην φήμην. L g (P) 755a ἀρθμό ν: φιλίαν. L g (P) b 〈 ἀρθμό ν:〉 συμβίβασιν. S m 758 ἀντιβίην Βέβρυξ〈ιν〉 : ἐχθροὶ ἀεὶ ἐγένοντο οἱ Μαριανδυνοὶ τῶν Βεβρύκων. ἡττήθησαν δὲ πολλάκις ὑπ’ αὐτῶν, 〈...〉 καὶ ὁ ἀδελφὸς αὐτοῦ Πριόλας συλληφθεὶς ὑπὸ τοῦ Ἀμύκου ἀνῃρέθη. ὕστερον δὲ προσλαβόμενος Ἡρακλέα σύμμαχον πρὸς Ἀμαζόνας στρατευόμενον ἐξ εὐχεροῦς περιεγένετο τῶν Βεβρύκων. τινὲς δὲ τὸν Πριόλαον υἱὸν αὐτοῦ καὶ οὐκ ἀδελφὸν ἱστοροῦσιν. 763 〈 σφωιτέρω ν:〉 ἀντὶ τοῦ σφετέρων. L m 765 ὅσσα τε Κύζικο ν: Κύζικον τὴν πόλιν τῶν Δολιόνων φησίν, οὐ τὸν βασιλέα. L 767 Γλαύκοιό τε βάξι ν: ὁ Γλαῦκος παρὰ τοῖς Ἴβηρσι τιμᾶται Γέρων καλούμενος. ἔστι δὲ ἄκρα Γλαύκου ἐκεῖ καλουμένη. 770 〈 ἀβόλησα ν:〉 ἐνέτυχον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

187 S m 771 〈 ὁ δ’:〉 ὁ Λύκος. S m 775 〈 πείρε τ’:〉 πειρᾶτε. S m 777—79 ὅτε δεῦρο δ ι ’ Ἀσίδος ἠπ〈είροιο 〉 : τῆς Λυδίας λέγει. Ἀσία γὰρ τὸ πρότερον ἐκαλεῖτο ἡ Λυδία. καὶ Ὅμηρος (B 461)· ‘Ἀσίῳ ἐν λειμῶνι‘. καὶ ἡ κιθάρα Ἀσία λέγεται, ἐπεὶ ἐν Λυδίᾳ πρῶτον εὑρέθη. τὸ δὲ πεζὸς ἔβ η· ἀκολούθως τῷ μύθῳ πεζὸν τὸν Ἡρακλέα φησὶν ἐπὶ τὸν ζωστῆρα τῆς Ἱππολύτης ἀπελθεῖν, δηλαδὴ διὰ τὸ τὰς Συμπληγάδας πέτρας 〈ἔτι〉 τότε συντρέχειν. ἆθλος δὲ ἦν οὗτος ἔνατος. πολλοὶ δὲ λόγοι περὶ τοῦ ζωστῆρός εἰσιν· τινὲς μὲν γὰρ Ἱππολύτης, ἄλλοι δὲ Δηιλύκης, Ἴβυκος (fg 45 B. III 249) δὲ ἰδίως ἱστορῶν Οἰολύκης τῆς Βριάρεω θυγατρός φησιν. 780—83a ἔνθα δ ’ ἐπὶ Πριόλα〈ο 〉 : φησίν, ὅτι, ἡνίκα Ἡρακλῆς ἐπὶ τὸν Ἱππολύτης ἐπορεύετο ζωστῆρα, κατέλαβε Μαριανδυνοὺς ὑπὸ Βεβρύκων καταπονουμένους. ἐπιστρατεύσας δὲ μετὰ Μαριανδυνῶν ἐχειρώσατο τοὺς πολεμίους. πεσόντος δὲ ἐν τῇ μάχῃ Πριολάου τοῦ Μαριανδυνῶν ἡγουμένου ἀγὼν ἐπιτάφιος ἐτέθη ἐπ’ αὐτῷ, ἐν ᾧ Ἡρακλῆς ἐνίκησεν 〈Τιτίαν〉 ἕνα τῶν Μαριανδυνοῦ. Πριόλας δὲ ἀδελφὸς Λύκου, ἀφ’ οὗ καὶ ἡ πόλις, υἱὸς δὲ ἦν Τιτίου. τὸν δὲ Τιτίαν οἱ μέν φασι Διὸς παῖδα, ἕνα τῶν Ἰδαίων Δακτύλων, οἱ δὲ τὸν πρεσβύτατον τῶν Μαριανδυνοῦ. ὁ δὲ Μαριανδυνὸς Φινέως ἢ Φρίξου ἢ Κιμμερίου λέγεται παῖς εἶναι. ἀπὸ δὲ Τιτίου φασὶ Τίτιον τὴν πόλιν κληθῆναι. b ἔνθα δ ’ ἐπὶ Πριόλ〈αο 〉 : ἰδίως τὸν θρηνούμενον Πριόλαόν φησι, τῶν ἄλλων Βώριμον λεγόντων τὸν Τιτίου υἱόν, ὡς Νύμφις (fg 9 M.
188 III 14) καὶ Καλλίστρατος (fg 1 M. IV 353). c ἐλέγοισι ν: θρήνοις· τὰ γὰρ ἐλεγεῖα ἐπὶ ἐπιτυμβίοις ἐχρῶντο οἱ παλαιοί. d 〈 ἀθλεύω ν:〉 Ἡρακλῆς. S m 786—87a αὐτὰρ ὁμοῦ Μυσοῖσι ν: τὸ ἑξῆς· ὁ Ἡρακλῆς τῷ ἐμῷ πατρὶ Δασκύλῳ ὑπέταξεν ὁμοῦ Μυσοὺς καὶ Φρύγα ς. τινὲς γράφουσι Μυγδόνας, ἵνα ᾖ· ὁμοῦ Μυσοὺς καὶ Μυγδόνας ὑπέταξε τῷ πατρί μου. ὅτι δὲ Φρύγας ἐχειρώσατο τοῖς Μαριανδυνοῖς, καὶ Νύμφις (fg 3 M. III 13) ἱστορεῖ. διὸ καὶ οὕτω γράφεται. εἰ δὲ γράφοιτο Μυγδόνας, ἤτοι τοὺς Βέβρυκας ἀπὸ Μυγδόνος βασιλέως αὐτῶν οὕτω κέκληκεν, ἢ ῥητέον, ὅτι Μοίριδι κατηκολούθησεν· οὗτος γὰρ Μυγδόνας ἔφησε καταπολεμῆσαι τὸν Ἡρακλέα. b 〈 ὑπὸ πατρ ί: γράφεται〉 ὑπὸ δουρ ί. L g 789—91a ἔσ τ ’ ἐπὶ Ῥηβαίου προχ〈οάσ 〉 : τὴν μὲν Παφλαγονίαν μέχρι τοῦ Βιλλαίου ποταμοῦ κατεστρέψατο πᾶσαν· οὗτος δὲ ὁ ποταμὸς διὰ τῆς ἐπικειμένης Φρυγίας ῥέων ἐξίησι παρὰ τὴν τῶν Τιανῶν πόλιν· ἐκ δὲ τούτου πρὸς δυσμὰς ἕως τοῦ Ῥήβα καὶ τοῦ ἐπικειμένου σκοπέλου κατὰ τὴν ἐκβολὴν τούτου 〈...〉. ὅτι δὲ τοὺς Παφλαγόνας ὑπέταξεν Ἡρακλῆς τοῖς περὶ Λύκον, ἱστορεῖ Δεινίας ἐν α′ Ἀργολικῶν (fg 1 M.
189 III 24) καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς ἐν ι′ Βιθυνιακῶν (fg 2 M. III 300). b Βιλλαῖος προπερισπωμένως. οὕτω φησὶν Ἡρωδιανὸς ἐν τῷ ε′ τῆς Καθόλου (I 132, 19 L.). ἔστι δὲ ποταμὸς Παφλαγονίας, οἱ δὲ Φρυγίας. 794—95a δὴν ἀποτεμνόμενο ι: ἐπὶ πολὺ ἀφαιρούμενοι. L g P b ὄφ ρ ’ ἐβάλοντ ο: φησίν, ὅτι οἱ Βέβρυκες πολὺ ἀπετάμοντο τῆς Μαριανδυνῶν χώρας καὶ μέχρι τοῦ Ὑπίου ποταμοῦ προηγάγοντο τοὺς ὅρους. ᾤκισται δὲ παρὰ τῷ ποταμῷ ἐν τῇ Θυνίᾳ καὶ πόλις Ὑπία λεγομένη. ὁ δὲ Ὕπιος ὠνόμασται ἀπὸ τοῦ καταφέρεσθαι ἀπὸ τῶν Ὑπίων ὀρῶν. εἰαμενὰς δὲ λέγει τοὺς καθύγρους τόπους. 796—98 ἐπελάσσαι ἄρη α: ἐπαγαγεῖν. οὐ χωρὶς θεῶν, φησί, προνοίας, ὦ Πολύδευκες, ἐκείνῃ τῇ ἡμέρᾳ ἀπέκτεινας τὸν Ἄμυκον. L 799 ἄρκιο ς: ἱκανός. L g P 800a τίσ ω: ἀποδώσω. L g (P) b 〈 προφρονέω ς:〉 ἑτοίμως. L g c 〈 ἠπεδανοῖσι ν:〉 ἀσθενέσι. L g 801 ὀφέλλει ν: εὐεργετεῖν. L g P 804a 〈 διὲξ ἁλό ς:〉 γράφεται διαμπερέ ς. G g b ἀντιάοιτ ε: περιτύχοιτε. L g (P) 806—07 νόσφι δὲ Τυνδαρίδαι ς: χωρὶς δὲ τούτου τοῖς Τυνδαρίδαις, τουτέστι τοῖς Διοσκούροις, ἱερὸν ἱδρύσομεν ἐπὶ τῆς Ἀχερουσίας ἄκρας. 809—10 πίονας εὐαρότοι ο: ἀντὶ τοῦ· τέμενος πρὸ τῆς πόλεως ἀπομερίσω αὐτοῖς. L 811a ὣς τότε μέ ν: οὕτως τότε δι’ ὅλης ἡμέρας περὶ τὴν εὐωχίαν ἐτέρποντο καὶ ἔπαιζον.
190 L b 〈 ἐψιόωντ ο:〉 ὡμίλουν. G g (P) c 〈 ἐψιόωντ ο:〉 ἔλεγον. S m 812a ἐγκονέοντε ς: ἐνεργοῦντες. ὅθεν καὶ γόνυ οἷον κόνυ τι ὄν, παρὰ τὸ ἐνεργεῖν δι’ αὐτοῦ. b 〈 ἐγκονέοντε ς:〉 ἀγωνιζόμενοι. S m 815 ἔνθα δ ’ Ἀβαντιάδη ν: περὶ τοῦ Ἴδμονος ἐν Μαριανδυνοῖς γενομένου

θανάτου καὶ Ἡρόδωρος (31 fg 50 J.) ἱστορεῖ [ἐν τοῖς Περὶ Ἡρακλείας]· καὶ Προμαθίδας (fg 2 M. III 201) εἶπε καὶ Νύμφις ἐν τοῖς Περὶ Ἡρακλείας (fg 7 M. III 13), ὡς ὁ Ἴδμων ὑπὸ συὸς ἐπλήγη. 817 ἐπεὶ χρεὼ ἦγε δαμῆ 〈ναι 〉 : ἡ χρεία, ἡ εἱμαρμένη. 818 δονακώδεο ς: ὑλώδους. L g (P) 819 ψυχόμενο ς: ψυχιζόμενος, τῷ ψυχρῷ βρεχόμενος. 821 ἑλειονόμο ι: αἱ ἐν τοῖς ἕλεσι διατρίβουσαι. 822a 〈 οἶο ς:〉 μόνος. L g b τῖφο ς: ὁ ἑλώδης τόπος. LG g P 823a ἀνὰ θρωσμού ς: ἀντὶ τοῦ κατὰ τὰς ἀναβολὰς καὶ ἀναβάσεις καὶ ἀνόδους. b 〈 θρωσμού ς:〉 πηδήματα. S m 824a 〈 νίσσε τ':〉 ἤρχετο. L g b ἀφράστοι ο: ἀπροσδοκήτου. L g (P) 826 〈 ἀίγδη ν:〉 ὁρμητικῶς.

191 L g 828 ὀρέξατ ο: ἔτεινεν. L g (P) 829 αἰγανέη ν: ἢ παρὰ τὸ ἄγαν ἵεσθαι, ἢ διὰ τὴν ἀγκύλην τὴν ἐξ αἰγείου δέρματος γεγενημένην, ἢ διὰ τὰς αἶγας, παρὰ τὸ ἐπ' αὐτὰς νεῖσθαι. 830 ἐν δὲ τῷ καπρίου νοεῖται ἡ κατά. P 831 θο ῷ: τῷ ὀξεῖ. L g P 833 ψυχορραγέοντ α: ἀποψυχοῦντα. L g (P) 836 κηδεί η: τῷ πένθει τῷ περὶ τοῦ νεκροῦ. L m (P) 838 μεγαλωστ ί: μεγαλοπρεπῶς. L g P 843 νηίου ἐκ κοτίνοι ο: κότινός ἐστιν ὁ ἀγριέλαιος, ἀλλὰ καὶ ἡ ἄκαρπος ἐλαία, φάλαγξ δὲ τὸ ἐπίμηκες καὶ στρογγύλον ξύλον. πολλὰς δὲ τοιαύτας εἶχον φάλαγγας οἱ ἀριστεῖς πρὸς τὰς νεωλκίας, ἀφ' ὧν ἐπὶ τῷ τοῦ Ἴδμονος τάφῳ κατὰ παραίνεσιν τοῦ Ὀρφέως μίαν λαβόντες προσέπηξαν, ἥτις βλαστήσασα ἔτι καὶ νῦν δείκνυται. περὶ ταύτην δὲ τὴν Ἡράκλειαν ἔκτισαν. 844—47a χρειὼ ἀπηλεγέω ς: εἰ δέ με, φησί, καὶ τοῦτο δεῖ ἁπλῶς καὶ κατὰ ἀλήθειαν ἐξειπεῖν· οὗτός ἐστιν ὁ Ἴδμων, ὃν ἐχρησμῴδησεν ὁ θεὸς ἐξιλάσκεσθαι Μεγαρεῦσι καὶ Βοιωτοῖς, ὅτε τὴν Ἡράκλειαν ἔμελλον κτίζειν. τοῦτο δὲ ἔφη ὁ Ἀπολλώνιος ὡς μὴ εἰδότων τῶν Ἡρακλεωτῶν, τίς εἴη ὁ τεθαμμένος παρ' αὐτοῖς καὶ χρησμῳδηθεὶς εἶναι πολιοῦχος ὑπὸ τοῦ θεοῦ. λέγει δὲ καὶ Προμαθίδας (fg 3 M. III 201), ὅτι, διὰ τὸ ἀγνοεῖν ὅστις εἴη, Ἀγαμήστορα ἐπιχώριον ἥρωα καλοῦσιν οἱ Ἡρακλεῶται. ὅτι δὲ Βοιωτοὶ καὶ Μεγαρεῖς ἔκτισαν τὴν ἐν Πόντῳ Ἡράκλειαν, καὶ Ἔφορος ἐν ε' (70 fg 44a J.) καὶ ἄλλοι ἱστοροῦσιν. b γηρύσασθα ι: εἰπεῖν. L g P c ἐπιρρήδη ν: ὅτι ἐπικαλεῖν αὐτὸν πολιοῦχον ὁ θεὸς προσέταξεν.

192 L d τὸ δὲ ἐπιρρήδην τὸ διαρρήδην καὶ φανερῶς σημαίνει. P 848—50a ἀμφὶ δὲ τήνδε φάλ 〈αγγα 〉 : περὶ γὰρ τὸν ἀγριέλαιον τὸν ἐπιπεφυκότα τῷ Ἴδμονος τάφῳ ἐθέσπισεν ὁ θεὸς τοῖς Μεγαρεῦσι καὶ Βοιωτοῖς τὴν πόλιν κτίσαι, λέγει δὲ τὴν Ἡράκλειαν· ἐν γὰρ τῇ ἀγορᾷ τῶν Ἡρακλεωτῶν ὑπάρχει ὁ τάφος, ὥς φησιν Ἡρόδωρος (31 fg 51 J.), ἐφ' οὗ ἐστιν ἀγριέλαιος. b οἱ δ ' ἀντὶ θεουδέο ς: ὅτι τὸν τάφον τοῦ Ἀγαμήστορος λέγουσί τινος ἥρως ἐπιχωρίου. 854 Ἁγνιάδην Τῖφυ ν: ὅτι ἐν τῇ Ἡρακλείᾳ τέθνηκεν καὶ ὁ Τῖφυς, εἶπε Νύμφις (fg 8 M. III 13). Ἡρόδωρος (31 fg 54 J.) δέ φησιν, ὅτι οὐκ ἀπιόντων εἰς Κόλχους τέθνηκεν ὁ Τῖφυς, ἀλλ' ὑποστρεφόντων. 857 εἰσό τ ' Ἀβαντιάδ 〈αο 〉 : ἐν ὅσῳ ἔθαψαν τὸν Ἴδμονα, ἐν τοσούτῳ καὶ ὁ Τῖφυς νοσήσας ἐτελεύτησεν. 858 κῆδο ς: λύπην. L g (P) 859—60 παρασχεδό ν: ἀντὶ τοῦ ἐν τῷ μεταξύ. L g P 862—63 κατήμυσαν δ ' ἀχέεσσ ι: ἐστύγνασαν, ταῖς λύπαις κατεκλίθησαν, ὅτι ἀπηλπίκεισαν τὴν σωτηρίαν παντάπασιν. 865—72a Ἴμβρασος ποταμὸς Σάμου ὁ πρότερον Παρθένιος λεγόμενος, ὡς καὶ Καλλίμαχος (fg 213 Schn.)· 'ἀντὶ γὰρ ἐκλήθης, Ἴμβρασε, Παρθενίου.' b Ἀστυπάλαι α: ὅτι Ποσειδῶνος καὶ Ἀστυπαλαίας τῆς Φοίνικος ὁ Σάμιος Ἀγκαῖος ἦν παῖς, ὃς ἐκυβέρνα τὴν ναῦν μετὰ τὴν Τίφυος τελευτήν, καὶ Σιμωνίδης ὁ γενεαλόγος (8 fg 2 J.) ὁμοίως τῷ Ἀπολλωνίῳ γενεαλογεῖ. c Ἀστυπάλαι α: ὄνομα νύμφης. L g (P) d περιπρὸ γὰρ εὖ ἐκέ 〈καστο 〉 : ἀντὶ τοῦ διαφερόντως. e Παρθενία δὲ ἡ Σάμος ἐκαλεῖτο.

193 ἐκέχρητο γὰρ πολλοῖς ὀνόμασι· καὶ γὰρ Μελάνθεμος καὶ Παρθενία καὶ Ἀνθεμοῦσσα ἐκαλεῖτο. 873 〈 το ι:〉 μοι. L g 875 〈οὔτισ〉 ἰάψε ι: οὐδεὶς διαφθερεῖ τὸν πλοῦν. L m (P) 878 ὀρέξατ ο: ὄρεξιν ἔλαβε καὶ οἷον πρόθυμος ἐγένετο. 888 κατηφήσαντε ς: δυσανασχετοῦντες. L m (P) 889 τῷ καὶ ὁμοῦ φθιμένοι ς: διὸ καὶ σὺν τοῖς ἀπολλυμένοις καὶ αὐτὸς προορῶμαι τὴν ἀπώλειαν. L m (P) 895 ἐτράπε θ': μετέπεσε καὶ μετετράπη εἰς εὐελπιστίαν ὁ Ἀγκαῖος. L m P 896 〈 Ἐργῖνο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ς:〉 Ἡρόδωρος (31 fg 55 J.) Ἐργῖνόν φησι κυβερνῆσαι τὴν Ἀργὼ μετὰ τὸν θάνατον Τίφυος. 901 〈 Ἀχέροντα διεξεπέρησα ν:〉 διὰ τοῦ Ἀχέροντος ἐξήλασαν ποταμοῦ. ἔτυχον γὰρ μέχρι ε′ σταδίων ἀναπλεύσαντες διὰ τοῦ Ἀχέροντος καθορμισόμενοι, ὥς φησι καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις (31 fg 8 J). L m (P) 904—10a Καλλιχόροι ο: ποταμὸς Παφλαγονίας ἱερὸς Διονύσου περὶ Ἡράκλειαν, οὗ μέμνηται καὶ Καλλίμαχος (fg 100 e 3 Schn.). ἔξεισι δὲ διὰ στομάτων δισσῶν. οὕτω δὲ κέκληται ὁ ποταμὸς ἀπὸ τοῦ τὸν Διόνυσον αὐτόθι στῆσαι χορόν, ὅτε ἀπὸ Ἰνδῶν ὑπέστρεφε. τοῦτον δὲ πάλιν Ὀξύνοντα ἐκάλουν. ὅτι δὲ ἐπολέμησεν Ἰνδοὺς ὁ Διόνυσος, Διονύσιός (32 fg 13 J.) φησι καὶ Ἀριστόδημος ἐν α′ Θηβαϊκῶν ἐπιγραμμάτων (fg VII Radtke Herm.

194 36, 1901, 54 ) καὶ Κλείταρχος ἐν ταῖς Περὶ Ἀλέξανδρον ἱστορίαις (137 fg 17 J.), προσιστορῶν, ὅτι καὶ Νύσα ὄρος ἐστὶν ἐν Ἰνδικῇ καὶ κισσῷ προσόμοιον φυτὸν φυτεύεται ἐκεῖ, ὃ προσαγορεύεται σκινδαψός. ὡσαύτως δὲ καὶ Χαμαιλέων ἱστόρησεν ἐν ε′ Περὶ Ἰλιάδος (fg 7 Koepke De Cham. peripatetico, Progr. gymn. Frider. Berol. 1856, 18). L m (P) b ᾧ ἐν ἀμειδή 〈τουσ 〉 : ἤτοι φρικτὰς διὰ τὰ μυστήρια τοῦ θεοῦ, ἢ ὅτι φοβεραί εἰσιν αἱ νύκτες. Εὐριπίδης (Bacch. 486)· ‘νύκτωρ τὰ πολλά, σεμνότητ’ ἔχει σκότος.‘ 911—14 Σθενέλου τάφο ν: ἐν τῇ Παφλαγονίᾳ Σθενέλου τάφος ἐστὶ τοῦ Ἄκτορος, ὃς συστρατεύσας Ἡρακλεῖ ἐπ’ Ἀμαζόνας, τρωθεὶς ἀνεχώρησεν καὶ ἀπέθανε καθ’ ὁδὸν περὶ τὴν Παφλαγονίαν. τὴν δὲ περὶ Σθενέλου ἱστορίαν ἔλαβε παρὰ Προμαθίδα (fg 4 M. III 201), τὰ δὲ περὶ τοῦ εἰδώλου αὐτὸς ἔπλασεν. 915 ἐμέτρεο ν: ἀντὶ τοῦ παρέπλεον. L g P 917 στεφάνη ς: τοῦ ἄκρου. L g (P) 926 ἥγνισα ν: ἀπεκάρπωσαν, ἔκαυσαν. L g (P) 928—29 ἐκ τοῦ δὲ Λύρη πέλ〈ει 〉 : οὗτος μέν φησιν ἐπὶ τῷ τοῦ Ἀπόλλωνος βωμῷ τὴν λύραν τεθεῖσθαι, διὸ καὶ τὴν χώραν προσηγορεῦσθαι· ὁ δὲ Προμαθίδας (fg 4 M. III 201) ἐπὶ στήλης αὐτὴν τεθεῖσθαι ὑπὸ Ὀρφέως. τινὲς δὲ οὕτως λεγομένην χώραν 〈οὐ〉 περὶ Παφλαγονίαν 〈εἶναί φασιν, ἀλλὰ ...〉 . 933—34 ἐντενέ ς: συντόνως. ταρσὸν δὲ τὸ ὁμαλόν φησιν, δηλοῖ δὲ τὰς πτέρυγας. 935 ῥιπή ν: τὴν ὁρμήν. L g P 936—39a καὶ δὴ Παρθενίοιο ῥοά ς: ποταμὸς Παφλαγονίας, ἐκβάλλει δὲ τὰ ῥεύματα περὶ πόλιν Σήσαμον.

195 τὸ δὲ ὕδωρ αὐτοῦ ἐν στάσει παρέρχεται. Παρθένιον δέ φησιν αὐτὸν ὠνομάσθαι Καλλισθένης (124 fg 40 J.) διὰ τὸ τὴν Ἄρτεμιν ἐν αὐτῷ λούεσθαι. ἔνιοι δὲ διὰ τὸ στάσιμον τοῦ ῥεύματος καὶ ἤρεμόν φασιν οὕτω προσαγορεύεσθαι. b 〈 παρεμέτρεο ν:〉 ἀντὶ τοῦ παρέπλεον. L g c. Λητωί ς: ἡ Ἄρτεμις. L g P 941—42a Σήσαμος πόλις Παφλαγονίας. Ὅμηρος (B 853)· ‘καὶ Σήσαμον ἀμφενέμοντο‘. τὸ δὲ Σήσαμον μετωνομάσθη Ἄμαστρις ἀπὸ Δαρείου ἀδελφοῦ θυγατρός. ἐκλήθη δὲ τὴν ἀρχὴν ἀπὸ τοῦ σήσαμον λαβεῖν 〈...〉 παρὰ Καρῶν ἀντὶ τῆς χώρας, βουλομένων κτίσαι τὴν πόλιν. Ἐρυθῖνοι δὲ οὕτω λεγόμενοι λόγοι περὶ Παφλαγονίαν. οὕτω δὲ λέγονται διὰ τὴν ἐρυθρότητα τοῦ χρώματος· εἰσὶ γὰρ τοιοῦτοι. καὶ Ὅμηρος αὐτῶν μέμνηται (B 855)· ‘καὶ ὑψηλοὺς Ἐρυθίνουσ‘. 〈...〉 ὑλήεντα δὲ εἶπεν διὰ τὸ τὸν πύξον ἐκεῖ πολὺν γίνεσθαι. b Κρωβίαλος πόλις περὶ Παφλαγονίαν, ἧς μέμνηται Στράβων ἐν Γεωγραφουμένοις (XII 545)· παρ’ Ὁμήρῳ (B 855) δὲ μεταγράφει ἀντὶ τοῦ ‘Κρώμναν τ’ Αἰγιαλόν τε‘ ‘Κρώμναν Κρωβίαλόν τε‘. c 〈 Κρώμνα ν:〉 πόλις Παφλαγονίας.

196 L g d 〈 Κύτωρο ν:〉 πόλις Παφλαγονίας. L g 943 〈 Κάραμβι ν:〉 ἄκρα περὶ τὸν Πόντον. L g 944—45 Αἰγιαλό ν: ἔστι γὰρ Αἰγιαλὸς σταδίων ϡ κάμψαντι τὴν Κάραμβιν μέχρι Σινώπης. L m (P) 946—54a αὐτίκα δ ’ Ἀσσυρίη ς: Ἀσσυρίαν εἶπε [τὴν Συρίαν] τὴν Καππαδοκίαν. ἐκαλεῖτο δὲ πάλαι Συρία· διὸ τὸν Ἅλυν ποταμὸν μεταξὺ Σύρων καὶ Παφλαγόνων ῥέοντα Ἡρόδοτός (I 6) φησιν εἰς τὸν Εὔξεινον ἐκδιδόναι πόντον. τινὲς δὲ τῶν ἀρχαίων Λευκοσυρίαν αὐτὴν ἐκάλουν. b τὴν δὲ τῶν Ἀσσυρίων χώραν Λευκοσύρων φησὶ καλεῖσθαι Ἄνδρων ἐν τῷ Περὶ Πόντου (fg 2 M. II 348) κατὰ ἀντέμφασιν τῶν ἐν τῇ Φοινίκῃ Σύρων. ὅτι δέ τινες τοὺς Ἀσσυρίους Λευκοσύρους λέγουσι, φησὶ καὶ Ἀρτεμίδωρος (fg 134 Stiehle Phil. 11, 1856, 236). c ἔνθα Σινώπη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ν: πόλις τοῦ Πόντου ἡ Σινώπη, ὠνομασμένη ἀπὸ τῆς Ἀσωποῦ θυγατρὸς Σινώπης, ἣν ἁρπάσας Ἀπόλλων ἀπὸ Ὑρίας ἐκόμισεν εἰς Πόντον, καὶ μιγεὶς αὐτῇ ἔσχε Σύρον, ἀφ' οὗ οἱ Σύροι. ἐν δὲ τοῖς Ὀρφικοῖς (fg 45 Kern) Ἄρεως καὶ Αἰγίνης γενεαλογεῖται· κατὰ δέ τινας Ἄρεως καὶ Παρνάσσης, κατ' Εὔμηλον (fg 8 Kink.

197 191) καὶ Ἀριστοτέλην (fg 540 Rose 1567b 21) Ἀσωποῦ. καὶ οὗτος μέν φησιν, ὅτι Ἅλυν τε τὸν ποταμὸν ἐπλάνησε καὶ Ἀπόλλωνα καὶ Δία, αἰτησαμένη παρ' αὐτῶν πρότερον, ἵν' ἐπιτύχοι οὗ ἂν θέλοι, ἔπειτα, εἰποῦσα παρθενίας ὀρέγεσθαι, ταύτης ἐπέτυχεν ὡς ἂν ὅρκῳ δεδεμένων αὐτῶν. Φιλοστέφανος (fg 3 M. III 29) δέ φησι τοὐναντίον Ἀπόλλωνι αὐτὴν μιγεῖσαν ἀποκυῆσαι τὸν προσαγορευθέντα Σύρον. ὁ δὲ Τήιος Ἄνδρων (v. sch. b ) φησὶ μίαν τῶν Ἀμαζόνων φυγοῦσαν εἰς Πόντον γήμασθαι τῷ τῶν τόπων ἐκείνων βασιλεῖ, πίνουσάν τε πλεῖστον οἶνον ὀνομασθῆναι Σανάπην [ἐπειδὴ μεταφραζόμενον τοῦτο σημαίνει τὴν πολλὰ πίνουσαν], ἐπειδὴ αἱ μέθυσοι σανάπαι λέγονται παρὰ Θρᾳξίν, ᾗ διαλέκτῳ χρῶνται καὶ Ἀμαζόνες· 〈καὶ〉 κληθῆναι τὴν πόλιν 〈Σανάπην〉, ἔπειτα κατὰ φθορὰν Σινώπην. ἡ δὲ μέθυσος Ἀμαζὼν ἐκ 〈ταύτησ〉 τῆς πόλεως παρεγένετο πρὸς Λυτίδαν, ὥς φησιν Ἑκαταῖος (1 fg 34 J.). 955—61a Τρικκαίοι ο: ἡνίκα ὁ Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Ἀμαζόνας, σύμμαχοι ὄντες οἱ περὶ τὸν Αὐτόλυκον ἐπλανήθησαν καὶ περὶ τὴν νῦν καλουμένην Σινώπην ᾤκησαν. ἄλλοι δέ φασιν ἑκουσίως καταλειφθῆναι αὐτούς, ἵνα τοὺς περὶ Σινώπην καταπολεμήσωσι τόπους. b Δηιλέων τε κα ί: οὗτοι καταλειφθέντες ὑπὸ Ἡρακλέους ἐπὶ τὸν τῆς Ἀμαζόνος ζωστῆρα κεχωρηκότος, φήμης 〈δια〉 δοθείσης ὡς ἀπόλωλεν Ἡρακλῆς, τῶν Σινωπέων λεγόντων, παραπλεόντων τῶν Ἀργοναυτῶν παρεκάλεσαν ἀναλαβεῖν αὐτοὺς τῇ νηί. τινὲς δέ φασιν, ὅτι ἐπλανήθησαν ἀπὸ Ἡρακλέους καὶ περὶ τὴν νῦν καλουμένην Σινώπην ᾤκησαν. L c ἀργέστα ο: τοῦ ζεφύρου· ἢ οὕτως λεγομένου, ὃς ἄρχεται πνεῖν ἀπὸ θερινῶν δύσεων. d τὸ δὲ παρεπιπνείειν τὸ ἐπ' ὀλίγον πνεῖν σημαίνει.

198 τὸ δὲ ἆσσον σημαίνει τὸ τῆς νεὼς ἐγγὺς ἤδη πνέειν. P 963—65a Ἅλυς καὶ Ἶρις ποταμοὶ τῆς Λευκοσυρικῆς. τῆς δὲ περὶ Θεμίσκυραν ἄκρας καὶ ἐπάνω μέμνηται, εἰπὼν περὶ τοῦ Θερμώδοντος (v. 371 sq.)· 'Θεμισκύρειον ἐπ' ἄκρην μύρεται'. ἔχεται δὲ ἐν ταύτῃ, ὡς προεῖπον, ἡ καλουμένη Ἡράκλειος ἄκρα, ἧς μέμνηνται καὶ ἄλλοι τε καὶ Ἀρτεμίδωρος (fg 135 Stiehle Phil. 11, 1856, 236 ), ἐφ' ἧς τὸ τοῦ Ἡρακλέους ἱερὸν ἵδρυται. b ἠδὲ καὶ Ἀσσυρίης 〈πρόχυσιν 〉 : πρόχυσιν ἔφη τῆς Ἀσσυρίας, τουτέστι τῆς Λευκοσυρίας, τὴν ἐκκειμένην χώραν αὐτῆς εἰς θάλασσαν, ὡς καὶ ἐν τοῖς ἐπάνω· 'λεῖπον Ἅλυν ποταμόν, λεῖπον δ' ἁλιμυρέα χώραν Ἀσσυρίης ἀνέχουσαν ἀπὸ χθονός.' τοῦτο δὲ εἶπεν ὡς ποταμοχώστου τῆς γῆς οὔσης διὰ τὸ μεγάλους εἰς αὐτὴν καταφέρεσθαι ποταμούς, Ἅλυν καὶ Ἶριν. καὶ οὕτως ἔχει ταῖς ἀληθείαις, καὶ πρὸς τὰς ἄρκτους ἡ χώρα ἔκκειται. διὸ ποταμόχωστον λέγει εἶναι Ἀπολλωνίδης (M. IV 309)· τοὺς γὰρ προειρημένους ποταμοὺς ἀμφοτέρους, μάλιστα τὸν Ἶριν, μακροῖς αὐτὴν προσχώμασιν εἰς μέσον ἐκτείνειν τὸ πέλαγος· διὸ δὴ σύμπασαν εἶναι ποταμόχωστον τὴν γῆν. καὶ ἄλλοτε κατ' ἄλλους ἐκδιδόναι τόπους εἰς τὴν θάλασσαν τὸν Ἶριν· βίαιον γὰρ καὶ πολὺν αὐτὸν ἀπὸ τῆς Ἀρμενίας διὰ χειμερίου καὶ μακρᾶς φερόμενον παρασύρειν τὴν γῆν.

199 τοῦ δὲ κύματος παλίσσυτον ἐλαύνοντος ἐπὶ τὴν γῆν τὴν ἰλύν, συμβαίνειν τὴν χώραν ἐπιπολὺ παραύξεσθαι καὶ τὴν θάλασσαν γίνεσθαι τεναγώδη. c γνάμψαν Ἀμαζονίδ 〈ων ἕκαθεν λιμενήοχον ἄκρην 〉 : εἰκότως εἶπεν, ἐπειδὴ ἀπὸ Σινώπης μέχρι Τραπεζοῦντος τῆς Κολχικῆς ἐπὶ τρισχιλίων σταδίων λιμὴν ἄλλος οὐχ ὑπόκειται πλὴν τοῦ κατὰ τὸ Ἡράκλειον [τόπον]. τῆς δὲ Θεμισκυρείου ἄκρας καὶ ἄνω (V. 371) μέμνηται. Ἔφορος δὲ ἐν θ′ (70 fg 60a J.) φησὶ τὰς Ἀμαζόνας ὑβριζομένας ὑπὸ τῶν ἀνδρῶν, ἐξελθόντων αὐτῶν ἐπί τινα πόλεμον τοὺς μὲν καταλειφθέντας ἀναιρεῖν, τοὺς δὲ ἀπὸ τῆς ξένης προσιόντας μὴ δέχεσθαι. Διονύσιος δὲ ἐν β′ (32 fg 4 J.) κατὰ Λιβύην αὐτὰς ᾠκηκέναι φησί, ῥώμῃ δὲ διενεγκούσας καὶ τρεψαμένας τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμόρους ἐλθεῖν καὶ ἐπὶ τὴν Εὐρώπην καὶ πολλὰς αὐτόθι πόλεις κτίσαι, ὑποτάξαι τε αὐταῖς τὸ Ἀτλαντικὸν ἔθνος, ὃ ἦν δυνατώτατον τῶν τῆς Λιβύης. Ζηνόθεμις δὲ αὐτάς φησιν ᾠκηκέναι ἐν Αἰθιοπίᾳ καὶ διερχομένας ἐπὶ τὸ ἀντιπέραν συγγίνεσθαι τοῖς αὐτόθι ἀνδράσιν, καὶ εἰ μὲν θῆλυ ἀποκυήσειαν, προσεθίζειν τῇ αὐτῇ ἀγωγῇ, εἰ δὲ ἄρρεν, τοῖς ἀνδράσι διδόναι. d λιμενήοχον ἄκρη ν: ἐὰν μὲν τὴν συνεχομένην, προπαροξυτόνως· ἐὰν δὲ τὴν συνέχουσαν τὸν λιμένα, παροξυτόνως. 970 〈 τῆς οἵ γ ' ἐν κόλπ ῳ:〉 τῆς προειρημένης ἄκρας ἐν τῷ κόλπῳ ὥρμισαν. L m (P) 972—75a τῷ δ ' οὔτις ποτ 〈αμῶν 〉 : ὅτι ὁ Θερμώδων ἐν τῇ Λευκοσυριακῇ ἐστιν, ἣν πρότερον Ἀμαζόνες ᾤκουν, οὐκ ἀγνοεῖται.

200 φησὶ δὲ αὐτὸν ὁ μὲν Ἀπολλώνιος τεσσάρων δεούσας καταχεῖν ἑκατὸν ἀπορρύσεις εἰς ἄλλα καὶ ἄλλα μέρη ῥεούσας ἀπὸ μιᾶς πηγῆς· ἄλλοι δέ, ὅτι πόρους 〈...〉 δέχεται εἰς αὐτόν. ὁ αὐτὸς δὲ οὗτος Ἀράξης ἐκαλεῖτο τὸ πρότερον, ὁμωνύμως τῷ ἐκ τῆς Ἀρμενίας ῥέοντι. b παρὲξ ἔθεν ἄνδιχ α: περισσή ἐστιν ἡ παρά, ἔστι γάρ· ἐξ αὐτοῦ χωρὶς βάλλων τοσαῦτα ῥεύματα ἀπὸ μιᾶς πηγῆς ἄλλος οὐκ ἔστι ποταμός. c πεμπάζο ι: μετροῖ, ψηφίζοι. L g (P) 978—79 ἔνθεν δ ' αἰπυτέρη ν: ἐκ τῆς ἀνωτάτω φησὶ πηγῆς καταντίον φερόμενον τὸν Θερμώδοντα ὑψηλὴ ὑποδέχεται γῆ, ὅθεν πολλὰς ἔχει ἀπορρύσεις καὶ ἐπιστροφὰς διὰ τὸ τὸ ὕδωρ ἐκτρέπεσθαι. 980—82 αἰεὶ δ ' ἄλλυδις ἄλλ η: ἀεὶ δὲ ταπεινῆς οὔσης τῆς χώρας τοὺς μὲν τῶν πόρων εἰς μακρὰν ἔχει πεμπομένους, τοὺς δὲ ἐγγύς. 983—84 ὁ δ ' ἀμφαδὸν ἄμμιγα παύροι ς: ὁ δὲ ὑπὸ τὴν κυρτὴν ἄκραν συμμεμιγμένος τοῖς ἄλλοις εἰς τὸν Εὔξεινον πόντον ῥεῖ. κυρτὴν δὲ τὴν ἄκραν φησὶν εἶναι διὰ τὸ ἐπικαμπῆ εἶναι. 987 ἐπητέε ς: λόγιαι, παρὰ τὸ ἔπος. ἤ· οὐκ εὐγνώμονες καὶ προμηθεῖς, ἀλλὰ θρασεῖαι καὶ ἀπερίσκεπτοι. 988 πεδίον περὶ τὸν Θερμώδοντα Δοιάντιον, ἀπὸ Δοίαντος οὕτω κληθέν. L m (P) 990 γενεὴν ἔσαν Ἄρεο ς: Ἁρμονία νύμφη Ναΐς, ἧς καὶ Ἄρεως Ἀμαζόνας εἶναί φησι Φερεκύδης (3 fg 15 c J.)· ᾧ ἕπεται Ἀπολλώνιος. 992 ἄλσεος Ἀκμονίοι ο: οὐδέποτε Ἀκμόνιον ἄλσος ἐδήλωσεν ὁ Εἰρηναῖος (fg 20 Haupt Opusc.

201 II 440 ). ἔστι δὲ περὶ τὸν Θερμώδοντα· μέμνηται αὐτοῦ καὶ Φερεκύδης ἐν β′ (3 fg 15a J.). 994—95 ἔνθα Θεμισκύρεια ι: αἱ ἐκ τῆς Θεμισκύρας, φησίν, Ἀμαζόνες ἐπὶ τῆς ἄκρας, ἔνθα κατέπλευσαν, ὡπλίζοντο· ἔφθασαν δὲ ἀναχθέντες οἱ ἥρωες. 998—1000 Λυκάστια ι: Λύκαστος χωρίον τῆς Λευκοσυρίας, ἀφ' οὗ Λυκαστίας εἶπε τὰς Ἀμαζόνας. Χαδησίας δὲ αὐτὰς εἶπεν 〈ὡσ〉 Ἑκαταῖος (1 fg 7b J.) ἀπὸ τοῦ Χαδησίου. 1005—06a στυφελή ν: τραχεῖαν καὶ σκληράν· οὕτως Κλειτόριοι λέγουσιν, ὥς φησι Ζηνόδοτος ἐν Γλώσσαις, Κυρηναῖοι δὲ τὴν χέρσον. οἱ δὲ Χάλυβες μεταλλεύοντες σίδηρον πωλοῦσι καὶ οὕτω τὰ ἐπιτήδεια πορίζονται, τραχεῖαν ἔχοντες πρὸς καρποὺς τὴν γῆν. προείρηται δὲ ἤδη περὶ αὐτῶν (sch. 373/76a). b στυφελὴν δὲ τὴν σκληράν. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ χαλεποῦ, ὡς τὸ ‘ἀπὸ στυφελοῦ Ἀφροδίτησ‘. c ὦνον 〈βιοτήσιον 〉 : τίμημα τροφῆς. L g (P) 1007—08a κελαινῇ λιγνύ ι: τῇ αἰθάλῃ. L g (P) b ὀτλεύουσι ν: ὑπομένουσι. διὰ τὸ χαλκεύειν αὐτοὺς τὸν σίδηρον περὶ τῷ καπνῷ ταλαιπωρεῖν φησι. 1010—14 Τιβαρηνίδα γαῖα ν: Τιβαρηνοὶ ἔθνος Σκυθίας. οὗτοι δικαιότατοι λέγονται καὶ οὐδέποτε μάχην τινὶ συνέβαλον, εἰ μὴ πρότερον καταγγείλειαν ἡμέραν, τόπον, ὥραν τῆς μάχης. ἐν δὲ τῇ τῶν Τιβαρηνῶν γῇ αἱ γυναῖκες ὅταν τέκωσι, τημελοῦσι τοὺς ἄνδρας, ὡς Νυμφόδωρος ἐν τοῖς Νομίμοις (fg 15 M.

202 II 379). 1015a Ἱερὸν αὖ τ ' ἐπὶ το 〈ῖσιν 〉 : ὄρος οὕτω καλούμενον τὸ καθῆκον εἰς τὸν Εὔξεινον πόντον. b 〈 Ἱερό ν:〉 τοῦτο καθῆκόν ἐστιν εἰς τὸν Εὔξεινον πόντον· μέμνηται αὐτοῦ καὶ Κτησίας ἐν τῷ α′ Περιόδου (fg 93 M. Herod. rec. Dind. 1844, App. 106 ) καὶ Σουίδας ἐν β′ (fg 3 M. II 464) περὶ τοὺς λεγομένους Μάκρωνας. ἀκριβέστερον δὲ ὁ Ἀγάθων ἐν τῷ τοῦ Πόντου Περίπλῳ (fg 3 M. IV 291) ἑκατὸν ἀπέχειν σταδίους αὐτό φησι τῆς Τραπεζοῦντος. ὁ δὲ Εἰρηναῖος (fg 21 Haupt Opusc. II 440 ) Μνησίμαχόν φησι περὶ αὐτοῦ ἱστορεῖν ἐν τῷ α′ Περὶ Σκυθῶν (fg 1 M. IV 453), ἀγνοῶν· ὁ γὰρ Μνησίμαχος ἐν τῇ Εὐρώπῃ μέμνηται κειμένης τῆς Σκυθικῆς, ὁ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀπολλώνιος καὶ οἱ προειρημένοι ἐν τῇ Ἀσίᾳ καταλέγονται. τρίτον ἐστὶν Ἱερὸν ὄρος τῆς
Θρᾴκης. 1025 ξυνῇ φιλότητι γυ〈ναικῶν 〉 : οὐχ ὡς αὐτῶν συνερχομένων ταῖς ἀλλήλων
γυναιξὶ τοῦτο λέγει, ἀλλὰ ἕκαστος τῇ ἑαυτοῦ φανερῶς. 1026 〈 ἐν ὑψίστ ῳ:〉 ἐν ὑψηλῷ
μοσσύνῳ. L g 1029 λιμῷ μιν κεῖ ν ’ ἦμα ρ: ἱστορεῖ Ἔφορος (70 fg 161 a J.) καὶ Νυμφόδωρος (fg
16 M. II 379) περὶ τούτων, ὅτι τὸν βασιλέα αὐτῶν ἄδικόν τι κρίναντα ἐγκλείουσι καὶ
λιμαγχονοῦσιν. 1031a νήσου Ἀρητιάδο ς: φασὶν ὑπὸ Ὀτρήρας τῆς Ἄρεως κατοικισθῆναι τὴν
νῆσον. L m (P) b περὶ τῆς Ἄρεως νήσου καὶ τῶν ἐν αὐτῇ ὀρνέων μέμνηται Τιμάγητος (fg 4 M.
203 IV 520). εἰσὶ δὲ σιδηρόπτεροι, αἳ λέγονται Στυμφαλίδες. 1032 〈 λιαρ ή:〉 γράφεται διερ ή. L g
1052—57a οὐδὲ γὰρ Ἡρακλέη ς: τὰς Στυμφαλίδας ὄρνιθας, φησίν, οὐκ ἠδύνατο ἀπώσασθαι, εἰ
μὴ κρόταλον χαλκοῦν 〈...〉 καὶ ψόφον ποιῶν ἐξεφόβησεν. πλωίδες δὲ ὄρνιθες καλοῦνται διὰ
τὸ ἐν τῇ λίμνῃ αὐτὰς νήχεσθαι τῆς Ἀρκαδίας, ἃς Ἡρακλῆς ἀπεδίωξεν. Στύμφηλος δὲ πόλις
Ἀρκαδίας καὶ Στυμφηλὶς δὲ λίμν η. καὶ Ὅμηρος (B 608)· ‘Στύμφηλόν τ’ εἶχον‘. Στυμφηλίδες δὲ
λέγονται παρ’ αὐτῆς ὄρνιθες, ἃς πλωίδας εἶπεν Ἀπολλώνιος. οὕτω δὲ αὐτὰς ὀνομάζει καὶ
Σέλευκος ἐν Συμμίκτοις (fg 77 Max. Mueller) καὶ Χάρης αὐτοῦ τοῦ Ἀπολλωνίου γνώριμος ἐν
τῷ Περὶ ἱστοριῶν τοῦ Ἀπολλωνίου. ἰδίως δὲ Μνασέας (fg 8 M. III 151) φησὶ Στυμφάλου τινὸς
ἥρωος καὶ Ὄρνιθος γυναικὸς γενέσθαι Στυμφαλίδας θυγατέρας, ἃς ἀνελεῖν τὸν Ἡρακλέα, ὅτι
οὐ προσεδέξαντο αὐτὸν καὶ ἐξένισαν τοὺς Μολίονας. Φερεκύδης (3 fg 72 J.) δέ φησιν οὐ
γυναῖκας, ἀλλ’ ὄρνιθας εἶναι καὶ ἀναιρεθῆναι πρὸς Ἡρακλέους, πλαταγῆς δοθείσης αὐτῷ πρὸς
τὸ κτυπεῖν καὶ ἐκφοβεῖν αὐτάς. ὁμοίως καὶ Ἑλλάνικός (4 fg 104a J.) φησιν. τὴν δὲ Στυμφαλίδα
λίμνην φασὶ διὰ βερέθρων ἐκδοθεῖσαν ξηρανθῆναι. b πλαταγή ν: ὀξυτόνως, ὥς φησιν
Ἡρωδιανὸς ἐν τῷ ιβ′ τῆς Καθόλου (I 310, 14 L.
204 ). σημαίνει δὲ τὸν κρόταλον. φασὶ δὲ αὐτὴν ἡφαιστότευκτον οὖσαν Ἡρακλεῖ παρὰ τῆς Ἀθηνᾶς
δοθῆναι. ὁ δὲ Ἑλλάνικός (4 fg 104b J.) φησιν ἑαυτῷ κατασκευάσαι. c ἀτυζηλ ῷ: ἐκπληκτικῷ.
περισπαστέον δὲ τὸ ἀτυζηλῷ· ἔστι γὰρ ἀπὸ ὀξυτόνου τοῦ ἀτυζηλός, ὡς Ἡρωδιανὸς ἐν τῷ ϛ′ τῆς
Καθόλου (I 162, 8 L.). 1060 ἀνθέμενοι κεφ〈α〉λ〈ῆσιν〉 ἀερσιλόφου ς: ὧν οἱ λόφοι
ἐπηρμένοι εἰσὶ καὶ μετέωροι. 1061 ἀμοιβαδί ς: ἐκ διαδοχῆς. L g (P) 1062 〈 ἄρσετ ε:〉
εὐτρεπίσατε, σκεπάσατε. G g S m 1065 ἐπήορ α: ἐπηρμένα. L g P 1068 ἐπίρροθο ς: ὠφέλιμος. L g
G g P 1073 ὡς δ ’ ὅτε τις κερά〈μῳ 〉 : ταῖς κεραμίσι καταστεγάζει. 1075a ἄλλῳ δ ’ ἔμπεδον
ἄλλο ς: ἄλλος δὲ ἄλλῳ, φησί, κέραμος ἀνθίσταται ἀσφαλῶς καὶ συνήρμοσται. ἐπημοιβοὶ γὰρ
οὐχ οἱ ἀμείβοντες, ἀλλ’ ἐπηλλαγμένοι τὴν σύνθεσιν. b 〈 ἐπαμοιβό ς:〉 ἐπικείμενος καὶ ἐ
〈π〉ηλλαγμένος. Pap. Berol. 13413 1076 συναρτύναντε ς: συναρμόσαντες. L g G g P 1077—78
οἵη δὲ κλαγγ ή: ὁποία δὲ βοὴ γίνεται ἐν πολέμῳ, ὁπόταν ἀλαλάξαντες ξυνέρχωνται. L 1085a
ἐνναέτα ι: κατ’ ἐξαίρεσιν τοῦ ι , ἵν’ ᾖ ἐνναιέται. Κλεινίας δέ φησι καὶ τὸν ναόν ποτε οὕτως
εἰρῆσθαι ναιόν, διὰ τὸ ἐνναίειν ἐν αὐτῷ τοὺς θεούς, ὅ ἐστιν οἰκεῖν. b τεγέων : τῆς ὀροφῆς.
205 L g (P) 1086—87a ἧνται ἀκή ν: κάθηνται ἐν οἴκῳ, μὴ ἐπιστρεφόμενοι τοῦ χειμῶνος ἢ τῆς
χαλάζης διὰ τὸ ἐξηρτυμένους αὐτοὺς εἶναι. b μέλαθρο ν: τὴν ὀροφήν. Κράτης (ad χ 239,
Wachsmuth De Cr. Mallota 1860, 54 ) δὲ τὴν δοκὸν ἐξεδέξατο, ὡς καὶ παρὰ τῷ ποιητῇ (χ 239)
‘αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον‘. 1088—89 ὣς πυκινὰ πτερ ά: χαλάζης πυκνότερα
ἐφίεσαν αὐτοῖς πτερά, φεύγοντες διὰ τῆς θαλάσσης. πιθανῶς δὲ ὁ Πείσανδρος (16 fg 6 J.) τοὺς
ὄρνιθάς φησιν εἰς Σκυθίαν ἀποπτῆναι, ὅθεν καὶ ἐληλύθεσαν. 1090—94a τίς γὰρ δὴ Φινῆο ς:
τοῦτο ἐρώτησίς ἐστιν ὡς ἀπὸ τοῦ ποιητοῦ πρὸς τὰς Μούσας, τὸ δὲ υἷες Φρίξου ἀπόκρισις ὡς
ἀπὸ τῶν Μουσῶν. P b τίς γὰρ δὴ Φινῆο ς: τί φρονῶν, φησίν, ὁ Φινεὺς ἐκέλευσεν αὐτοὺς
προσορμισθῆναι τῇ τοῦ Ἄρεως νήσῳ καὶ τίνα ὠφέλειαν αὐτοῖς προορώμενος τοῦτο
προσέταξεν; εἶτα ὥσπερ ἐμπνευσθεὶς ἐπιφέρει· υἱῆες Φρίξοι ο. κατὰ δὲ τὴν Ἀρητιάδα νῆσον οἱ
τοῦ Φρίξου υἱοὶ ἐναυάγησαν, ἔνθα ἦν καὶ τὰ σιδηρόπτερα ὄρνεα. L c υἱῆες Φρίξοι ο: οἱ παῖδες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φρίξου ἔπλεον εἰς Ὀρχομενὸν ἐκ Κόλχων, ἵνα τὰ πατρῷα κληρονομήσωσι. ναυαγήσαντες δὲ ἐξεβράσθησαν πρὸς τὴν Ἀρητιάδα νῆσον, ὅθεν ἀναλαβόντες αὐτοὺς οἱ Ἀργοναῦται ἔσχον καθηγεμόνας, καὶ πάλιν αὐτοὺς ἀπήγαγον εἰς Ὀρχομενόν. L 1098—99a Ζεὺς δ ʼ ἀνέμου βο 〈ρέαο〉 : δεικνὺς τὴν ἑῴαν ἐπιτολὴν τοῦ ἀρκτούρου βορέαν ἐποίησε πνεῖν, ὅπως ῥᾳδίως ὄμβρος καὶ ταραχὴ γένηται. τοῦτο δὲ ἔφη, ἐπεὶ κατὰ τὴν ἐπιτολὴν τοῦ ἀρκτούρου σφοδροὶ καταχέονται ὄμβροι, ὥς φησι Δημόκριτος ἐν τῷ Περὶ ἀστρονομίας (68 B 14, 5 Diels—Kranz). καὶ Ἄρατος (Phaen. 745)· ʻφράζεσθαι δʼ αἰνοῦ μεμνημένος ἀρκτούροιο.ʻ ἔστι δὲ ὁ ἀρκτοῦρος ἀστὴρ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος.

206 εἴωθε δὲ καὶ ὁ βορέας ὄμβρους καταρρήσσειν. b ὕδασ〈ι ση〉μαίνων διερὴν ὁδ〈ὸν〉 ἀ〈ρ〉κτούροι ο: ἡ τοῦ ἀρκτούρου δύσις χειμῶνα ποιεῖ. Pap. Berol. 13413 1100—01a. 〈 ὅ γʼ:〉 ὁ βορέας. L g b ἠμάτιος δὲ λέγεται ὁ ἡμερινός. κατὰ τὴν ἡμέραν οὖν, φησίν, ὁ βορέας ἐτίνασσε τὰ φύλλα. ἀήσυρος δὲ ὁ ἐλαφρῶς πνέων, ἀπὸ τοῦ ἄω τὸ πνέω. P 1103 κεκληγό ς: καχλάζον. Pap. Berol. 13413 1106 μυδαλέο ι: διάβροχοι. L g (P) 1109 ῥοθίοισι ν: κύμασιν. L g (P) 1111—12a ὠρέξαντ ο: ἐλάβοντο. L g P b οἷά τε πολλ ά: οἷα πολλὰ ἦν πρότερον μὲν συνηρμοσμένα τοῖς γόμφοις, τότε δὲ διαφθαρείσης τῆς νεὼς διεσκορπίσθη τὰ ξύλα. c 〈 θοοῖ ς:〉 ὀξέσι. L g 1113 παρὲξ ὀλίγο ν: παρʼ ὀλίγον ἐκ τοῦ θανάτου. L g P 1120 νύχ θ ʼ ὕπο λυγαίη ν: τὴν σκοτεινήν, παρὰ τὸ λύγος τὸ φυτόν· καὶ γὰρ ἐκεῖνο μέλαν. καὶ τὸν ἐνιαυτὸν λυκάβαντα, οἱονεὶ λυγάβαντα, ἐπεὶ μετὰ λύγης βαίνει. Σοφοκλῆς Πολυξένῃ (fg 525 Pearson)· ʻἀπʼ αἰθέρος δὲ κἀπὸ λυγαίου νέφους.ʻ 1122a Ἄργος δὲ παροίτατο ς: εἷς τῶν Φρίξου παίδων οὗτος. τούτους δὲ Ἡρόδωρός (31 fg 39 J.) φησιν ἐκ Χαλκιόπης τῆς Αἰήτου θυγατρός, Ἀκουσίλαος (2 fg 38 J.) δὲ καὶ Ἡσίοδος ἐν ταῖς Μεγάλαις Ἠοίαις (fg 152 Rz. 2 ) φασὶν ἐξ Ἰοφώσσης τῆς Αἰήτου. καὶ οὗτος (v. 1155 sq.) μέν φησιν αὐτοὺς δʹ, Ἄργον, Φρόντιν, Μέλανα, Κυτίσωρον, Ἐπιμενίδης (3 B 12 Diels—Kranz) δὲ πέμπτον προστίθησι Πρέσβωνα. b παροίτατο ς: πρῶτος. L g P 1123 ἐποψίο υ: τοῦ ἐπόπτου.

207 L g (P) 1127 ᾗ ἔνι πείρομεν οἶδμ α: ἀπὸ τοῦ ... Pap. Berol. 13413 1129 δοῦναι ὅσον τ ʼ εἴλυμ α: εὐτελὲς καὶ βραχύτατον περίβλημα. 1133 〈 ἐπόψιο ς:〉 ἐπόπτης. L g 1144—45a κριοῦ ἐπεμβεβαώ ς: Διονύσιος ἐν τοῖς Ἀργοναύταις (32 fg 2 c J.) φησὶ Κριὸν γεγονέναι τροφέα Φρίξου, ὃν αἰσθόμενον τῆς ἐπιβουλῆς Ἰνοῦς ὑποθέσθαι τῷ Φρίξῳ τὴν φυγὴν ποιήσασθαι, ὅθεν καὶ μεμυθεῦσθαι ὡς ὑπὸ κριοῦ διασωθείη. Ἡρόδωρος (31 fg 38 J.) δέ φησιν ἐξ Ἀθάμαντος καὶ Θεμιστοῦς γενέσθαι παῖδας Σχοινέα, Ἐρύθρην, Λεύκωνα, Πτοῖον, νεωτάτους δὲ Φρίξον καὶ Ἕλλην, οὓς διὰ τὴν Ἰνοῦς ἐπιβουλὴν ἐκχωρῆσαι. τελευτῆσαι δὲ τὴν Ἕλλην κατὰ Πακτύην φησὶν Ἑλλάνικος (4 fg 127 J.). Ἰνοῦς δὲ καὶ Ἀθάμαντος Λέαρχος καὶ Μελικέρτης. b τόν ῥα χρύσειο ν: λέγεται γὰρ τῇ τοῦ Ἑρμοῦ ἐπαφῇ τὸ δέρος τοῦ κριοῦ χρυσοῦν γενέσθαι. 1146 ἑῇς ὑποθημοσύ〈νῃσι〉 : τὸν κριόν, φησίν, ἔθυσε ταῖς ἑαυτοῦ ὑποθήκαις, τουτέστι κατὰ συμβουλὴν αὐτοῦ τοῦ κριοῦ· αὐτὸς γὰρ ὁ κριὸς ἀνθρωπίνῃ χρησάμενος φωνῇ τοῦτο ποιεῖν προσέταξε. 1147 Φυξίῳ ἐκ πάντω ν: Φύξιος Ζεὺς παρὰ Θεσσαλοῖς, ἤτοι ἐπειδὴ τὸν ἐπὶ Δευκαλίωνος κατέφυγον κατακλυσμόν, ἢ διὰ τὸ φυγεῖν τὸν Φρίξον αὐτόν. 1149 Χαλκιόπη ν: Φερεκύδης ἐν ςʹ (3 fg 25 a J.) Εὐηνίαν αὐτήν φησι καλεῖσθαι, παρώνυμον δὲ αὐτῇ Χαλκιόπην καὶ Ἰοφῶσσαν. 1157 συνηβολί η: συμβόλῳ. L g (P) 1159 κατὰ μοῖρα ν: κατὰ τὸ πρέπον. L g P 1160 γνωτο ί: ἀντὶ τοῦ συγγενεῖς.

208 L g P 1162 [Start of a diagram] Αἴολος Κρηθεύς Ἀθάμας Αἴσων Φρίξος Ἰάσων Ἄργος. [End of a diagram] L m (P) 1172 στιάω ν: στῖαι αἱ ψῆφοι παρὰ Σικυωνίοις καλοῦνται· ἡ ἐσχάρα οὖν καὶ ὁ βωμὸς ἐκ ψήφων κατεσκεύαστο. ἢ στῖαι αἱ ψῆφοι 〈αἱ ποτάμιοι, οἱ νῦν κόχλακες λεγόμενοι〉. Καλλίμαχος (Hymn. I 26)· ʻπολύστιόν τε Μετώπηνʻ. 1176 ἐπηετανὸν κομέουσα ι: ἐπιμελῶς καὶ ἐκ πολλοῦ τρέφουσαι. L m P 1177 ἐπαρτέ α: ἑτοίμην. L g P 1179 πρὸς τὸν Φρίξου υἱὸν τὸν Ἄργον ὁ λόγος, καί φησι· συνεργήσατε ἡμῖν τὸ κῶας εἰς τὴν Ἑλλάδα κομίσαι. L m (P) 1186 εἴτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετὰ Φθίη ν: οἱ μὲν τὴν Φθίαν Ὀρχομενοῦ πόλιν φασὶν εἰρῆσθαι— Φθίην πόλιν Ὀρχομενοῖο —, παρόσον οἱ Ὀρχομένιοι ἄποικοί εἰσι Θεσσαλῶν. δύναται δὲ καὶ Ὀρχομενοῦ μνημονεύειν τοῦ μεθορίου Μακεδονίας καὶ Θεσσαλίας. ἔστι γὰρ Ὀρχομενὸς καὶ ὄρος καὶ πόλις Θεσσαλίας καὶ Βοιωτίας καὶ Ἀρκαδίας καὶ Πόντου. 1189 κείνη ν: ἐν ᾗ οἱ Φρίξου ἦσαν υἱοί. L g S m (P) 1193 ἐπίρροθοι ἄμμι πέλ〈εσθε〉: ἐπιρροθεῖν κυρίως τὸ τοῖς κυσὶν [καὶ] κελεύειν. σημαίνει δὲ καὶ τὸ τῇ νηὶ συνεργεῖν, παρὰ τὸ ῥόθιον, ὅ ἐστι τὸ κῦμα. 1194—95 Ζηνὸς χόλ〈ον〉: διὰ τὸ μηνῖσαι τὸ δαιμόνιον τοῖς ἀπὸ τοῦ Αἰόλου, Φρίξου κινδυνεύσαντος. τοῦτο δὲ ἔφη ὁ Ἰάσων, παρόσον καὶ ὁ Πελίας τοιαύτῃ προφάσει ἐχρήσατο ἐκπέμπων αὐτόν. 1196 ἔστυγο ν: ἐστύγνασαν, ηὐλαβήθησαν.

209 L g G g S m P 1197—98a τεύξεσθαι ἐνηέος Αἰήτα ο: οὐ γὰρ ὑπελάμβανον ἡδέως καὶ προσηνῶς προσδεχθήσεσθαι αὐτοὺς ὑπὸ τοῦ Αἰήτου, διότι συνῆσαν τῷ Ἰάσονι. L b τεύξασθα ι: ἐντυχεῖν. L g P c ἐνηέο ς: προσηνοῦς, ἀγαθοῦ. L g P 1199 Ἄργος ἀτεμβόμενο ς: οὐχ Ὁμηρικῶς ἀντὶ τοῦ στερισκόμενος· κεῖται γὰρ νῦν ἐπὶ τοῦ δυσχεραίνων καὶ μεμφόμενος ἐπὶ τοιοῦτον αὐτοὺς στόλον στέλλεσθαι. 1204 στεῦτα ι: διαβεβαιοῦται. L g P 1209—15a Καυκάσου ἐν κνη〈μοῖσι〉: περὶ τὸν Καύκασον, φησίν, ἐν τῇ Τυφαονίᾳ πέτρᾳ κεραυνωθεὶς ὁ Τυφὼς ἰχῶράς τινας ἀφῆκεν, ἐξ ὧν ἐγένετο ὁ τὸ δέρος φυλάσσων ὄφις. ὅτι δὲ ἐπὶ τὸν Καύκασον κατέφυγεν ὁ Τυφὼς διωκόμενος, καὶ ὅτι καιομένου τοῦ ὄρους ἔφυγεν ἐκεῖθεν εἰς τὴν Ἰταλίαν, ὅπου τὴν Πιθηκοῦσσαν αὐτῷ περιρριφῆναι νῆσον, Φερεκύδης ἐν τῇ Θεογονίᾳ (3 fg 54 J.) ἱστορεῖ, οὐ μέντοι, ὅτι καὶ εἰς τοὺς περὶ Συρίαν τόπους ἠλάθη, ὥς φησιν Ἀπολλώνιος. b ἔνθα Τυφάον α: οὗτος, φησί, πληγεὶς ὑπὸ Διὸς ὡς εἶχεν 〈εἰς τοὺσ〉 περὶ Συρίαν τόπους καὶ Πηλούσιον παρεγένετο διωκόμενος [ὑπὸ Διός], ὅπου βυθισθεὶς κεῖται ἐν τῇ Σερβωνίδι λίμν ῃ.

210 διήκει δὲ αὕτη ἀπὸ Συρίας μέχρι Πηλουσίου. περὶ δὲ τοῦ τὸν Τυφῶνα ἐν αὐτῇ κεῖσθαι καὶ Ἡρόδωρος (31 fg 61 J.) ἱστορεῖ. c 〈...〉 ἐν ᾧ καὶ τὴν Νύσαν ἱστορεῖ (Hom. H. in Bacch. 8 sq.)· ‘ἔστι δέ τις Νύση, ὕπατον κέρας, ἀνθέον ὕλῃ, τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων.‘ ὁ δὲ Καύκασος διήκει ἀπὸ τῆς Ἀρμενίων χώρας ἕως Κόλχων. ἡ δὲ Σερβωνὶς λίμνη διάκειται περὶ τὸ Πηλούσιον τῆς Αἰγύπτου. 1219—21a μη δ ’ οὕτως ἠθεῖ ε: πρὸς τό τῷ καὶ περιδείδια ναυτίλλεσθαι (v. 1203) ἀπήντησεν ὁ Πηλεύς, κελεύων μὴ δεδιέναι. διὸ θυμῷ γραπτέον. γράφεται δὲ καὶ μύθ ῳ, ἵνα ᾖ· μὴ ἐκφόβει ἡμᾶς τῷ περὶ Αἰήτου λόγῳ. [οὐ φέρεται δὲ οὕτως, ἀλλ’ ἐν πᾶσι δειδίσσεο θυμ ῷ.] κατ’ οὐδὲν γάρ, φησί, τοῦ Αἰήτου ἐσμὲν χείρους. τὸ δὲ ἠθεῖε οἶμαι κατ’ ἐπένθεσιν τοῦ η γεγονέναι, ὥσπερ καὶ τὸ βαιὸς ἠβαιός, μύω ἠμύω. σημαίνει δὲ κατὰ τὸ πρόχειρον τὸ θεῖε, συγγενές, ἢ τὸ θαυμάσιε—μηδαμῶς ὦ θαυμάσιε—ἢ τὸ καλέ. b 〈 μύθ ῳ:〉 γράφεται θυμ ῷ. L g 1231—41a Φιλυρ〈η〉ίδα νῆ〈σον〉: τὴν τῶν Φιλύρων φησί. λέγει δὲ Ἀπολλώνιος ἀπὸ Φιλύρας τῆς Ὠκεανοῦ κατοικούσης περὶ τοὺς τόπους τούτους· Κρόνου δὲ μιγνυμένου αὐτῇ, ὅτε ἐβασίλευε Τιτάνων, τὴν Ῥέαν αὐτοὺς ἐπ’ αὐτοφώρῳ καταλαβεῖν, ὅθεν τὸν μὲν Κρόνον αἰδεσθέντα εἰς ἵππον μεταβληθῆναι, τὴν δὲ φυγεῖν εἰς Θεσσαλίαν. Φερεκύδης (3 fg 50 J.) φησίν, ὅτι Κρόνος ἀπεικασθεὶς ἵππῳ ἐμίγη τῇ Φιλύρᾳ τῇ Ὠκεανοῦ, καὶ διὰ τοῦτο διφυὴς ὁ Χείρων. Σουίδας δὲ ἐν α′ Θεσσαλικῶν (fg 1 M.

211 II 464) τὸν Χείρωνα Ἰξίονος εἶναι παῖδά φησιν, ἀδελφὸν δὲ Πειρίθου. b Κρηταῖο ν: τὸ τῆς Κρήτης. 〈Καλλίμαχος (Hymn. III 41)·〉 ‘Κρηταῖον ὄροσ‘, ὥσπερ Σιναῖον. L g (P) c χαιτήεντ ι: χαίτην ἔχοντι. L g (P) d 〈 ἐς οὔρεα μακρὰ Πελασγῶ ν:〉 παρεγένετο. S m 1242—44 περὶ Μακρώνων καὶ Βεχείρων καὶ Σαπείρων καὶ Βυζήρων προείρηται (sch. 392/94 a. d. 395. 396a). L m 1246 μυχὸς διεφαίνετο Πόντο υ: οἱ γὰρ Κόλχοι ἐν τῷ μυχῷ τοῦ Πόντου κατοικοῦσι. L m (P) 1247a καὶ δὴ Καυκασίω ν: τὰ προσαγορευόμενα Καυκάσια Ἐρατοσθένης (fg III B 72 Berger) πλησίον εἶναί φησι τῆς προσαγορευομένης Κασπιανῆς θαλάσσης. b ἐρίπνα ι: τῶν Καυκασίων ὀρῶν αἱ ἀπορρῶγες καὶ ἐξοχαί. τινὲς δὲ ἐρίπνας τὰς τραχείας καὶ εἰς ὕψος ἀνεχούσας πέτρας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φασί. 1248—50a τόθι γυῖα περὶ στυφ 〈ε〉 λ 〈οῖσι 〉 : ὁ Προμηθεὺς ἐδέδετο ἐν τῷ Καυκάσῳ, καὶ ὁ ἀετὸς τὸ ἧπαρ αὐτοῦ κατήσθιεν. Ἀγροίτας δὲ ἐν τῇ ιγ′ τῶν Λιβυκῶν (fg 6 M. IV 295) δειπνεῖσθαί φησι τὸ ἧπαρ Προμηθέως δόξαι ὑπὸ τοῦ ἀετοῦ διὰ τὸ τὴν κρατίστην τοῦ Προμηθέως χώραν τὸν ποταμὸν τὸν καλούμενον Ἀετὸν φθείρειν, ἧπαρ δὲ παρὰ πολλοῖς τὴν εὔκαρπον λέγεσθαι γῆν· Ἡρακλέους δὲ ἐξοχετεύσαντος διώρυξι τὸν ποταμόν, τόν τε ἀετὸν δόξαι ὑπ’ αὐτοῦ κεχωρίσθαι καὶ τὸν Προμηθέα λελύσθαι τῶν δεσμῶν.

212 Θεόφραστος (fg 50 Wimmer) δὲ τὸν Προμηθέα φησὶ σοφὸν γενόμενον μεταδοῦναι πρῶτον τοῖς ἀνθρώποις φιλοσοφίας, ὅθεν καὶ διαδοθῆναι τὸν μῦθον, ὡς ἄρα πυρὸς μεταδοίη. καὶ Ἡρόδωρος (31 fg 30 J.) ξένως περὶ τῶν δεσμῶν τοῦ Προμηθέως ταῦτα· εἶναι γὰρ αὐτὸν Σκυθῶν βασιλέα φησί, καὶ μὴ δυνάμενον παρέχειν τοῖς ὑπηκόοις τὰ ἐπιτήδεια διὰ τὸ τὸν καλούμενον Ἀετὸν ποταμὸν ἐπικλύζειν τὰ πεδία, δεθῆναι ὑπὸ τῶν Σκυθῶν, ἐπιφανέντα δὲ Ἡρακλέα τὸν μὲν ποταμὸν ἀποστρέψαι εἰς τὴν θάλασσαν —καὶ διὰ τοῦτο μεμυθεῦσθαι ἀνῃρηκέναι τὸν ἀετὸν Ἡρακλέα—, τὸν δὲ Προμηθέα λῦσαι τῶν δεσμῶν. Φερεκύδης δὲ ἐν β′ (3 fg 7 J.) Τυφῶνος καὶ Ἐχίδνης τῆς Φόρκυνός φησι τὸν ἀετὸν τὸν ἐπιπεμφθέντα Προμηθεῖ. ὅ, τι δὲ ὁ ἀετὸς ἤσθιεν τῆς ἡμέρας τοῦ ἥπατος, τὸ λειπόμενον ηὔξετο τῆς νυκτός, καὶ ἐγίνετο ἴσον. b ἰλλόμενος χαλκῇ 〈σιν 〉 : δεθῆναι τὸν Προμηθέα φησὶν Ἡσίοδος (Theog. 521 sqq.) καὶ τὸν ἀετὸν ἐπιπεμφθῆναι αὐτῷ διὰ τὴν τοῦ πυρὸς κλοπήν· Δοῦρις (76 fg 47 J.) δέ φησι διὰ τὸ τῆς Ἀθηνᾶς ἐρασθῆναι, ὅθεν τοὺς περὶ τὸ Καυκάσιον οἰκοῦντας μόνῳ Διὶ καὶ Ἀθηνᾷ μὴ θύειν διὰ τὸ κολάσεως αἰτίους Προμηθεῖ γενέσθαι, καθ’ ὑπερβολὴν δὲ σέβειν Ἡρακλέα τῆς τοῦ ἀετοῦ τοξείας χάριν. εἰκότως οὖν ὁ Ἀπολλώνιος περὶ Καύκασον γενόμενος καὶ τούτων ἐμνήσθη. 1251—53 τὸν μὲν ἐ π ’ ἀκροτ 〈άτησ 〉 : παρὰ τὴν ἑσπέραν, φησίν, εἶδον οἱ ἀριστεῖς τὸν ἀετὸν ἐπὶ τὸν Προμηθέα 〈…〉. παραιθύξας δέ, παραπνεύσας, τουτέστι πνοὴν ποιήσας, τῇ βίᾳ τῶν πτερύγων ἐτίναξε τὰ ἱστία. 1254 〈 αἰθερίοι ο:〉 ἀντὶ τοῦ ἀεροπόρου. L m 1255 ἶσα δ ’ εὐξέστοι ς: τὰ ἐν ταῖς πτέρυξι πτερὰ ἴσα εἶχεν ἐρετμοῖς, ὅ ἐστι κώπαις.

213 1256 δηρὸν δ ’ οὐ μετέπειτ α: ἀναστρεπτέον· ἔπειτα δὲ οὐ μετὰ δηρόν. L m P 1260a 〈 Ἄργοι ο:〉 τοῦ υἱοῦ Φρίξου. L m b δαημοσύνῃσι ν: τῇ ἐμπειρίᾳ τῶν τόπων. L m (P) 1269 〈 τοῖο θεο ῦ:〉 Ἄρεως. S m 1270 〈 πεπτάμενο ν:〉 Ἡρωδιανὸς (I 471, 10 L.) παροξυτόνως. L g 1272 μελισταγέα ς: γλυκείας, ἡδείας. L g (P) 1273 ἐνναέταις τε θεοῖ ς: τοῖς ἐγχωρίοις θεοῖς· τοὺς γὰρ ἐπιδημοῦντας ἔθος ἦν ἐν τῇ ἀλλοδαπῇ θύειν θεοῖς ἐπιχωρίοις καὶ ἥρωσι. τοῦτό φασι καὶ Ἀλέξανδρον ποιῆσαι τὸν Μακεδόνα ἐν Ἰλίῳ. 1275 καὶ νηὸς ἐναίσιμ α: τὰ καθήκοντα, οἷον ἐπ’ ἀγαθοῖς καὶ εὐπρόσδεκτα. 1279—80 εἴ τ ’ οὖν μειλιχί η: εἴτε πράως προσφερόμενοι τῷ Αἰήτῃ ἀποπειραθείημεν αὐτοῦ εἴτε ἄλλως πως. ἐπήβολος δὲ ἀσφαλής· οὕτω καὶ Ἀμερίας ἀπέδωκεν ἐν ταῖς Γλώσσαις. 1281 παρηγορίῃσι ν: προτροπαῖς καὶ ξυμβουλαῖς. L g (P) 1282a ὑψόθι ν ῆ ’ ἐκέλ 〈ευσεν 〉 : ἐν τῷ βάθει τοῦ ποταμοῦ, μὴ προσορμισθέντες τῇ γῇ. Ὅμηρος (Ξ 77)· ‘ὕψι δ’ ἐπ’ εὐνάων ὁρμίσομεν‘. b ἐ π ’ εὐναίῃσιν ἐρύσσα ι: ἐπὶ τῶν ἀγκυρῶν ἑλκύσαι, ταῖς ἀγκύραις ὁρμίσαι. 1283 δάσκιο ν: κατὰ συγκοπὴν τὸ δασύσκιον. L g P Γ [ Εἰ δ ’ ἄγε νῦ ν , Ἐρατώ:] Τοῦ τρίτου λόγου τῶν Ἀργοναυτικῶν τὰ κεφάλαιά ἐστι ταῦτα.

214 (1t) Ἥρα καὶ Ἀθηνᾶ βουλευσάμεναι πείθουσι τὴν Ἀφροδίτην, τῇ Μηδείᾳ ἐπιπέμψαι Ἔρωτα. Ἰάσων δὲ μετὰ τῶν Φρίξου υἱῶν παραγενόμενος πρὸς Αἰήτην ἀξιοῖ λαβεῖν τὸ δέρος. ἀγανακτήσας δὲ ὁ Αἰήτης ἄθλους αὐτῷ προστάττει μεγάλους, ὥστε τοὺς πυρίπνους ταύρους ζεῦξαι καὶ σπεῖραι τοὺς τοῦ δράκοντος ὀδόντας, ὑφ’ ὧν ἀνεδίδοντο γίγαντες· οὐ μόνον δὲ σπεῖραι, ἀλλὰ καὶ τὸν τῶν γηγενῶν στάχυν θερίσαι. Μήδεια δὲ διὰ τὸν ἐπὶ τὸν Ἰάσονα ἔρωτα ὑπάγεται Χαλκιόπην, ὡς αὐτῆς τοῖς υἱοῖς βοηθήσουσα. καὶ δὴ συνθεμένη, συντυχοῦσα τῷ Ἰάσονι κατὰ τὸ τῆς Ἑκάτης ἱερόν, δίδωσί τε τὰ φάρμακα καὶ ὑποτίθεται, ὃν τρόπον δεῖ πρὸς τὸ θέρος τῶν γιγάντων ἁρμόσασθαι. τοῖς δὲ φαρμάκοις χρησάμενος ὁ Ἰάσων, ἤνυσε παρὰ πᾶσαν ἐλπίδα τοῦ Αἰήτου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς προβληθέντας ἄθλους. 1—5a Εἰ δ ’ ἄγε νῦν , Ἐρα 〈τώ 〉 : τὴν Ἐρατώ φασιν ὄρχησιν εὑρηκέναι. εὐλόγως οὖν Ἀπολλώνιος μεμοιρᾶσθαι τὴν Ἐρατώ φησι τῶν τῆς Ἀφροδίτης ὀργίων, λέγω δὴ τῶν γαμικῶν· γάμοις δὲ ἄρα καὶ ὄρχησις ἕπεται. ἐν δὲ τοῖς εἰς Μουσαῖον ἀναφερομένοις (2 B 15 DielsKranz) δύο ἱστοροῦνται γενέσεις Μουσῶν, πρεσβυτέρων μὲν κατὰ Κρόνον, νεωτέρων δὲ τῶν ἐκ Διὸς καὶ Μνημοσύνης. b Εἰ δ ’ ἄγε νῦν , 〈Ἐρατώ 〉 : λέγεται τῶν Μουσῶν ἡ μὲν Κλειὼ εὑρηκέναι τὴν ἱστορίαν, Θάλεια δὲ γεωργίαν καὶ τὴν περὶ τὰ φυτὰ πραγματείαν, Εὐτέρπη δὲ μαθήματα, Τερψιχόρη δὲ παιδιάν, Ἐρατὼ δὲ ὄρχησιν, Πολυμνία δὲ λύραν, Μελπομένη δὲ ᾠδήν, Οὐρανία δὲ ἀστρολογίαν, Καλλιόπη δὲ ποίησιν.

215 c ζητεῖται δὲ μάλιστα, πῶς ἐπικέκληται τὴν Μοῦσαν, ἐν τῷ α′ (I) Ἀπόλλωνα ἐπικαλεσάμενος. τινὲς μὲν οὖν, ὅτι εὑρέτις ὀρχήσεως ἐν τοῖς Ὀρφικοῖς (fg 39 Kern) παραδέδοται ἡ Ἐρατώ· ἐπεὶ οὖν μέλλει διηγεῖσθαι τὸν τῆς Μηδείας γάμον, διὰ τοῦτο ἐπικέκληται τὴν εὑρέτιν τῆς ἐπιβαλλούσης τῷ γάμῳ ὀρχήσεως Μοῦσαν. οἱ δέ, ὅτι θαλιῶν εἰσι προστάτιδες αἱ Μοῦσαι· οὐκ ἀλλοτρία οὖν τοῦ γάμου ἔσται ἡ Μοῦσα. ὅτι δὲ θαλιῶν εἰσι προστάτιδες αἱ Μοῦσαι, ἐν τοῖς Ὀρφικοῖς δεδήλωται (fg 38 Kern)· ‘οὐδέ τι λήθονται Μουσέων βροτοί· αἳ γὰρ ἔασι κοίρανοι, αἶσι μέμηλε χορὸς θαλίαι τ’ ἐρατειναί.‘ Ῥιανὸς δὲ ἐν α′ Ἠλιακῶν φησι μηδὲν διαφέρειν, εἰ μίαν ἐπικαλεῖται τῶν Μουσῶν τις· πάσας γὰρ σημαίνει διὰ μιᾶς. λέγει δὲ οὕτως (fg III 3 Meineke Anal. Alex. 1843, 202 )· ‘πᾶσαι δ’ εἰσαΐουσι, μιῆς ὅτε τ’ οὔνομα λέξεις.‘ d Ἐρατ ώ: ἀντὶ τοῦ Ἐρατοῖ· Ἀττικῶς, ὡς τό· ‘Ἠέλιος, ὃς πάντ’ ἐφορᾷσ‘ (Γ 277). τὸ δὲ ἑξῆς· παρίστασο καὶ εἰπέ. L g (P) e Ἐρατ ώ: τὸ κοινὸν πασῶν ἐνέργημα τῇ Ἐρατοῖ διὰ τὸ ὄνομα περιέθηκεν. L m (P) 6 ἀνωίστω ς: ἀνυπονοήτως. L g P 13 με θ ’ Ἑλλάδ α: ἀντὶ τοῦ εἰς Ἑλλάδα. L g P 16 ἀποτρωπᾶσθαι ἔοικε ν: ἀποτρέπεσθαι. ὁ δὲ νοῦς· ὅμως οὐδεμίαν πεῖραν παριέναι δεῖ. 17 τὴν δὲ παρᾶσσο ν: παραχρῆμα, εὐθέως.

216 ἢ λείπει τὸ καθημένη. 19 ἀπηλεγέω ς: σημαίνει μὲν καὶ τὸ ἀληθῶς καὶ 〈τὸ〉 ἁπλῶς, ἔτι δὲ καὶ τὸ σαφῶς. νῦν δὲ ἀντὶ τοῦ ἀποτόμως· ἐπιφέρει γάρ· ἀλλά τοι οὔπω φράσσασθαι νοέ ω. 21 〈 ἐπεδοίασ α:〉 ἐστοχασάμην. G g S m 23 ἄνδιχα πορφύρουσα ι: χωρὶς μεριμνῶσαι. L g (P) 25a μετ ά: ἀντὶ τῆς πρός. L g (P) b ἐπιπλόμενα ι: παραγενόμεναι, ἐπελθοῦσαι. L g P 26a παιδὶ ἑ ῷ: τῷ Ἔρωτι. L g (P) b παιδὶ ἑῷ εἰπεῖ ν: Ἀπολλώνιος μὲν Ἀφροδίτης τὸν Ἔρωτα γενεαλογεῖ, Σαπφὼ (fg inc. lib. 82 Lobel = 132 B. III 131) δὲ Γῆς καὶ Οὐρανοῦ, Σιμωνίδης δὲ Ἀφροδίτης καὶ Ἄρεως (fg 43 B. III 408)· ‘σχέτλιε παῖ δολόμηδες Ἀφροδίτας, τὸν Ἄρη δολομηχάνῳ τέκεν.‘ Ἴβυκος (fg 31 B. III 247) 〈δὲ Ἀφροδίτης καὶ Ἡφαίστου〉, ὁ δὲ Ἡσίοδος (Theog. 116 sqq.) ἐκ Χάους λέγει τὸν Ἔρωτα, ἐν δὲ τοῖς εἰς Ὀρφέα Χρόνου (fg 37 Kern)· ‘αὐτὰρ Ἔρωτα Χρόνος καὶ πνεύματα πάντ’ ἐτέκνωσε.‘ 28 θέλξαι ὀιστεύσα ς: νῦν ἀντὶ τοῦ ἀπατῆσαι, εἰς τὸ μὴ κρατῆσαι ἑαυτῆς διὰ τὸν ἔρωτα. 30 πυκινὴ δὲ συνεύαδε ν: ἄνευ τοῦ ἄρθρου 〈οὐ〉 καλῶς, ἀντὶ τοῦ· πυκνὴ δὲ καὶ συνετὴ ἤρεσεν αὐτῇ εἶναι ἡ βουλή. 37 ὄρρα τέ οἱ δεῖμεν πό〈σισ 〉 : ὄρρα τέ οἱ διὰ δύο ρρ .

217 αἱ δὲ Ἀριστάρχειοι (I 404, 10 Ludwich) δι’ ἑνὸς ρ τὰ τοιαῦτα γράφουσιν, ὡς καὶ παρὰ τῷ ποιητῇ (Π 228) ‘τό ῥα τότ’ ἐκ χηλοῖο λαβών‘ φησιν Ἡρακλέων (fg 11 Berndt Progr. gymn. Insterb. 1914, 21). 39 αἰθούσ η: νῦν τῇ παραστάδι. L g (P) 41—43a ἀλ λ ’ ὁ μὲν ἐς χαλκε〈ῶνα 〉 : τῶν Αἰόλου νήσων ἐστὶν ἡ Ἱέρα καλουμένη, ἐν ᾗ φασι τὸν Ἥφαιστον χαλκεύειν. πλαγκτὴν δὲ αὐτὴν εἴρηκεν ἀκολουθήσας τοῖς περὶ Ἰταλίαν καὶ Σικελίαν μυθολογοῦσι τὴν Ὀδυσσέως πλάνην· ἢ ὅτι τὸ παλαιὸν αἱ νῆσοι πᾶσαι ἐπλανῶντο καὶ βάσεις οὐκ εἶχον. Καλλίμαχος δὲ οὐ τὴν Ἱέραν φησὶν ἀνακεῖσθαι Ἡφαίστῳ, ἀλλὰ τὴν Λιπάραν (Hymn. III 47)· ‘νήσῳ ἐνὶ Λιπάρῃ‘. εἰσὶ δὲ αἱ τοῦ Αἰόλου νῆσοι ἑπτὰ αὗται· Στρογγύλη, Εὐώνυμος, Ἱέρα, Λιπάρα, Διδύμη, Ἐρικώδης, Φοινικώδης. 〈...〉 περὶ Σικελίαν. b ἱστορεῖ Καλλίας ἐν ι′ τῶν Περὶ Ἀγαθοκλέα (fg 4 M. II 383), λέγων εἶναι ἐκεῖσε λόφον ὑψηλόν, ἐφ’ οὗ κρατῆρές εἰσι δύο, ὧν ὁ ἕτερός ἐστι τὴν περίμετρον τριστάδιος, ἐξ οὗ πολὺ φέρεται φέγγος, ὥστε ἐπιπολὺ τὸν πόντον παραυγάζειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔπειτα ἐκ τοῦ χάσματος ἀναφέρονται διάπυροι λίθοι ἀπλετομεγέθεις. καὶ τηλικοῦτος βρόμος γίνεται καθ’ ὃν καιρὸν συμβαίνει ἐργάζεσθαι τὸν Ἥφαιστον, ὥστε ἐπὶ φ′ στάδια ἀκούεσθαι τὸν ἦχον. οἱ δὲ ἐκ τοῦ ἐκφυσήματος ἀναρριπτούμενοι μύδροι διὰ τὴν ἐκπύρωσιν πάντοτε ἰώδεις εἰσί, καὶ περικεκαυμένων τὴν ὄψιν καὶ τὴν δύναμιν [καθ’ ἥλιον] ἔχουσιν. νύκτωρ μὲν οὖν πάντα τὰ περὶ τὴν ἐργασίαν τοῦ θεοῦ γινόμενα καλῶς δηλοῦται, μεθ’ ἡμέραν δὲ [ἐκ] τῆς κορυφῆς, ὅθεν ἡ φλὸξ ἄνεισιν, ὥσπερ νέφος ὑπερκείμενον ὁρᾶται.

218 διὰ δὲ τοῦ λέγειν δαίδαλα χάλκευεν ῥιπῇ πυρὸς ἐμφαίνει περὶ τῆς λεγομένης ὑπὸ τοῦ Καλλίου ἀναφυσήσεως τοῦ πυρὸς ἐκ τοῦ χάσματος. c ἦρ ι: ἕωθεν. L g P 48 ἔσχεθε ν: ἐπαύσατο τοῦ κτενίζεσθαι. L m P 50 ἀψήκτου ς: ἀκτενίστους. L g P 52 ἠθεῖα ι: προσφώνησις παρ’ Ὁμήρῳ νεωτέρων πρὸς πρεσβυτέρους. Ἀπολλώνιος δὲ συλληπτικῇ τῇ φράσει κέχρηται· τὸ γὰρ τῇ Ἥρᾳ προσὸν καὶ κατὰ τῆς Ἀθηνᾶς ἔταξεν. ταῦτα δὲ ἁρμόσει λέγεσθαι κατὰ τὴν Ὁμήρου ποίησιν. κατὰ δὲ τοὺς νεωτέρους οὐ μόνον Ἀθηνᾶς καὶ Ἥρας, ἀλλὰ καὶ Διός ἐστι πρεσβυτέρα· Ἡσίοδος (Theog. 188 sqq.) γὰρ αὐτὴν ἐκ τῶν αἰδοίων τοῦ Οὐρανοῦ φησι γενέσθαι. 53—54a δηναιά ς: διὰ πολλοῦ χρόνου ὀφθείσας. L g (P) b οὔτι πάρος γ ε: παραγράφει τὸ Ὁμηρικόν (Σ 386)· ‘πάρος γε μὲν οὔ τι θαμίζεισ‘. L m (P) 56a κερτομέει ς: οἷον εἰρωνεύῃ. L g G g (P) b συνορίνετα ι: ταράσσεται, θορυβεῖται. L g (P) 62 λυσόμενος χαλκέω ν: τὸν Ἰξίονα παρείληφεν, ὅτι δοκεῖ ἐπικεχειρηκέναι τῇ Ἥρᾳ. Φλεγύου δὲ υἱὸς Ἰξίων, ὡς καὶ Εὐριπίδης (fg 424 N. 2 )· ‘Φλεγύαντος υἱέ, δέσποτ’ Ἰξίων‘. Φερεκύδης (3 fg 51 b J.) δὲ 〈...〉 Ἀντίονος. φασὶ δέ, ὅτι γαμήσας Δῖαν τὴν Ἠϊονέως θυγατέρα πολλὰ ὑπέσχετο δώσειν δῶρα.

219 ἐλθόντος δὲ ἐπὶ ταῦτα τοῦ Ἠϊονέως, βέρεθρον ποιήσας καὶ πυρακτώσας σκεπάζει αὐτὸ λεπτοῖς ξύλοις καὶ κόνει λεπτῇ· ἐμπεσὼν δὲ ὁ Ἠϊονεὺς ἀπόλλυται. λύσσα δὲ τῷ Ἰξίονι ἐνέπεσε διὰ τοῦτο, καὶ οὐδεὶς αὐτὸν ἤθελεν ἁγνίσαι, οὔτε θεῶν οὔτε ἀνθρώπων· πρῶτος γὰρ ἐμφύλιον ἄνδρα ἀπέκτεινεν. ἐλεήσας δὲ αὐτὸν ὁ Ζεὺς ἁγνίζει. καὶ ἁγνισθεὶς ἠράσθη τῆς Ἥρας· ὁ δὲ Ζεὺς νεφέλην ὁμοιώσας Ἥρᾳ παρακοιμίζει αὐτῷ, καὶ ὕστερον ποιήσας τετράκνημον τροχὸν καὶ δεσμεύσας αὐτὸν τιμωρεῖται. 68a εὐνομία ἡ δικαιοσύνη καὶ ἡ καλοπραγία. L m P b 〈 ἀντεβόλησ α:〉 τῷ Ἰάσονι. S m 69 νιφετῷ 〈 δ ’ ἐ〉 παλύνετ ο: τῇ χιόνι ἐσκέπαστο. L g P 72 ὀλοφύρατ ο: ὅτι τὸ ὀλοφύρατο εἴληπται καὶ ἐπὶ τοῦ ἠλέησεν· ‘ὀλοφυρόμενοσ‘ (Hom.) συμπαθῶν, πάσχων. L m (P) 73 διεκπροαλέ ς: κατώφορον, κατωφερὲς καὶ ἐπὶ τὴν ἅλα προϊόν, ῥοῶδες. 76a 〈 Κύπρι ν:〉 λείπει τὸ ἀκούσασαν. L g b νεοστασί η: ἀντὶ τοῦ· ἐν ἐπιστάσει ἐγένετο νέων μύθων, ἢ μύθων ἐπίστασις εἷλεν αὐτὴν καὶ νεωστὶ προσπεπτωκότος λόγου σύννοια. 77a ὁ δὲ νοῦς· ἐσέβετο δὲ τιμωμένην ὑπὸ τῆς Ἥρας ἑαυτὴν βλέπουσα. b ἀντομένη ν: ἱκετεύουσαν, λισσομένην. L m (P) 86 παρθένον Αἰήτε ω: ἀντὶ τοῦ θυγατέρα. δύναται δὲ καὶ οὕτως ἀκούεσθαι· τῶν Αἰήτου θυγατρῶν τὴν οὖσαν παρθένον. 89a δολόεσσ α: ἀντὶ τοῦ φρονίμη· ἔστι γάρ ποτε ὁ δόλος καὶ ἐπὶ τῆς φρονήσεως. b δολόεσσ α: πανοῦργος. L g P 95a μενέην α: ἀντὶ τοῦ ὠργίσθην. L g P b περισχομέν η: ἀντὶ τοῦ ὑπεραλγήσασα. L g P 97—99a 〈 χαλεφθεί ς:〉 ὁ νοῦς· χαλεπῶς γάρ μοι χαλεπαίνων ἠπείλησεν· εἰ μὴ ἀποσχοίμην τὰς χεῖρας, ἕως ἔτι τοῦ θυμοῦ κρατεῖ, στερηθήσεσθαί με αὐτοῦ. τὸ δὲ ἑοῖ οὐκ εὖ κεῖται. L m (P) b 〈 θυμό ν:〉 γράφεται μῦθο ν. L g c ἀτεμβοίμη ν: ἀντὶ τοῦ μεμφοίμην.

220 L g G g (P) 106 ῥαδινῇ ς: τρυφερᾶς. Ἀνακρέων δὲ ἐπὶ τάχους ἔταξε τὸ ῥαδινόν (fg 165 B. III 294) ‘ῥαδινοὺς πώλουσ‘· Ἴβυκος (fg 58 B. III 251) δὲ ἐπὶ τῶν τὸν οὐρανὸν βασταζόντων κιόνων, εὐμεγέθεις λέγων· Στησίχορος ἐπὶ τοῦ εὐτόνου (fg 53 B. III 224) ‘ῥαδινοὺς δ’ ἐπέπεμπον ἄκοντασ‘. 107 παραβλήδη ν: ἀντὶ τοῦ παραβάλλουσα τοῖς εἰρημένοις· οὐ γὰρ ἀκουστέον ἐπὶ τοῦ ἀπατᾶν. Παλαμήδης δὲ ἐξ ἀντιβολῆς ἢ παραλογιστικῶς, νῦν δὲ ἐξ ἀποκρίσεως. 110 〈 μεταλλήξε ι:〉 μεταστρέψει. G g S m 112 παλίσσυτο ι: ὀπισθόρμητοι. L g P 114—17a ἀπάνευθε Διό ς: ἀμφίβολος ἡ φράσις. τὸ μὲν γὰρ δηλοῖ ἀπάνευθε Διὸς χωρὶς τοῦ Διός, ὃ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μᾶλλον· ἢ λείπει τὸ ἄλλων, ἵν’ ᾖ· χωρὶς τῶν ἄλλων ἐν τῇ Διὸς ἀλωῇ. τὸν δὲ Γανυμήδην Ὅμηρος (Υ 234) οὐχ ὑπὸ Διὸς ἡρπάσθαι, ἀλλ’ ὑπὸ θεῶν φησιν —‘τὸν καὶ ἀνηρείψαντο θεοί‘—, οὐδὲ δι’ ἔρωτα καὶ πόθον, ἀλλ’ ὥστε ‘Διὶ οἰνοχοεύειν‘. b [ βῆ δὲ διὲκ μεγάροιο:] διὰ τούτων τῶν στίχων παραγράφει τὰ εἰρημένα ὑπὸ Ἰβύκου ἐν οἷς περὶ τῆς Γανυμήδους ἁρπαγῆς εἶπεν ἐν τῇ Εἰς Γοργίαν ᾠδῇ (fg 30 B. III 247)· καὶ ἐπιφέρει περὶ τῆς Ἠοῦς, ὡς ἥρπασε Τιθωνόν. L m P 118 ἑψιόωντ ο: ἀντὶ τοῦ ἔπαιζον. Φιλόξενος δὲ ἀντὶ τοῦ ὡμίλουν, παρὰ τὸ ἔπος 120 μάργος Ἔρω ς: κατὰ μετωνυμίαν ὁ μαργαίνειν ποιῶν, ὡς καὶ (Ζ 132) ‘μαινομένου Διονύσοιο‘ καὶ Ἀνακρέων (fg 169 B.

221 III 294) ‘τακερὸς δ’ ἔρωσ‘ καὶ Ὅμηρος ‘χλωρὸν δέοσ‘. ἡ δὲ λαιὰ ἐσχημάτισται ἀπὸ τοῦ λῴου, ὅ ἐστι βελτίονος· ὅθεν καὶ εὐώνυμος. 122 ὀκλαδό ν: ἀντὶ τοῦ ὀκλάσας. L g P 123a 〈 κατηφιόω ν:〉 νῦν ταρασσόμενος, ὠξυμμένος L g b δοιὼ δ ’ ἔχε ν: λείπει τὸ ἀστραγάλους. L g (P) 125—26 ἐπὶ προτέροισιν ὀλέ〈σσασ〉 : καὶ τούτους ἐπαπολέσας τοῖς προτέροις, κεναῖς χερσὶν ἀμηχανῶν ἐν ἀπορίᾳ ἔκειτο, οὐ δυνάμενος ἔτι νικῆσαι τὸν Ἔρωτα. συμπαίζει γὰρ ὁ Γανυμήδης τῷ Ἔρωτι. 129—30 τίπ τ ’ ἐπιμειδιάᾳς ἄφατο ν: τί γελᾷς, κακὸν μέγα καὶ ἄρρητον; ἦ αὐτὸν ματαίως ἐξηπάτησας καὶ παρελογίσω, οὐδὲ δικαίως αὐτοῦ περιεγένου, ἀλλὰ παρελογίσω ἄπειρον αὐτὸν ὄντα; 133 Ἀδρήστει α: Καλλίμαχος (Hymn. I 47)· ‘σὲ δὲ κοίμισεν Ἀδρήστεια‘. ἀδελφὴ Κουρήτων. 134 ἄντρ ῳ , ἐν Ἰδαί ῳ: ἢ τῷ τῆς Κρήτης ἢ τῷ τῆς Τροίας· ἀντιποιοῦνται γὰρ καὶ Τρῶες τῆς τοῦ Διὸς γενέσεως, καθά φησι Δημήτριος ὁ Σκήψιος (fg 53 Gaede). 137—38 κύκλ α: κύκλα λέγει τοὺς ῥόμβους, τὰ κυκλώματα. Ἰωνικῶς δὲ τὰ κύκλα ἀντὶ τοῦ κύκλους, ὡς λύχνα καὶ δίφρα. ἁψῖδες δὲ αἱ συναφαί, περιηγέες δὲ περιφερεῖς, περίδρομοι. 140 ἑαῖ ς: ἔδει τεαῖς εἰπεῖν. L g (P) 141 ὁλκό ν: νῦν τὴν διαδρομὴν τοῦ ἀστέρος λέγει. 143 θέλξο ν: ἀντὶ τοῦ λῦσον τὴν ψυχήν. L g P 144a ἀμβολί η: βραδυτής. L g (P) b ἀφαυροτέρ η: ἐλάσσων. L g P 146 μείλι α: τὰ παίγνια, δι’ ὧν οἱ παῖδες μειλίσσονται.

222 Ὅμηρος ἐπὶ τῶν ξενίων (Ι 147 sq.)· ‘ἐγὼ δ’ ἐπὶ μείλια δώσω πολλὰ μάλα‘. 148—50a ἡ δ ’ ἀγανοῖσι ν: οὕτω τὸ ἑξῆς· ἡ δὲ ἐπειρύσασα παρειὰς κύσε ποτισχομέν η , καὶ ἀντομένη ἀγανοῖς μύθοις ἀμείβετο μειδιόωσ α. b ποτισχομέν η: περιλαβοῦσα. L g P 153 εἴ κεν ἐνισκίμψῃ ς: ἐὰν ἐνερείσῃς, ἐπιβάλῃς. 166 ἀ ν ’ αἰθέρ ι: ἀντὶ τοῦ ἀν’ αἰθέρα, δοτικὴ ἀντὶ αἰτιατικῆς. L m P 167 ἑῆ ς: ἔδει εἰπεῖν σφῆς, ἵν’ ᾖ τῆς ἑαυτῶν· τὸ δὲ ἑῆς ἐστι τῆς ἑαυτοῦ. L m (P) 173 〈 ξυνὴ γὰρ χρει ώ:〉 κοινὴ γὰρ ἡ χρεία καὶ οἱ λόγοι. L m 174—75 ὁ δὲ σῖγα νόο ν: ὁ δὲ κατὰ σιγὴν πράττων καὶ ἐν ἑαυτῷ κρύπτων τὸ συμφέρον, οὗτος τὴν σωτηρίαν ἡμῶν παραιρεῖται. L 186 σφέτερον κτέρα ς: οὐκ ὀρθῶς τὸ σφέτερο ν: ἔστι γὰρ τρίτον πρόσωπον πληθυντικόν. καὶ ἁμαρτάνει· ἔδει γὰρ ἑνικὸν καὶ οὐ πληθυντικόν· ἀποχωρίσαι ἑὸν κτέρας. 187 λωίτερο ν: αὐτὸ τὸ λῷον συγκριτικόν· τὸ δὲ λωίτερον παρῆκται διὰ τὸ μέτρον. 190—91 ὅδε καί πο τ ’ ἀμύμο〈να〉 : διὰ ὀξείας τὴν πρώτην συλλαβήν· κατὰ ἀναφορὰν γὰρ λέγεται ἐπὶ τοῦ Αἰήτου. τὸ δὲ ἑξῆς· ὅδε καί ποτε Φρίξον ἔδεκτο πατρὸς φεύγοντα θυηλά ς. 199 ἐπὶ θρωσμοῦ πεδ〈ίοιο〉 : τοῦ ὑπερκειμένου τοῦ ποταμοῦ τόπου, ὅπου ἔστι θορεῖν καὶ πηδῆσαι ἀπὸ τῆς νεώς. LG m (P) 200a Κίρκαιον τό γε δ ή: τὴν Κίρκην τινὲς μὲν Αἰήτου ἀδελφήν, τινὲς δὲ θυγατέρα.

223 ἱστορεῖ δὲ Διονύσιος (32 fg 1a J.), Ἡλίου ὅτι ἐγένοντο Περσεὺς καὶ Αἰήτης. Περσεὺς δὲ Ταύρων ἐβασίλευσεν καὶ συγγενόμενος νύμφῃ τινὶ Ἑκάτην ἔσχε θυγατέρα, ἣ περὶ τὰς ἐρημίας ἑκάστοτε διατρίβουσα ἐμπειροτάτη τῶν τε δηλητηρίων καὶ τῶν ἰᾶσθαι δυναμένων ἐγένετο· ἣν μεταπεμψάμενος ὁ Αἰήτης ἔγημεν καὶ ἔσχεν ἐξ αὐτῆς τὴν Κίρκην. b τὴν Κίρκην Διονύσιος ὁ Μιλήσιος ἐν α′ τῶν Ἀργοναυτικῶν (v. sch. a ) θυγατέρα Αἰήτου καὶ Ἑκάτης τῆς Πέρσεως θυγατρός, ἀδελφὴν δὲ Μηδείας. Ἡλίῳ γάρ φησιν υἱοὺς γενέσθαι δύω ἐν τοῖς τόποις ἐκείνοις, οἷς ὀνόματα ἦν Πέρσης καὶ Αἰήτης· τούτους διακατασχεῖν τὴν χώραν, καὶ Αἰήτην μὲν Κόλχων καὶ Μαιωτῶν, Πέρσεα δὲ τῆς Ταυρικῆς κυριεῦσαι· τὸν δὲ Πέρσεα πρεσβύτερον ὄντα γῆμαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γυναῖκα τῶν ἐγχωρίων τινά, καὶ γενέσθαι αὐτῷ θυγατέρα, ᾗ ὄνομα Ἑκάτη, ἥτις λέγεται ἀνδρικὴ γενέσθαι περὶ τὰ κυνηγετικὰ καὶ πρώτη θανασίμους ῥίζας εὑρεῖν καὶ τὸν ἑαυτῆς πατέρα φαρμάκοις ἀποκτεῖναι. ταύτην γήμασθαι πεμφθεῖσαν εἰς Κόλχους Αἰήτῃ τῷ πατραδέλφῳ, ἀφ' ἧς γενέσθαι Κίρκην καὶ Μήδειαν· τὴν δὲ Κίρκην, πρεσβυτέραν οὖσαν τῆς Μηδείας, ὑπερβαλέσθαι τὴν ἑαυτῆς μητέρα, τὰ μὲν διακούσασαν, τὰ δὲ καὶ αὐτὴν ἐφευρηκυῖαν πολλὰ καὶ δεινά. Ἡσίοδος δέ φησι τὴν Κίρκην τοῦ Ἡλίου θυγατέρα εἶναι ἐν τοῖσδε τοῖς ἔπεσιν (Theog. 1011 sqq.)· 'Κίρκη δ' Ἠελίου θυγάτηρ Ὑπεριονίδαο τίκτεν Ὀδυσσῆι ταλασίφρονι ἐν φιλότητι Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε.' 202—09a τῶν καὶ ἐ π ' ἀκροτάτω ν: ὅτι τὰ μὲν ἄρσενα σώματα οὐ θέμις Κόλχοις οὔτε καίειν οὔτε θάπτειν, βύρσαις δὲ νεαραῖς εἱλοῦντες ἐκρέμων τῶν ἀρσένων τὰ σώματα, τὰ δὲ θήλεα τῇ γῇ ἐδίδοσαν, ὥς φησι Νυμφόδωρος (fg 17 M.

224 II 380), ᾧ ἠκολούθησε. σέβονται δὲ μάλιστα Οὐρανὸν καὶ Γῆν. b ἡ γάρ κε δίκ η: ἀντὶ τοῦ ὁ τρόπος. L m (P) 215 τεθηπότες ἕρκ ε ' ἂν 〈α〉 κ 〈τοσ〉 : τὴν ὀχύρωσιν τῆς οἰκήσεως, τῶν οἰκημάτων τὴν ἀσφάλειαν. L 218 χαλκείαις ἐπὶ γλυ〈φίδεσσιν〉 : ἐπὶ χαλκοῖς τορεύμασιν ἢ χαλκοῖς κιονοκράνοις. 222 ἐλάχηνε ν: ὤρυξεν, ἔσκαψεν. καταστρέφει δὲ εἰς τὸ κατεσκεύασεν. 224 θυώδεϊ νᾶε ν: ἀρώμασι μεμιγμένον ὕδωρ ἔρρει ἢ εὐῶδες ἔλαιον. 225—27a ἡ δ ' ἄ ρ ' ὕδωρ προρέεσκ ε: ὁ Ἀπολλώνιος κατὰ τὴν Πλειάδων δύσιν λέγων τὴν κρήνην θερμὸν ῥεῖν, κατὰ δὲ τὴν ἀνατολὴν ψυχρόν, οὐ παρέστησεν εἰλικρινῶς τὸν καιρόν. δύο γάρ εἰσιν ἀνατολαὶ τῶν ἀπλανῶν ἄστρων καὶ δύο δύσεις. ἑῴα μέν ἐστιν ἀνατολή, ὅταν ἔξω τῶν αὐγῶν τοῦ ἡλίου πρῶτον ἱστῆταί τι ἄστρον καὶ πρὸ αὐτοῦ ἀνατέλλον ὀφθῇ· ἑῴα δὲ δύσις, ὅταν ἡλίου πρὸς τὴν ἀνατολὴν ὄντος ὁραθῇ τι ἄστρον περὶ τὰς δύσεις ὕστατον τῶν ὅσα κατ' ἐκείνην τὴν νύκτα δύνει. ἑσπερία δὲ ἀνατολή, ὅταν δύνοντος ἡλίου ὁραθῇ τι ἄστρον ἐπὶ τῆς ἀνατολῆς πρῶτον τῶν ὅσα κατ' ἐκείνην τὴν νύκτα ἀνίσχει. ἑσπερία δὲ δύσις λέγεται, ὅταν ἡλίου δύνοντος ἄστρον ὁραθῇ τι πρὸ τῶν ἄλλων ἐπικαταδῦνον αὐτῷ, πρὶν ἂν ὑπὸ ταῖς αὐγαῖς τοῦ ἡλίου γένηται. ὁ δὲ ὑπὸ ταῖς αὐγαῖς χρόνος πᾶς κρύψις ὀνομάζεται. αἱ δὲ Πληιάδες Πληιόνης τῆς Ὠκεανοῦ καὶ Ἄτλαντος, ὡς μέν τινες, ἀπὸ τῆς μητρὸς ἔσχον τὴν ἐπωνυμίαν· ἢ μᾶλλον παρὰ τὸν πλειῶνα, ὅς ἐστιν ἐνιαυτός, σημαντικαὶ γὰρ αὗται καὶ χειμῶνος καὶ θέρους.

225 αὗται δὲ τὴν ἐναντίαν ἀεὶ πορείαν ποιοῦνται τῷ Ὠρίωνι. συναντῆσαι γὰρ λέγεται τῇ Πληιόνῃ μετὰ τῶν θυγατέρων κατὰ τὴν Βοιωτίαν, καὶ εἰς ἔρωτα ταύτης ἐμπεσὼν ἐδίωκεν, ἡ δὲ ἔφευγεν. γενέσθαι δὲ τὸν δρόμον αὐτῶν φασιν ἀδιάλειπτον, καὶ οὕτω καταστερισθῆναι τὰς Πληιάδας τὸν Ὠρίωνα φευγούσας. b τὸ δὲ θέρμετο ἀντὶ τοῦ ἐθερμαίνετο. P 230 ὅτι χαλκόποδες οἱ ταῦροι καὶ πῦρ πνέοντες, καὶ Φερεκύδης (3 fg 112 J.) φησίν. L m (P) 232a πρὸς δὲ καὶ αὐτόγυον στιβαρο ῦ: δύο ἀρότρων εἰσὶν εἴδη, τὸ μὲν πηκτόν, τὸ δὲ αὐτόγυον· πηκτὸν μὲν τὸ ἐκ συμβολῆς ἔχον τὸ ἔλυμα 〈.

226 ..〉. ἔστι δὲ τὸ ἔλυμα, ἐν ᾧ ἡ ὕνις ἐντίθεται. τὸ δὲ ξύλον τὸ ἀπὸ τοῦ ἐλύματος τεῖνον ἐπὶ τοὺς βόας γύης καλεῖται, τὸ δὲ ἀπὸ τοῦ γύου ἱστοβοεύς. τοῦ δὲ ζυγοῦ τὰ ἐπὶ τοὺς αὐχένας τῶν βοῶν ἐπιτιθέμενα οἱ μὲν ζεύγλας, οἱ δὲ μέσσαβα λέγουσι. τὴν δὲ κατασκευὴν τῶν ἀρότρων Ἐρατοσθένης ἐν τῷ Ἀρχιτεκτονικῷ (fg 17 Strecker) καταγράφει. b αὐτόγυο ν: πρὸς τὸ πηκτὸν ἄροτρον ἡ διαστολή. L g (P) 233—34a ἤλασεν Ἠελί ῳ: πέπλασται ὁ μῦθος διὰ τὴν τοῦ θεοῦ τῶν ποδῶν χωλότητα. οὐ μέντοι πιθανῶς· μείζονα γὰρ εἶχεν δύναμιν τῶν Γιγάντων, δι' ἧς αὐτοὺς ἐτρέψατο ἄν. ὁ μέντοι Ἀπολλώνιος αἰτίαν ἀποδέδωκε, δι' ἧς ὁ Ἥφαιστος κατεσκεύασε τῷ Αἰήτῃ τούς τε χαλκώνυχας ταύρους καὶ τὸ ἄροτρον. ὅτι δὲ δυνατὸς ἦν Ἥφαιστος, Ὅμηρος (Φ 342 sqq.) ἔδειξεν ἐπὶ Ξάνθου τοῦ ποταμοῦ. b Φλεγραί ῃ: Φλέγρα πεδίον Θρᾴκης περὶ Παλλήνην, ἔνθα οἱ θεοὶ τοὺς Γίγαντας κατεπολέμησαν. 235 μέσαυλον τὸ μέσον τῆς αὐλῆς, ὅπου τῶν βοῶν αἱ στάσεις. μέσαυλον δὲ οἱ Ἀττικοὶ 〈τὴν μέσην θύραν〉 τὴν φέρουσαν εἴς τε τὴν ἀνδρωνῖτιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ γυναικωνῖτιν. 237—38 δαιδαλέη δ ’ αἴθουσ α: στοὰ δὲ ποικίλη ἦν ἑκατέρωθεν τῆς οἰκίας. ἐκ πλαγίου δὲ τῆς αἰθούσης ὑψηλότεραι ἦσαν οἰκοδομαί, ὅ ἐστι· πύργοι ἦσαν ἑκατέρωθεν. 239 〈 ὑπείροχο ς:〉 ὑψηλότερος.

227 L g 240 〈 σὺν ἑῇ ναίεσκε δάμαρτ ι:〉 ὁ τὰ Ναυπακτικὰ πεποιηκὼς (fg 4 Kink.) Εὐρυλύτην αὐτὴν λέγει, Διονύσιος δὲ ὁ Μιλήσιος (32 fg 1 b J.) Ἑκάτην μητέρα Μηδείας καὶ Κίρκης, ὡς προείρηται (sch. 200 a. b), Σοφοκλῆς (fg 344 Pearson) δὲ Νέαιραν μίαν τῶν Νηρηίδων, Ἡσίοδος δὲ Ἰδυῖαν (Theog. 958. 960)· ‘Αἰήτης δ’ υἱὸς φαεσιμβρότου Ἠελίοιο γῆμε θεῶν βουλῇσιν Ἰδυῖαν καλλιπάρῃον.‘ Ἐπιμενίδης (3 B 13 Diels—Kranz) δέ φησι Κορίνθιον τῷ γένει τὸν Αἰήτην, μητέρα δὲ αὐτοῦ Ἐφύραν φησί. Διοφάνης δὲ ἐν τῇ α′ τῶν Ποντικῶν ἱστοριῶν (Diophanti fg 1 M. IV 397) Ἀντιόπην φησὶν Αἰήτου μητέρα. 242—44 τὸν μὲν Καυκασί η: προγενέστερόν φησι τὸν Ἄψυρτον Μηδείας γεγενῆσθαι ἐξ Ἀστεροδείας τῆς Ὠκεανοῦ καὶ Τηθύος θυγατρός. 249 〈 μετιοῦσα ν: λείπει〉 εἶδον. S m 255 ἔκτοθι πᾶσα ι: ἀντὶ τοῦ ἐκτός, ἵνα τὸ εἰς τόπον σημαίνῃ. 257 ὑψοῦ χάρματι χεῖρα ς: ἔδει ὑψόσε· τὸ γὰρ ὑψοῦ τοῦ ἐν τόπῳ δηλωτικόν ἐστι, τὸ δὲ ὑψόσε τοῦ εἰς τόπον. Ὅμηρος (Α 486) ‘ὑψοῦ ἐπὶ ψαμάθοισ‘. 260—61a οὐκ ἄ ρ ’ ἐμέλλε τ ’ ἀκηδείῃ με λιπόν 〈τεσ 〉 : ἀφροντίστως με καταλιπόντες ὅμως οὐκ ἐμέλλετε μακρὰν πορεύεσθαι· ὑποστρέψαι οὖν ὑμᾶς ἡ μοῖρα πεποίηκεν. b τηλόθ ι: καὶ νῦν ἔδει εἰπεῖν τηλόσε. L g (P) 262 ἔκποθεν ἄτη ς: ἔκ τινος βλάβης. L g P 264 〈 στυγερά ς:〉 μισητάς. S m 265 Ὀρχομενοῖ ο: καὶ Ἑλλάνικός (4 fg 126 J.

228 ) φησι τὸν Ἀθάμαντα Ὀρχομενὸν ᾠκηκέναι. L. 267 ἑή ν: ἀντὶ τοῦ ὑμετέραν. L g (P) 275 πολιοῖ ο: διαφανοῦς. L g (P) 276—77a τετρηχώ ς: τεταραχυμμένος. L g P b διαφέρει οἶστρος μύωπος. ὁ μὲν γὰρ μύωψ ἀπογεννᾶται 〈ἐκ〉 τῶν ξύλων, ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζῳαρίων. τὸ δὲ τέλλεται κατὰ ἀφαίρεσίν ἐστι τοῦ ς , ἀντὶ τοῦ στέλλεται. 281a ὀξέα δενδίλλω ν: ὀξέως παρεπιστρεφόμενος καὶ τοῖς ὀφθαλμοῖς ἐπινεύων. Ὅμηρος (Ι 180) δὲ ἐπὶ τοῦ 〈δια〉 στρέφειν 〈τοὺς ὀφθαλμοὺσ〉 τέθεικε τὴν λέξιν, οἱ δὲ ἐν ἐπιστροφῇ τοῦ προσώπου παρεγκλίνοντα τοῖς ὀφθαλμοῖς ἐπινεύειν, καθάπερ καὶ Ἀπολλόδωρος (244 fg 242 J.)· Σοφοκλῆς (fg 1039 Pearson) δὲ ἐπὶ τοῦ περιβλέπειν τέθεικε τὴν λέξιν. b 〈 βαιὸς ἐλυσθεί ς:〉 ἀντὶ τοῦ συστρέψας ἑαυτὸν καὶ ὑποκαλύψας. 286 〈 ἐνεδαίετ ο:〉 ἐξήπτετο. G g 288a ἀμαρύγματ α: τὰς λαμπάδας τῶν ὀφθαλμῶν. L m P b 〈 ἀμαρύγματ α:〉 βλέμματα. G g c καί οἱ ἄηντ ο: πνοὴν ἔπεμπον ἢ μετεωρίζοντο. 290 〈 κατείβετ ο:〉 ἐτήκετο. S m 291a ὡς δὲ γυνὴ μαλερῷ πυρ ί: καὶ Ὅμηρος (ε 488)· ‘ὡς δ’ ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ.‘ b 〈 κάρφε α:〉 ξηρὰ ξύλα. S m 294 ἄγχι μά λ ’ ἐγρομέ〈νη 〉 : ἀντὶ τοῦ ἐγγύς.

229 τίθεται δὲ καὶ ἐπὶ χρόνου, ἀντὶ τοῦ νῦν ἢ ἀντὶ τοῦ ταχέως. Μένανδρος (fg 600 K. III 181) ‘ἔγημ’ ἔναγχοσ‘. 296 εἰλυμένο ς: κεκαλυμμένος οἷον κεκρυμμένος· εἰς γὰρ τοῦτο καταστρέφει. 298 ἀκηδείῃσ ι: ταῖς πολυκηδείαις, τουτέστι ταῖς λύπαις. L g (P) 302a κακὸν τὸ σφετέρη ς. L g b τὸ δὲ σφετέρης θυγατρὸς ἀντὶ τοῦ ἰδίας. P 306—07 ἠέ τις ἄτ η: οἷον κακόν τι ὑμᾶς ἐνεπόδισε κατὰ τὸν πλοῦν; τὸ γὰρ ἐνέκλασε κατὰ μεταφοράν, ἐνεπόδισεν. 309—13a Κίρκην ἑσπερίη ς: ἠκολούθησεν Ἀπολλώνιος τοῖς κατὰ τὸ Τυρσηνικὸν πέλαγος ὑποτιθεμένοις τὴν Ὀδυσσέως πλάνην, ὧν ἀρχηγὸς Ἡσίοδος (Theog. 1015 sq.), κατῳκηκέναι λέγων Κίρκην ἐν τῷ προειρημένῳ πελάγει. b ἑσπερίης εἴσω χθονό ς: περὶ τὴν Ἰταλίαν ᾤκησεν ἡ Κίρκη, ὅθεν ὄρος Κίρκαιον, ἀπ’ αὐτῆς πολυφάρμακον. φησὶ δὲ Ἀπολλώνιος, Ἡσιόδῳ (v. sch. a ) ἑπόμενος, ἐπὶ τοῦ ἅρματος τοῦ Ἡλίου εἰς τὴν κατὰ Τυρρηνίαν κειμένην νῆσον τὴν Κίρκην ἐλθεῖν. ἑσπερίαν δὲ αὐτὴν εἶπεν, ἐπεὶ πρὸς δυσμὰς κεῖται. 319 〈 μειλιχίω ς:〉 ἐπιεικῶς, πραέως. L g 320 〈 κείνη ν:〉 λείπει τὴν ναῦν. L g 321 〈 αὐτού ς:〉 ἡμᾶς. S m 322 ποτὶ ξερό ν: ἐπὶ τὸ ξηρὸν ἀπὸ τοῦ ὑγροῦ τῆς θαλάσσης. ἡ δὲ ποτὶ πρόθεσίς ἐστι παρὰ μὲν Δωριεῦσι πρός, παρ’ ἡμῖν δὲ καὶ Ἴωσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴληπται ἀντὶ τῆς παρά· Ὅμηρος (Α 245) ‘ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ‘, καὶ ἡ Δωρικὴ παροιμία ‘τὸν λίθον ποτὶ τὰν σπάρτον ἄγοντασ‘.

230 327 νηὸς ἑῆς προτέρ ῳ: κακῶς τὸ ἑῆς ἐπὶ πλήθους· ἔστι γὰρ ἑνικόν. ἔδει δὲ εἰπεῖν σφετέρης. 331 〈 μετ ά:〉 ἀντὶ τῆς εἰς. L g 335 σφωιτέρ η: κακῶς τὸ σφωιτέρη εἶπεν ἐπὶ ἑνικοῦ· ἔστι γὰρ δυϊκόν. ὁ δὲ Ἰάσων ἀπὸ Αἰόλου τὸ γένος κατάγει, ὡς Ἑλλάνικος (4 fg 128 J.). 336—39a στεῦται ἀμειλίκτοι ο: ὁ νοῦς· ὁρίζεται δὲ τοὺς ἀπ’ Αἰόλου οὐκ ἐκφεύξεσθαι τὸν ἀνεξίλαστον χόλον τοῦ Διὸς οὐδὲ τὸ μίασμα καὶ τὴν Φρίξου ποινήν, πρὶν τὸ κῶας εἰς τὴν Ἑλλάδα κομισθῆναι. τὸ δὲ ἑξῆς· στεῦται δ ’ Αἰολιδῶν γενεὴν οὐχ ὑπαλύξειν ἀμειλίκτοιο Διὸς μῆνιν καὶ χόλο ν , πρὶν ἐς Ἑλλάδα 〈κῶασ〉 ἱκέσθα ι . b ποινά ς: ἐκδικίας L g (P) 342a τῶν Κολχικῶν κακίστης ἐτύχομεν νεώς. L m (P) b ἤλιθ α: ἀθρόως. L g P 349 〈 ε ἰ:〉 ὅπως. S m 350 〈 αὐτ ῷ:〉 ἀντὶ τοῦ σοί. L g 354—55 παρέλκεται τὸ δῆθε ν. εἰ δὲ προαιρῇ, φησίν, ἑκάστου γνῶναι τὴν γενεὰν καὶ τοὔνομα, πάντα ἐξείποιμι 〈ἄν〉. L 356 〈 οἷό πε ρ:〉 οὗτινος χάριν. L g 359 〈 γνωτό ς:〉 ἀντὶ τοῦ συγγενὴς ἢ ἀνεψιδοῦς, δισεξάδελφος. Κρηθεὺς καὶ Ἀθάμας ἀδελφοί, Αἰόλου παῖδες· Κρηθέως ὁ Αἴσων, Αἴσονος Ἰάσων, Ἀθάμαντος δὲ Φρίξος, οὗ Ἄργος. L m 368a ἠερέθοντ ο: μετεωρίζοντο τῷ νῷ χολουμένῳ, ἀντὶ τοῦ οἰδαίνοντο. L m (P) b 〈 ὑψοῦ δὲ χόλῳ φρένες ἠερέθοντ ο:〉 ἐπρίσκετο, ἐφυσιοῦτο. L m 375—76a 〈 αὐτίκ α:〉 ἀντὶ τοῦ νῦν.

231 L g b νέεσθα ι: ἀπὸ κοινοῦ τὸ ἔολπ α. L g (P) 386 σχέο μο ι: ὦ Αἰήτη, ἐπίσχες ἢ ἀνάσχου μοι περὶ τούτου τοῦ στόλου. 388 τὸ δὲ οὐδὲ μὲν ἱέμενοι ἀντὶ τοῦ· οὐδὲ ἐφιέμενοι τῆς σῆς βασιλείας. P 395—96 κακῶς τὸ σφωιτέροισιν ἐχρήσατο ἐπὶ ἑνικοῦ· ἔδει γὰρ εἰπεῖν τεοῖσιν. τὸ δὲ ἴσκεν Ὁμηρικῶς. 399 τὸ δὲ πειρήσαιτο βίην ἀντὶ τοῦ· πεῖραν λάβοι τῆς ἰσχύος τῶν ἡρώων. P 400—01 κακῶς τὸ ὑποβλήδη ν· κεῖται γὰρ πρὶν ἢ καταλῆξαι τὸν ἕτερον λέγοντα. τὸ δέ διηνεκέως ἀγορεύεις ἀντὶ τοῦ μακρηγορεῖς. 404—06a 〈 δώσ ω:〉 πεῖραν λαβὼν τῆς σῆς ἀνδρείας παρέξω τὸ δέρος· οὐ γὰρ φίλον μοι τὸ φθονεῖν. L b 〈 οὔτι μεγαίρ ω:〉 ἀντὶ τοῦ· οὐ φθονῶ ὑμῖν, ὡς ὁ Πελίας. 408a 〈 τό ν:〉 τὸν ἆθλον. L g b ὀλοὸν δὲ τὸν μέγαν καὶ ἀνύποιστον. P 409—10 δοιώ μοι πεδίον τὸ Ἀρή〈ιον : .. .〉 καὶ Ἀντίμαχος ἐν τῇ Λύδῃ ( fg 9 B . II 29 0 ) ἡφαιστοτεύκτους τοὺς ταύρους ἀπεφήνατ ο . 411—12a στυφελή ν: τραχεῖαν. b τετράγυο ν: πεντηκοντόγυόν φησι Φερεκύδης ἐν ς′ (3 fg 30 J.). 413a 〈 σπόρο ν:〉 πυρόν. L g b ὁλκοῖσ ι: ταῖς ἐγχαράξεσιν· ἑλκομένου γὰρ τοῦ ἀρότρου ἡ γῆ διαρρήγνυται. c 〈 Δηοῦ ς:〉 τῆς Δήμητρος. L g 414 〈 μεταλδήσκοντα ς:〉 [καὶ] ἐξισουμένους. L g 416a 〈 κείρ ω:〉 κτείνω.

232 L g b περισταδό ν: κύκλῳ περιεστῶτας. L g P 422 νῦν ἐπὶ τόπου τὸ πάρος, κεῖται δὲ καὶ ἐπὶ χρόνου. 427—31a περιπολλὸν ἐέργει ς: ὁ νοῦς· λίαν με τῷ δικαίῳ συνέχεις, διόπερ ἐγὼ καίπερ ὑπερφέροντα τῇ βίᾳ τὸν ἆθλον ἐποίσω μέχρι θανάτου. ἀρρενικῶς δὲ εἶπε τὴν μοῖραν μόρο ν. b ἐέργει ς: συνέχεις, συγκλείεις. L g P c οὐ γὰρ ἔ τ ’ ἄλλ ο: οὐδὲν γὰρ ἀνθρώποις χεῖρον ἀνάγκης, καθ’ ἣν ἀφίγμεθα πρὸς σέ, βιασθέντες ὑπὸ τοῦ βασιλέως. L 438 μετελθεῖ ν: ἡ μετὰ ἀντὶ τῆς πρός· πρὸς ἀμείνονα φῶτα ἐλθεῖν. L m (P) 439 〈 ἀπηλεγέω ς:〉 ἀποτόμως. L g 441—42a τὸ δὲ ἐπεὶ μεσσηγὺς αἰτίας ἀποδοτικόν ἐστι, διὰ τί κατόπιν ἐκείνων ἐπορεύετο ὁ Ἄργος· διότι, φησίν, ἔνευσε τοῖς ἀδελφοῖς αὐτοῦ ἔτι λιπέσθαι καὶ μεῖναι ἐν τῇ οἰκίᾳ. οἱ δ ’ ᾔεσαν καὶ ἐξῆλθον, οἱ περὶ Ἰάσονα δηλαδή. P b 〈 λιπέσθα ι:〉 ἐμμένειν. L m 444—45a ἐ π ’ αὐτῷ δ ’ ὄμματ α: ἐπ’ αὐτῷ δὲ ἡ Μήδεια λοξὰ τὰ ὄμματα ἔχουσα θηεῖτο, παραθεμένη τὴν καλύπτραν. b 〈 ἐ π ’ αὐτῷ δ ’ ὄμματ α:〉 λείπει τὸ ἔχουσα. L g 446—47a κῆρ ἄχεϊ σμύχ〈ουσα 〉 : τῇ λύπῃ τὴν ψυχὴν καιομένη καὶ ἀναλίσκουσα. L b νόος δέ οἱ ἠύ τ ’ ὄνειρο ς: ὁ νοῦς· τῷ δὲ νῷ ἀνεθεώρει τὸν Ἰάσονα, οἷον καθάπερ ἐν ὀνείρῳ μετέωρος ἐπορεύετο κατὰ τὰ ἴχνη τοῦ Ἰάσονος. L 453 προπρὸ δ ’ ἄ ρ ’ ὀφθαλμῶ ν: ἐμφατικῶς αἱ προθέσεις. τὴν συνεχῶς ἀνειδωλοποιοῦσαν τῷ νῷ ἐμφαίνει, ὡς παρ’ Ὁμήρῳ ‘προπροκυλινδόμενος.‘ 455 οἷά τ ’ ἔει φ’: θαυμαστικῶς τὸ οἷα εἶπεν. L m (P) 460

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—60 ὀδύρετο δ ʼ ἠύτε πάμπα ν: ἐθρήνει δὲ αὐτὸν ὡς ἤδη τεθνηκότα, ἐλέῳ δὲ συνεχομένη ἔκλαιεν ἐπ' αὐτῷ λυπουμένη.

233 L 466a ἐρρέτ ω: φθειρέσθω. L b 〈 ἦ μὲν ὄφελλε ν:〉 ἦ ὤφελεν χωρισθῆναι ἀπαθής, μηδὲν παθών. 467 πότνα θεὰ Περση ί: τινὲς αὐτήν φασι Διὸς εἶναι παῖδα, ἐν δὲ τοῖς Ὀρφικοῖς Δήμητρος γενεαλογεῖται (fg 41 Kern)· ʻκαὶ τότε δὴ Ἑκάτην Δηὼ τέκεν εὐπατέρειαν.ʻ Βακχυλίδης δὲ Νυκτός φησιν αὐτὴν θυγατέρα (fg 40 B. III 583 = 31 Blass—Snell)· ʻἙκάτα δᾳδοφόρε, Νυκτὸς μεγαλοκόλπου θύγατερʻ· Μουσαῖος (cf. 2 B 16 Diels—Kranz) δὲ Ἀστερίας καὶ Διός, Φερεκύδης (3 fg 44 J.) δὲ Ἀρισταίου τοῦ Παιῶνος. 470 〈 οὕνεκε ν:〉 ὅτι οὐκ ἐπιχαίρω ἐγὼ κακοῖς. ὁ δὲ λόγος ἐρωτικός. L m (P) 471 ἑόλητ ο: ἐτετάρακτο καὶ ἐν ἀγωνίᾳ ἦν. L m P 474 〈 δὴ τό τ ʼ Ἰήσον α:〉 ὑπέρβατόν ἐστι· τὸν γὰρ Ἰάσονα Ἄργος προσεῖπεν. L m 478 εἰς τὴν Ἑκάτην αἱ φαρμακίδες ἀναφέρονται. L 482 ἀντιβολήσω ν: συναντήσων· καταστρέφει δὲ εἰς τὸ κοινολογήσομαι, συντάξομαι. L m (P) 485 ὦ πέπο ν: ὦ γλυκύτατε, ἡδύτατε, προσφιλέστατε, ἐπεὶ καὶ ὁ πέπων μελιχρός. L m P 486 〈 βάσκετ ε:〉 γράφεται καὶ βάσ κ ʼ ἴθ ι. L m 490 〈 παρεόντα ς:〉 τὸν Ἰάσονα καὶ τοὺς σὺν αὐτῷ. L g 492—94a 〈ἀντικρύ:〉 φανερώτατα καὶ ἐναντιώτατα. L g b διειρομένοισ ι: διερευνῶσιν ἢ λέγουσιν. ὁ γὰρ νοῦς· ἐναντίως ἡμῖν ἔχει· οὐ γάρ ἐστι τελεσθησόμενον οὔτε ἐμοὶ 〈...〉 τῶν ἐπιτασσομένων τι. 497 ἐφίετ ο: ἐνετέλλετο.

234 L g P 500—01 ὃ δή νύ ο ἱ: τὸ ἑξῆς· ὅπερ αὐτῷ συντόμως ὑπεσχόμην· οὐκ ἦν γὰρ ἄλλο τι σκέψασθαι βέλτιον. L 502 〈 ἀνήνυτο ς:〉 δυσκατόρθωτος. L g 510 πεφυλαγμένος ἐντύναι ο: φυλάττων τὴν ὑπόσχεσιν παρασκευάζου· ἐντύνω γὰρ τὸ παρασκευάζω. 511 κακῶς τὸ ἑῇ· τρίτου γάρ ἐστι προσώπου. ἔδει δὲ σῇ. L m (P) 513—14 οὐ γὰρ ἔγωγε σχήσομα ι: ἀντὶ τοῦ· ἐγὼ οὐκ ἀνέξομαι. τί γὰρ πλέον ἢ θάνατός με περιμένει; L 515—21 ὁ μὲν Ἀπολλώνιος τούτους φησὶ προαιρεῖσθαι ζεῦξαι τοὺς βόας, ὁ δὲ τὰ Ναυπακτικὰ (fg 5 Kink.) πάντας ἀριθμεῖ τοὺς ὑπ' αὐτοῦ φερομένους ἀριστεῖς. 523—24 ἀλλά τι ν ʼ οἴω μητρὸς ἐμῆ ς: δύναται, φησίν, ἡ μήτηρ ἡ ἐμὴ πεῖσαι τὴν Μήδειαν συνεργῆσαι τὸν ἆθλον. ἐν δὲ τοῖς Ναυπακτικοῖς (fg 6 Kink.) Ἴδμων ἀναστὰς Ἰάσονι κελεύει ὑποστῆναι τὸν ἆθλον. 529 δά ε: ἐδίδαξεν. L g P 530 νήχυτον ὕδω ρ: τὸ πολύχυτον. τὸ γὰρ νη καὶ στέρησιν σημαίνει καὶ ἐπίτασιν. καὶ ʻἀχύνετον ὕδωρʻ (Nic. Al. 174) τὸ πολὺ κατὰ Ἴωνας καὶ Σικελιώτας. Διονύσιος· ʻπλαζομέναις ἵνα λύσσαν ἀχύνετον ἧκα βαλοῦσα.ʻ 533a ἄστρα τε καὶ μήνη ς: τὸν παραδεδομένον μῦθον λέγει, ὡς αἱ φαρμακίδες κατάγουσι τὴν σελήνην. τινὲς δὲ καὶ τὰς ἐκλείψεις ἡλίου καὶ σελήνης καθαιρέσεις ἐκάλουν τῶν θεῶν. L b τὸ παλαιὸν ᾤοντο τὰς φαρμακίδας τὴν σελήνην καὶ τὸν ἥλιον καθαιρεῖν.

235 διὸ καὶ μέχρι τῶν Δημοκρίτου (68 B 161 Diels—Kranz) χρόνων πολλοὶ τὰς ἐκλείψεις καθαιρέσεις ἐκάλουν. Σωσιφάνης ἐν Μελεάγρῳ (fg 1 N. 2 )· ʻμάγοις ἐπῳδαῖς πᾶσα Θεσσαλὶς κόρη ψευδὴς σελήνης αἰθέρος καταιβάτις.ʻ 539a τὸ τάχα ἐπὶ δισταγμῷ κεῖται· τινὲς δὲ καὶ ἀντὶ τοῦ ταχέως. L b 〈 σὺν δαίμον ι:〉 σὺν ἀγαθῷ δαίμονι. L g 550 〈 κείνης δ ʼ ὅγε μείλιχος ὄρνι ς:〉 Ἀπολλόδωρός φησιν ἐν τῷ Περὶ θεῶν (244 fg 114 J.), ὅτι ἡ περιστερὰ ἱερὰ Ἀφροδίτης διὰ τὸ λάγνον· παρὰ γὰρ τὸ περισσῶς ἐρᾶν λέγεται. 551—52 κέαρ δέ μο ι: ὡς δὲ ἡ ψυχή μου προορᾶται, οὕτως γένοιτο. L 561 〈 βλέποντε ς:〉 γράφεται λεύσσοντε ς. G g 564 〈 μεμαώ ς:〉 ἀντὶ τοῦ ὀργιζόμενος νῦν· οὐ γὰρ ἐπὶ κακοῖς τις πρόθυμός ἐστιν. L m 578 〈 Μινύαισ ι:〉 τοῖς Ἀργοναύταις. L g 581 〈 λασίη ς:〉 πυκνῆς. L g 583a ἀποφλύξωσι ν: ἀντὶ τοῦ ἐκφυσήσωσιν, καταστρέφει δὲ εἰς τὸ ἐκπνεύσωσιν. ἔνθεν καὶ ὁ φλύαρος. b 〈 ἀποφλύξωσι ν:〉 ἀποδώσουσι. S m 584 〈 οὐδὲ γά ρ:〉 λείπει τὸ ὑπέμεινεν. L m 587—88a εἰ μή οἱ Ζεὺς αὐτὸς ἀ π ʼ οὐρα 〈νοῦ 〉 : ἄγγελόν φησιν Ἑρμῆν ὑπὸ Διὸς πεμφθῆναι κελεύοντα δέξασθαι τὸν Φρίξον, ἵνα τὴν Αἰήτου θυγατέρα γήμῃ. ὁ δὲ τὸν Αἰγίμιον ποιήσας (Hes. fg 184 Rz.

236 2 ) διὰ 〈τὸ〉 δέρας αὐτὸν αὐθαιρέτως φησὶ προσδεχθῆναι. λέγει δέ, ὅτι μετὰ τὴν θυσίαν ἁγνίσας τὸ δέρας οὕτως ἔστειχεν εἰς τοὺς Αἰήτου δόμους, τὸ κῶας ἔχων. b ὥς κε προσκηδέο ς:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅπως ἂν εὐμενοῦς ἀντιάσειεν ὁ Φρίξος τοῦ Αἰήτου. c ἀντιᾶν δὲ τὸ ἀπολαύειν. P 589 〈 μὴ κα ί:〉 ἀπὸ κοινοῦ τὸ στεῦτ ο. L m 594—98a νόσφιν δ ’ οἷ αὐτ ῷ: χωρὶς δὲ αὐτῷ δώσειν τιμωρίαν ἔλεγεν τοὺς Φρίξου παῖδας· τούτους γὰρ αὐτῷ κακοὺς ἄνδρας ἐπάγειν, ὅπως αὐτοῦ τῆς βασιλείας ἐγκρατεῖς γένωνται, ὡς καὶ παρὰ τοῦ ἰδίου πατρὸς Ἡλίου ἠκηκόει. ὅτι δὲ χρησμὸς ἦν Αἰήτῃ δεδομένος, ὑπὸ τῶν αὐτοῦ ἐγγόνων ἀπολέσθαι, καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις (31 fg 9 J.) ἱστορεῖ· τούτου ἕνεκα καὶ τὴν ζεῦξιν τῶν ταύρων λέγει αὐτὸν ἐπινοῆσαι. b ἀκηδέε ς: ἀφρόντιστοι ὄντες αὐτοῦ. L m (P) 599 〈 χρῆναί μι ν:〉 γράφεται χρειώ μι ν. L g 600 κακῶς τὸ σφωιτέρης δυϊκὸν ἐπὶ ἑνικοῦ ἐχρήσατο· ἔδει γὰρ εἰπεῖν ἑῆς, ἵν’ ᾖ τῆς ἑαυτοῦ. 601—02a τῷ κε καὶ ἐλδομένους 〈πέμπεν 〉 : παρατατικὸν εἴληφεν ἀντὶ συντελικοῦ, καὶ ἔστιν ὑπερβατὸς ἡ φράσις καὶ λείπει τὸ ὥς. τὸ γὰρ ἑξῆς ἐστι· διὸ καὶ ἐπιθυμοῦντας μακρὰν πλεῦσαι—προσεκδεκτέον καὶ τοῦτο—ὡς πατρὸς ἐντολῇ πέπομφε [φράσαντος αὐτοῦ]. L b τὸ δὲ πατρὸς ἐφημοσύνῃ ἀντὶ τοῦ· κατὰ τὴν τοῦ Ἡλίου νουθέτησιν. P 603 〈 εἶναί οἱ τυτθόν γε δέο ς:〉 λείπει τὸ ὑπελάμβανεν. L m 605 〈 ἀλ λ ’ ἐνὶ Χαλκιόπῃ ς:〉 ἦν γὰρ αὐτῷ χρησμὸς δοθεὶς ὑπὸ συγγενῶν ἀπολέσθαι, ὡς καὶ Ἡρόδωρος (V. sch. 594—98 a ) ἱστορεῖ. L m 610 παρηγορέεσκε ν: παρεκάλει, ἐφιλοφρονεῖτο. L m (P) 613 〈 πα ρ ’ αἶσα ν:〉 παρὰ τὸ προσῆκον ποιοῦσα. L m 615 ἀμφαδ ά: ἀκουστά, φανερά. L g (P) 616 κατελώφεε ν: ἐκ τῶν λυπῶν ὁ ὕπνος αὐτὴν κατέπαυεν.
237 L m (P) 622 καὶ νῦν κακῶς τὸ σφέτερο ν· πληθυντικὸν γάρ ἐστιν 〈ἐπὶ〉 ἑνικοῦ προσληπτικοῦ. ἔδει δὲ ἑὸν δόμον εἰπεῖν. L 625 οὐχ ὑγιῶς οὐδὲ νῦν τὸ σφωιτέρου ς· δυϊκὸν γάρ ἐστιν ἐπὶ ἑνικοῦ. ἔδει οὖν εἰπεῖν ἑούς. L 628—29a ἄμφ ω: ἀμφότεροι δὲ ἐπέτρεψαν τῇ κόρῃ τὴν δίκην, ὁμολογήσαντες ἐμμένειν οἷς ἂν δικάσῃ. L m (P) b 〈 ὥς κεν—ἰθύσειε ν:〉 ὡς ἂν ταῖς διανοίαις ἐπιβάλοι. L m 641 τὸ δὲ ἔμπα ἀντὶ τοῦ ἔμπης. P 643 〈 σφετέροι ς:〉 ἀντὶ τοῦ ἑοῖς. L g 646 〈 οἰέανο ς:〉 μονείμων. S m 649 〈 ὀπίσσ ω:〉 εἰς τὸν ἑαυτῆς κοιτῶνα. L g 651 〈 φέρο ν: λείπει〉 ταύτην. S m 656—63a ὁ νοῦς· καθάπερ δὲ νύμφη, ἐκδοθεῖσα ὑπὸ τῶν γονέων καὶ τῶν ἀδελφῶν εἰς γάμον, ἀπολόμενον κατά τινα μοῖραν τὸν γήμαντα πρὶν ἐπ’ ἀλλήλοις τερφθῆναι, διακαιομένη τὴν ψυχὴν ὑπὸ λύπης, ἐν τῷ θαλάμῳ κλαίει, αἰδουμένη καὶ τῶν θεραπαινίδων τῇ ἐντροπῇ, ἵνα μή τις αὐτὴν μωμήσηται προσιουσῶν γυναικῶν. L b 〈 θαάσσε ι:〉 καθέζεται. L g c 〈 χῆρο ν:〉 ἔρημον. L g d ἐπιστοβέωσ ι: χλευάζωσι, λοιδορήσωσι, μωμήσωνται. L m P 665 ἐπιπρομολοῦσ α: περιττεύει ἡ ἐπὶ πρόθεσις. L m P 666 ἑπέτι ς: ἀκόλουθος ἦν νεάζουσα. L m P 668 〈 ἀρέσασθα ι:〉 πεῖσαι. L g 676 θευμορί η: ἐκ θεῶν μεμοιραμένη νόσος περιέδραμεν. L m (P) 680 〈 ἵν α:〉 ὅπου. L g 687 ἐπεκλονέεσκο ν: ἐθορύβουν. L g P 688—89a 〈 περί μοι παίδω ν:〉 ὑπὲρ τῶν υἱῶν σου τετάρακται ἡ ψυχή μου, μὴ αὐτοὺς σὺν τοῖς ξένοις ὁ πατὴρ ἀποκτείνῃ.
238 L m (P) b μή σφ ε: μὴ αὐτούς· κατὰ ἀφαίρεσιν γὰρ ἐκ τοῦ σφέας. 690 〈 νέο ν:〉 νεωστί. L g 694 ἀντιάσει ε: παρακαλέσειε, δυσωπήσειε. L m (P) 699—700 〈 ὅττι τοι εἴπ ω:〉 ὅπερ σοι εἴπω φυλάξαι ἐν τῇ ψυχῇ καὶ συνεργὸς γενέσθαι. 714 〈 Κόλχων ὅρκο ς:〉 ὅτι Κόλχων ὅρκος Οὐρανὸς καὶ Γῆ. 724—26 ἀνέπτατο χάρματι θυμό ς: ἄνεσιν ἔσχεν αὐτῆς ἡ ψυχὴ ἐν χαρᾷ γενομένης. πιθανῶς δὲ χαρακτηρίζει ἡμῖν τὸν ἔρωτα. 730—31 〈 εἰ ἔτι σῆ ς:〉 εἴ τι σοῦ προκρίναιμι ἢ τῶν σῶν παίδων. L m 732 〈 κηδεμόνε ς:〉 οἱ ἀλλήλων φροντίζοντες. L g 738a οἴσομαι εἰς Ἑκά 〈τησ 〉 : ἔν τισι φέρεται μετὰ τὸν οἴσομαι εἰς Ἑκάτης θελκτήρια φάρμακα ταύρων καὶ ἕτερος στίχος οἰσομένη ξείν ῳ , οὗπερ τόδε νεῖκος ὄρωρ ε. ἔν τισι δὲ οὐ φέρεται, ὡς καὶ ἐνταῦθα. L b 〈 θελκτήρι α:〉 λυτήρια. L g 740—41 〈 παισί τ ’ ἀρωγή ν:〉 τὰ ὁμολογηθέντα ὑπὸ τῆς Μηδείας τοῖς παισὶν αὐτῆς ἡ Χαλκιόπη διεσάφησεν. L m 742 στυγερὸν δέος κατὰ μετωνυμίαν εἶπεν τὸ φόβου ποιητικόν. 743 τοῖα παρὲξ οὗ πατρό ς: τοιαῦτα ἄνευ τῆς τοῦ πατρὸς γνώμης ἐπὶ τῷ Ἰάσονι βουλεύσασθαι. 745 Ἑλίκη ν: τὴν μεγάλην Ἄρκτον. L g P 748 ἀδινό ν: ἀντὶ τοῦ ἀδινῶς. λείπει δὲ θρηνοῦσαν. L g P 750 μελαινομένη ν: ἀπεσκοτωμένην, ὅ ἐστιν ἀσέληνον. L g (P) 751—53a ἀλλὰ μά λ ’ οὐ Μήδ 〈ειαν 〉 : παρέλκει τὸ μάλ α. τὸ δὲ ἑξῆς·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλὰ μά λ ’ οὐ Μήδειαν ἐπέλαβε γλυκερὸς ὕπνος δειδυῖαν ταύρων κρατερὸν μένο ς. b Αἰσονίδεω πόθ ῳ: οὐχ ὑγιῶς τέθεικεν τὸν πόθον ἀντὶ τοῦ ἔρωτος.

239 πόθος γὰρ ἡ ἐπιζήτησις, ὁ δὲ ἔρως ἐπιτεταμένον ἐστὶ πάθος. c δειδυῖα ν: τοῦ δείδω ῥήματος ὁ παρακείμενος δείδια, ἀφ’ οὗ μετοχὴ κατὰ συγκοπὴν δειδώς, τὸ θηλυκὸν δειδυῖα. 754 νειὸν Ἄρηο ς: τὸ ἀρούμενον ὑπὸ τῶν ταύρων πεδίον. L m (P) 755 ἔθυιε ν: ὥρμα, ἐκινεῖτο. ἔνθεν καὶ θυιάδες αἱ Βάκχαι. L m (P) 756—59a ἠελίου ὥς τίς τε δόμοι ς: καθάπερ τις αὐγὴ ἡλίου κατ’ οἶκον ἐξ ὕδατος ἀναφέρεται πρὸς τοῖχον, ὅπερ νεωστὶ κέχυται ἢ ἐν λέβητι ἢ ἐν κάδῳ, εἰς ἑκάτερα δὲ τὰ μέρη συνεχῶς κινεῖται στρεφομένη. L b ἐν γαυλ ῷ: ἐν κάδῳ, ὃ καλεῖται βεδοῦριν. L m (P) c ὠκείῃ στροφάλιγγ ι: ταχυτάτῃ στροφῇ. L g (P) 762 〈τεῖ ρ ’ ὀδύνη〉 σμύχουσ α: κατεπόνει αὐτὴν ἡ ὀδύνη καίουσα. Ὅμηρος (I 653)· ‘κατασμῦξαι πυρὶ νῆασ‘. L m (P) 764—65a 〈 ἔν θ ’ ἀλεγεινότατο ν:〉 καθ’ ὃν τόπον ἄλγιστόν ἐστι μέρος τῆς ψυχῆς, ὅταν ἀδιαλείπτως τις τῷ ἔρωτι κατέχηται. ἐπιμένει δὲ πιθανῶς τῷ χαρακτῆρι ἑλκομένης μὲν τῷ πάθει, λογισμῷ δὲ κρατουμένης. L m (P) b ἐνισκίμψωσι ν: ἐμπέσωσιν. L g P 767 καταφθίσθα ι: ἤγουν τῷ ἔρωτι. L m (P) 769a ὀτλησέμε ν: ὑποφέρειν τὴν ἄτην ἐσκέψατο. L g (P) b τὸ δὲ εὔκηλον ἀντὶ τοῦ εὐκήλως ἤτοι ἡσύχως. P 772 〈 ἀλκ ή:〉 ἀποφυγή. L g 775a Ἀχαιίδ α: ἀντὶ τοῦ Θεσσαλικήν. Ὅμηρος (B 684)· ‘Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.‘ L b 〈 πρὶν Ἀχαιίδα γαῖαν ἱκέσθα ι:〉 γράφεται πρὶν Ἀχαιίδα γαῖαν κομίσσα ι . L m 780 〈 φάρμακα μησαμέν η:〉 λείπει τὸ δοῦναι. περιττὴ δὲ ἡ ἐπὶ πρόθεσις 781 τίς μῆτι ς: τίς δέ μοι ἔσται παραλογιστικὴ βουλὴ τῆς βοηθείας; L m (P) 784 ἀντὶ ἑνικοῦ τοῦ ἐμοὶ κεῖται τὸ ἄμμ ι.

240 785 ἀπαμείρετα ι: στερηθήσεται. L gP 787 〈 ἵνα ο ἱ:〉 ὅπου αὐτῷ. L g 789 〈 μελάθρ ῳ:〉 τῇ δοκῷ. L g 791 ἐπιλλίξουσι ν: ἐπικαταμωκήσονται. κυρίως δὲ τὸ τοὺς ὀφθαλμοὺς ἐπικλίνειν καταμωκώμενον. L m (P) 796 κακῶς τὸ οὕς —βέλτιον δὲ διὰ τοῦ ε ἑούς— 〈τέθεικεν ἀντὶ τοῦ ἐμούς. ἢ ...〉 , ἵνα ἐκ τῶν γυναικῶν ᾖ ὁ λόγος. L 802 ἦ καὶ φωριαμό ν: νῦν τὴν κοιτίδα λέγει, σαφὲς δ’ ἐκ τοῦ ἐνθεμένη ἐπὶ γούνασι ν. ἐτυμολογεῖ δὲ τὴν φωριαμὸν Ἐρατοσθένης ἐν τῷ Ἑρμῇ (fg IV Hiller)· ‘φωριαμὸν δ’ ὀνόμηναν, ὅ μιν κύθε φώριον ἄγρην· ἐκ τοῦ φωριαμὸς κικλήσκεται ἀνθρώποισιν.‘ 803 ῥαιστῆρι α: φθαρτικά. L g P 805 ἀσταγέ ς: ἀντὶ τοῦ πολυσταγῶς. τὸ γὰρ α νῦν ἐπιτατικόν, ὡς ‘ἄξυλος ὕλη‘ (Λ 155). L m P 807 κακῶς τὸ τόφρα ἀνταποδοτικὸν ἀντὶ τοῦ ὄφρα, ὅπως· ‘ὄφρα μὴ ἄσπερμος γενεή‘ (Υ 303). 〈κυρίως δὲ〉 ἰσοδυναμεῖ τῷ τέως, ὡς ἕως τέως. καλῶς δὲ Ὅμηρος σαφηνίζει (Θ 66 sq.)· ‘ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο—, τόφρα μάλ’ ἀμφοτέρων‘. τὸ δὲ πάσαιτο ὑγιῶς· οὐ γὰρ εἰς κόρον ἡ τούτου μετάληψις. 813 〈 ἐνὶ ζῳοῖσ ι:〉 τὰ ἐν τῷ ζῆν ἀρεστὰ ἐλογίζετο. L m 817 〈 σφετέρω ν:〉 ἀντὶ τοῦ ἑῶν. L g 836—37 λήθη ἀχέω ν: λήθην ποιουμένη τῶν τε παρουσῶν συμφορῶν καὶ τῶν ἐπαυξηθησομένων.

241 L m (P) 846—47a Δαῖραν μουνογέ〈νειαν 〉 : τὸ Δαῖραν κατ’ ἔλλειψίν ἐστι τοῦ ε διὰ τὸ μέτρον· Δάειραν γάρ ἐστι. λέγει δὲ τὴν Περσεφόνην, ὡς δηλοῖ [διὰ] τὸ μουνογένεια ν . Νυχίαν δὲ εἶπεν ἤτοι διὰ τὸ χθονίων βασιλεύειν—νύκτα γὰρ τὸν ἀφώτιστον τόπον φασίν—ἢ ἣν νυκτὸς οὔσης ἱλάσκονται· εὔλογον γὰρ τὴν τῶν νυχίων τόπων κρατοῦσαν κατὰ τὴν τῆς νυκτὸς ὥραν ἱλάσκεσθαι. ὅτι δὲ Δαῖραν τὴν Περσεφόνην καλοῦσι, Τιμοσθένης ἐν τῷ Ἐξηγητικῷ (fg 12 Tresp Die Fragm. d. gr. Kultschr. 1914, 52 ) συγκατατίθεται, καὶ Αἰσχύλος ἐν Ψυχαγωγοῖς (fg 277 N. 2 ) ἐμφαίνει, τὴν Περσεφόνην ἐκδεχόμενος Δαῖραν. b ἀρεσσάμενο ς: φιλοφρονησάμενος. L g P c ἰκμαίνοιτ ο: ὑγράνειεν. L g P 851 ἀνέσχ ε: τὸ φάρμακον ἀνεδόθη. L g P 854—59a τῆς οἵην τ ’ ἐν ὄρε〈σ〉σ ι: τὸν ἀποφερόμενον ὑγρὸν ὀπὸν εἶπε τῆς φηγοῦ. b Κασπίῃ ἐν κόχλ ῳ: Κάσπιον πέλαγος ἐν τῷ ὠκεανῷ, παρ’ ᾧ καὶ ἔθνος Κάσπιον, ὅμορον Πέρσαις. ἔχει δὲ ὁ ὠκεανὸς μεγίστους κόχλους· ἐφ’ ὧν, φησί, 〈...〉 τὸ φάρμακον τὸ Προμήθειον. ἰδίως δὲ ὁ ποιητὴς τερατεύεται τὰ περὶ τὴν ῥίζα ν: παρ’ οὐδενὶ γὰρ τῶν ῥιζοτόμων εἴρηται.

242

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δὲ ἄνθος αὐτοῦ φησι παραπλήσιον Κωρυκίῳ κρόκ ῳ· τὸ δὲ Κωρύκιον χωρίον τῆς Κιλικίας, ἐν ᾧ διάφορος γίνεται κρόκος. c περὶ τῆς Κασπίας θαλάσσης ἱστορεῖ Ἀρτεμίδωρος ἐν τῇ Ἐπιτομῇ τῶν Γεωγραφουμένων (fg 18 Stiehle Phil. 11, 1856, 242 ). ἔστι δὲ πλησίον τοῦ ὠκεανοῦ, ᾗ παράκειται ἔθνος ὠνομασμένον Κάσπιον, ὅμορον δὲ Πέρσαις. 860 ἑπτὰ μὲν ἀενάοι ς: ἐφ’ ἑπτὰ ποταμῶν λουσαμένη ὕδασι. τερατεύεται δέ. 861 ἑπτάκι δὲ Βριμ ώ: ἑπτάκις δέ, φησί, καὶ τὴν Ἑκάτην ἐπικαλέσασα· δοκοῦσι γὰρ αἱ φαρμακίδες τὴν Ἑκάτην ἐπάγεσθαι. Βριμὼ δὲ αὐτὴν προσηγόρευσε διὰ τὸ φοβερὸν καὶ καταπληκτικὸν τῆς δαίμονος καὶ φάσματα ἐπιπέμπειν τὰ καλούμενα Ἑκαταῖα καὶ πολλάκις αὑτῆς μεταβάλλειν τὸ εἶδος, διὸ καὶ Ἔμπουσαν καλεῖσθαι. ἢ παρὰ τὸν βρόμον τοῦ πυρός—‘τόσσος γὰρ πέλεται βρόμοσ‘ (Ξ 396)—, ἡ γὰρ θεὸς λαμπαδοῦχος. τὸ δὲ βρι ἐπιτάσεώς ἐστιν, ὡς τὸ ‘βριήπυος ὄβριμος Ἄρησ‘ (Ν 521)· ἴσως οὖν Βριμὼ ἡ μεγάλην ἔχουσα μῆνιν, βρίμηνίς τις οὖσα. 864—66 Τιτηνίδο ς: ἐπεὶ τῶν Τιτάνων ἦν ὁ Προμηθεύς. διὸ τὴν ῥίζαν ἔφη Τιτηνίδα, διὰ τὸ ἐκ Προμηθέως βεβλαστηκέναι, ὃς εἷς ἦν τῶν Τιτάνων. διὰ τοῦτο δὲ τερατεύεται τὰ περὶ τὴν τομὴν τῆς ῥίζης καὶ τὸ συμπάσχειν τὸν Προμηθέα ἐπὶ τῇ ταύτης τομῇ. 876 λιαροῖσ ι: λαμπροῖς ἢ καθαροῖς, Ὅμηρος δὲ ἀντὶ τοῦ θερμοῖς.

243 Παρθένιος δὲ ποταμὸς Παφλαγονίας. παραγράφει δὲ τὰ ἐν Ὀδυσσείᾳ (ζ 102)· ‘οἵη δ’ Ἄρτεμις εἶσι κατ’ οὔρεος ἰοχέαιρα.‘ 881 ἀμορβάδε ς: αἱ ἀκόλουθοι. L g G g S m (P) 890 ἱεμέν η: ἀντὶ τοῦ ἱεμένως, προθύμως. ἡ δὲ μετὰ ἀντὶ τῆς πρός· πρὸς δμωάς. L m (P) 891 οὐ δ ’ ἐνόησα : ὁ δὲ ἀντὶ τοῦ γάρ. L m P 899 λεξάμενα ι: ἀντὶ τοῦ ἀνακλιθεῖσαι, ὡς καὶ Ὅμηρος (δ 413) ‘λέξεται ἐν μέσσῃσι νομεύσ‘. L m (P) 902 παρατρέπε ι: προτρέπεται. L g P 903—04 〈 σῖγα νόῳ ἔχε τ’:〉 σιωπῇ κατέχετε μαθοῦσαι ἐξ ἐμοῦ. L m 905 περὶ βουσὶν ὑπέστ η: κατεδέξατο [ὑπὸ] τοῖς βουσὶν ἀγωνίσασθαι. L m (P) 908 εἰς ὠπή ν: ἀντὶ τοῦ εἰς ὄψιν μου. L g (P) 914 〈 κασιγνήτω ν:〉 λείπει ἡ παρά, ἵν’ ᾖ παρὰ κασιγνήτων. L m 915 εἰσήκουσε τὴν Μήδειαν ἠερίαν, ἤγουν κατὰ τὸν ὄρθρον, ἀφικέσθαι εἰς τὸν τῆς Ἑκάτης ναόν. P 917—18 ἐσθλὸς μέ ν: ὁ νοῦς· ἀγαθὸς μὲν καὶ ἐπιφανέντας καὶ ἀπιόντας εὖ σημειώσασθαι. L g (P) 929a λακέρυζα ι: αἱ φλύαροι. L g (P) b ἐπηυλίζοντ ο: διέτριβον καὶ ἔμενον. L g (P) 932 ἀκλειή ς: ἄδοξος. L g P 935 ἐπήλυδε ς: ἀκόλουθοι. L g P 938 ἴσκεν ἀτεμβομέν η: ἔλεγε μεμφομένη τῷ Μόψῳ ἡ κορώνη. 939a ὀμφή ν: φωνήν. L g (P) b θεήλατο ν: τὴν ὑπὸ τῆς θεᾶς—Ἥρας—ἐλασθεῖσαν καὶ λεχθεῖσαν. 941 δήει ς: εὑρήσεις. L g P 942—43 ἥ τοι συνέριθο ς: ἥτις—Κύπρις—συνεργὸς καὶ συμπράκτρια τῶν σῶν κινδύνων γενήσεται.

244 946a λίσσεό μιν πυκ〈ινοῖσ ι:〉 εἶπε γὰρ ὁ Φινεύς (ΙΙ 424)· ἐν γὰρ τῇ κλυτὰ πείρατα κεῖται ἀέθλο υ. L b παρατροπέω ν: παρατρέπων, παραπείθων. L g P 949 〈 ἀθύρο ι:〉 παίζοι. L g 955 δοάσσα ι: ἔδοξεν ἀκούειν παραδραμόντα. L g (P) 963 θερμὸν δ έ: καὶ τὸ ἐρύθημα δὲ τὸ θερμὸν τὰς παρειὰς κατέλαβεν, οἷον ἐρυθρὰ ἐγένετο. L g (P) 968 〈 ἐειδόμενο ι:〉 ἀντὶ τοῦ ὅμοιοι. L g 971 ὁμάδησα ν: κατεχρήσατο· ὅμαδος γὰρ κυρίως ἐπὶ ἀνδρῶν, ὁμόαυδός τις ὤν. 974 θευμορί ῃ: τῇ ἐκ θεῶν αὐτῇ μεμοιραμένῃ. 976 οἷοί τε δυσαυχέε ς: οἱ καυχώμενοι ἀλαζονικῶς ἐν ἑτέρων διαβολαῖς. 981 〈 ἵνα τ ’ οὐ θέμις ἔσ τ ’ ἀλιτέσθα ι:〉 ὅπου οὐ καθήκει ἁμαρτεῖν. L m 982 τερπνοῖ ς: παραλογιστικοῖς. L g P 983 φηλώση ς: ἀπατήσῃς· ἀπὸ τοῦ φήληκος, τοῦ ἀώρου σύκου. 993 ἐς Ἑλλάδα νοστή〈σαντε ς:〉 Ἑλλάδα νῦν τὴν Φθιωτικὴν ὅλην χώραν, ὁμωνύμως τῇ πόλει, ὃν τρόπον Ἄργος καὶ ἡ πόλις καὶ ἡ χώρα. 997—1004a δή ποτε καὶ Θησῆ α: διὰ τούτων ἠθικῶς προκαλεῖται τὴν Μήδειαν εἰς τὸ ἀποπλεῦσαι σὺν αὐτῷ, παράδειγμα φέρων τὴν Ἀριάδνην, ὅτι συναπῆρε τῷ Θησεῖ εἰς Ἀθήνας 〈καὶ〉 διὰ τὴν Θησέως σωτηρίαν στέφανος αὐτῆς κατηστερίσθη.

245 ὧν οὐδέτερον ἀληθές. καταλέλειπται γὰρ ὑπὸ Θησέως ἐν Νάξῳ· 〈δια〉 πεπαρθένευται δὲ ὑπὸ Διονύσου κατά τινας, ἐξ ἧς παιδοποιεῖ Οἰνοπίωνα, Θόαντα, Στάφυλον, Λάτραμυν, Εὐάνθη,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ταυρόπολιν. ὅτι δὲ οὔτε Μίνως συνεχώρησεν τὸν γάμον Ἀριάδνης οὔτε ἤγαγεν αὐτὴν εἰς Ἀθήνας Θησεύς, Ὅμηρός φησι ῥητῶς, τελευτῆσαί 〈τε〉 αὐτὴν καταλειφθεῖσαν ὑπὸ Θησέως, δι’ ὧν ὁ Ὀδυσσεύς φησι (λ 321. 22. 24)· ‘Φαίδρην τε Πρόκριν τε ἴδον καλήν τ’ Ἀριάδνην, κούρην Μίνωος ὀλοόφρονος, ἥν ποτε Θησεύς γῆμεν οὐδ’ ἀπόνητο.‘ ὅτι δὲ ὁ στέφανος ὑπὸ Διονύσου κατηστέρικται, Ἄρατός φησιν (Phaen. 71 sq.)· ‘αὐτοῦ κἀκεῖνος στέφανος, τὸν ἀγαυὸν ἔθηκεν σῆμ’ ἔμεναι Διόνυσος ἀποιχομένης Ἀριάδνης.‘ b 〈 ὑπελύσα τ’:〉 ὑπέσωσεν. L g 1007 ἐπητείῃσι ν: ἐπιστήμαις, φρονήσεσιν. καὶ Ὅμηρος (c 128) ‘ἐπητῇ δ’ ἀνδρὶ ἔοικας‘. L g (P) 1009 νεκτάρεο ν: ἀντὶ τοῦ προσηνές [ἐγὼ δέ φημι λαρόν], παρὰ τὸ νέκταρ. 1013—14a προπρὸ δ ’ ἀφειδήσασ α: γράφεται προπρὸ δὲ μειδήσασ α. ἐρωτικὴ δὲ ἡ ἐπαναδίπλωσις τῆς προθέσεως· ἐμφαίνει γὰρ μᾶλλον τὸ μετὰ σπουδῆς καὶ προχείρως γεγενῆσθαι τὴν δόσιν. b ἀφειδήσασ α: ἀφροντιστήσασα τοῦ προσειπεῖν. ἀντὶ τοῦ· μηκέτι ἀκριβωσαμένη ἢ πολυπραγμονήσασα ἀφεῖλεν ἐκ τῆς στηθοδεσμίδος τὸ φάρμακον. διὰ δὲ τούτου φαίνεται ἡ ἐπίτασις τοῦ ἔρωτος. 1015 ἀρύσασ α: ἀντὶ τοῦ ἀφελομένη, ἀπαντλήσασα ἢ ἐκκενώσασα. 1018 ἀμαρυγά ς: τὰς οἷον συνεχεῖς κινήσεις.

246 καὶ ἐπὶ τοῦ πυρὸς λέγεται ἀμαρύσσειν ἀπὸ τοῦ τὴν φλόγα συνεχῶς ἀίσσειν. Ὅμηρος (θ 265) ‘μαρμαρυγὰς θηεῖτο ποδῶν‘, τὴν ἀκατάληπτον κίνησιν. 1019—21 τηκομένη οἷόν τ ε: τὸ Ὁμηρικὸν παρέφρασεν (Ψ 598 sq.)· ‘ἰάνθη δ’ ὡσεί τε περὶ σταχύεσσιν ἐέρση ληίου ἀλδήσκοντος.‘ τὸ μὲν οὖν τηκόμενον πάντως καὶ ἰαίνεται (μ 175 sq.)· ‘αἶψα δ’ ἰαίνετο κηρός, ἐπεὶ κέλετο μεγάλη ἴς ἠελίοιο.‘ οὐ πάντως δέ, εἴ τι ἰαίνεται, τοῦτο καὶ τήκεται. ὅθεν Ὅμηρος εἰπὼν ‘ἰάνθη‘ ἐπήνεγκεν ‘ὡσεί τε‘ μεταφορικῶς λέγων, ὥστε εἶναι τὸ νοούμενον ἐμφατικὸν τῆς τῶν σταχύων ἡδονῆς καθάπερ ἐμψύχων, τῆς δρόσου ἀντεχομένης τῶν καρπῶν, ὅτε ὀρθὸν ἔχουσι τὸν στάχυν οἷον μετεωριζόμενοι· οὕτω καὶ τὴν ψυχὴν τοῦ Μενελάου εἰς τέρψιν μετῆχθαι τοῖς λόγοις τοῦ Ἀντιλόχου. τὸ δὲ τήξει παραβάλλειν τὴν τερπομένην ψυχὴν οὐ πιθανόν. δύναται οὖν ἀναγινώσκεσθαι καὶ τὸ τηκομένη ἐπὶ τέρψεως. τὸ γὰρ τηκόμενον πάντως, ὅτε λύεται, καὶ μαλάσσεται. ἔστιν οὖν εἰπεῖν, ὅτι πᾶσα διελύθη, ἐφηπλώθη ἡ Μήδεια. 1029 διαμμοιρηδὰ φυλάξα ς: τινὰ λέγεται τῶν ζῳδίων μεσουρανοῦντα παραφυλάττεσθαι κατὰ τὸ μεσονύκτιον· 〈...〉 τῶν πρὸς τῷ ὁρίζοντι ἃ μὲν δύνοντα ἃ δὲ ἀνατέλλοντα 〈...〉 ἢ τοῦ τῆς Ἄρκτου ὑψώματος. 1032 περιηγέ α: στρογγύλον, περιφερῆ.

247 L g P 1033a ἀρνειὸν σφάζει ν: ἀντὶ τοῦ· σφάξον καὶ ἀδιαμέριστον θὲς ἐπὶ τὸ πῦρ. ὠμοθετεῖν δὲ ἔστι τὸ τοῦ ἱερείου ὠμοῦ ἀπάρχεσθαι τῶν μελῶν. b ἀδαίετο ν: ἀδιαίρετον, ἀδιαμέριστον. L g G g (P) 1035 μουνογεν ῆ: Ἡσίοδος (Theog. 426)· ‘οὐδ’, ὅτι μουνογενής, ἧσσον θεὰ ἔμμορε τιμῆς.‘ Μουσαῖος (2 B 16 Diels—Kranz) ἱστορεῖ Δία ἐρασθέντα Ἀστερίας μιγῆναι καὶ μιγέντα δοῦναι αὐτὴν τῷ Πέρσῃ· ἐξ ἧς τεχθῆναι αὐτῷ τὴν Ἑκάτην. L m P 1040a κολούσα ς: ἕκαστα τῶν ἐνεργουμένων ἄπρακτα ποιήσας. L m (P) b 〈 κολούσα ς:〉 κολοβώσας. S m c 〈...〉 Σοφοκλῆς δὲ ἐν ταῖς Κολχίσιν (II p. 15 Pearson) εἰσάγει τὴν Μήδειαν ὑποτιθεμένην τῷ Ἰάσονι περὶ τοῦ ἄθλου δι’ ἀμοιβαίων. L m (P) 1057 στιβαρώτερο ν: ἀντὶ ἁπλοῦ τὸ συγκριτικόν. L m (P) 1065 ἑοῖ ο: ἡ κτητικὴ ἀντὶ τῆς πρωτοτύπου. ἐμεῖο γὰρ 〈καὶ〉 σεῖο, ἧς τὸ ἀκόλουθον εἷο ἀντὶ τοῦ αὐτῆς. L m (P) 1073 〈 Ὀρχομενοῖ ο:〉 τῆς Βοιωτίας. L g 1074 ἠὲ καὶ Αἰαίης νήσο υ: ὅτι νῆσος ἐν τῷ Φάσιδί ἐστιν ἡ Αἰαία, ἐν ᾗ τὸ δέρας ἔκειτο. αὕτη δέ ἐστι Κόλχων μητρόπολις. L 1085 ἔστι τις αἰπεινοῖσι ν: ὅτι ἡ Θεσσαλία περιέχεται ὄρεσι κυκλόθεν, Ἡρόδοτος (VII 129) ἱστορεῖ. εἰς αὐτὴν δὲ καὶ ἄλλων ποταμῶν ἐσβαλλόντων, τεσσάρων δὲ μάλιστα τῶν δοκίμων Πηνειοῦ καὶ Ἀπιδανοῦ καὶ Παμίσου καὶ Ἐνιπέως, τούτων συμμιγνυμένων ὁ Πηνειὸς τῷ ὀνόματι κατακρατῶν ἀνωνύμους τοὺς ἄλλους ποιεῖ.

248 1086—89a καὶ εὔβοτο ς: πρὸς 〈τὸ〉 βόσκειν ἐπιτηδεία ἢ καλὰ θρέμματα ἔχουσα. b ἔνθα Προμηθεύ ς· ὅτι Προμηθέως καὶ Πανδώρας υἱὸς Δευκαλίων, Ἡσίοδος ἐν α′ Καταλόγων (fg 2 Rz. 2 ) φησί, καὶ ὅτι Δευκαλίωνος καὶ Πύρρας Ἕλλην, ἀφ’ οὗ Ἕλληνες καὶ Ἑλλάς. ὅτι δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δευκαλίων ἐβασίλευσε Θεσσαλίας, Ἑλλάνικος ἐν α′ τῆς Δευκαλιωνείας (4 fg 6ab J.) φησίν. ὅτι δὲ καὶ ιβ′ θεῶν βωμὸν ὁ Δευκαλίων ἱδρύσατο, Ἑλλάνικος ἐν τῷ αὐτῷ φησι συγγράμματι. c Ἰαπετιονίδη ς: ἐκ τίνος γυναικὸς ὁ Δευκαλίων ἐγένετο Προμηθεῖ, σεσιώπηται. ἔστι δὲ καὶ ἕτερος Δευκαλίων, περὶ οὗ Ἑλλάνικος (4 fg 114 J.) ἱστορεῖ, καὶ ἄλλος ὁ Μίνωος, περὶ οὗ Φερεκύδης (3 fg 85 J.), καὶ δ′ ὁ Ἄβαντος, οὗ μνημονεύει Ἀρίστιππος ἐν Ἀρκαδικοῖς (fg 3 M. IV 327). 1090a Αἱμονίην δὴ τήνγ ε: Αἱμονία τὸ πρότερον ἡ Θεσσαλία ἐκαλεῖτο. καὶ ἄλλας δὲ ἔσχεν ὀνομασίας· ἐλέγετο γὰρ καὶ Πυρραία ἀπὸ Πύρρας τῆς Δευκαλίωνος 〈γυναικόσ〉. b 〈Αἱμονίη ν:〉 ἡ Θεσσαλία ἐκαλεῖτο τὸ παλαιὸν Πυρραία, ὡς Ῥιανός (fg II 3 Meineke Anal. Alex. 1843, 186 )· ‘Πυρραίην ποτὲ τήν γε παλαιότεροι καλέεσκον Πύρρης Δευκαλίωνος ἀπ’ ἀρχαίης ἀλόχοιο, Αἱμονίην δ’ ἐξαῦτις ἀφ’ Αἵμονος, ὅν ῥα Πελασγός γείνατο φέρτατον υἱόν· ὁ δ’ αὖ τέκε Θεσσαλὸν Αἵμων, τοῦ δ’ ἄπο Θεσσαλίην λαοὶ μετεφημίξαντο.

249 ‘ οἱ δὲ ἀπὸ Θεσσαλοῦ τοῦ Φειδίππου πατρός, τοῦ Ἡρακλείδου, μετὰ τὰ Τρωικὰ κληθῆναί φασι. διαιρεῖται δὲ εἰς μέρη δ′, Πελασγιῶτιν, Θεσσαλιῶτιν, Ἰωλκῖτιν, Φθιῶτιν. ταῦτα παρατίθεται Ἀπολλόδωρος ἐν Νεῶν καταλόγῳ (244 fg 164 J.). 1093 Αἰαίης νήσο υ: πλεονάζει ἡ αι συλλαβή· ἔστι γὰρ Αἴης νήσου, Αἶα δὲ μητρόπολις Κόλχων. νήσου δὲ μέμνηται ἐν τῷ Φάσιδι, ἐν ᾗ τὸ δέρας, ὥς φησι Φερεκύδης (3 fg 100 J.). 1094—95 Αἰολίδην Μινύη ν: οὐκ ἀπὸ Αἰόλου, ἀλλ’ ἀπὸ τῶν Αἰόλου. Σισύφου γὰρ παῖδες ἐγένοντο Ἄλμος καὶ Πορφυρίων, Χρυσογόνης δὲ τῆς Ἄλμου καὶ Ποσειδῶνος Μινύας ὁ τὸν Ὀρχομενὸν κτίσας. καὶ κατὰ τοῦτο εἴρηται Αἰολίδης, ὅτι Σίσυφος Αἰόλου ἐγένετο· Μινύας δὲ κατὰ μητέρα Αἰολίδης, πατρὸς δὲ Ποσειδῶνος. τοῦτον οὖν Ἀπολλώνιός φησιν εἰς τὴν Βοιωτίαν εἰσβαλόντα ὅμορον Θηβαίοις Ὀρχομενὸν κτίσαι. 1100—01 αἴθε γὰρ ὡς Θησῆ ι: πιθανῶς ἄγαν προτρέπεται αὐτὴν εἰς τὸ ὁμολογήσασθαι τῷ Ἰάσονι τὴν προαίρεσιν, αὐτῆς κατεστοχασμένος τὸν ἔρωτα. 1102 καταψήχω ν: καταμαλάττων. L g P 1104 ἀδιν ῷ: νῦν οἰκτρῷ, λυπηρῷ. L g (P) 1105 〈 συνημοσύνα ς:〉 συγγενείας. S m 1124—29a πορσανέουσ ι: νῦν ἀντὶ τοῦ τιμήσουσι καὶ ὡς θεὸν νομίσουσι σεπτήν. ὅταν δὲ λέγῃ ὁ Ἰάσων ἡμέτερον δὲ λέχος θαλάμοις ἔνι κουριδίοισι πορσανέεις, δηλοῖ ὅτι προστήσῃ καὶ αὐξήσεις, δι’ οὗ τὴν συμβίωσιν σημαίνει. L m (P) b 〈 πορσανέους ι:〉 ἀντὶ τοῦ σεβασθήσονται, τιμήσουσιν.

250 L g 1131 κατείβετ ο: κατετήκετο τῶν Ἰάσονος ἀκούουσα ῥημάτων. L m (P) 1138 ἐδεύετ ο: ἐδέετο, ἔχρηζεν, ἀπήτει. ἢ ὅτι ἐνελείπετο ὁ τῆς ἡμέρας καιρός. L m (P) 1145 ἀβολήσομε ν: συντευξόμεθα. L g P 1150 περιπλομένα ς: παριούσας, ἐπεὶ καὶ πλόος λέγεται ἡ ὁδός. Καλλίμαχος (fg 278 Schn. = 64, 14 Kapp)· ‘ἔγρει καί τιν’ ἔχοντα περίπλοον‘. L m P 1151 μεταχρονί η: οἷον οὐχ ἡνιοχοῦντος τοῦ νοῦ. L m (P) 1156 περὶ παισί ν: ἀντὶ τοῦ ὑπὲρ τῶν παίδων. L g P 1157 παλιντροπίῃσι ν: ἤτοι ταῖς παρεπιστροφαῖς ἢ διὰ τὸ ἔμπαλιν τετράφθαι αὐτῆς τὴν ψυχήν: ἡ δὲ τῇ ὑποστροφῇ ἐν ἀπόρῳ καταστᾶσα. 1159 σφέλα ϊ: τῷ ὑποποδίῳ τοῦ θρόνου. L g G g S m (P) 1161 〈 ὑγρ ά:〉 ἀντὶ τοῦ δακρύων μεστά. L m 1169 οἰόθεν οἶος ἑταίρω ν: οὐχ ἁρμόζει νῦν τὸ οἰόθεν οἶο ς: μόνος γὰρ ἀπὸ πολλῶν. ἦν δ’ εἰπεῖν· οἶος ἀπ’ ἄλλων. 1171 κνέφας ἔργαθε νυκτό ς: περιφραστικῶς· ἡ νὺξ αὐτοὺς εἶργεν. L g (P) 1172 εὔκηλοι μέλλοντο 〈περὶ σφίσιν 〉 : σολοικισμός. ὁ γὰρ λόγος· ἥσυχοι ἐμέλοντο ἑαυτῶν, ὡς 〈οὐκ〉 ἄλλων τινῶν μελόντων αὐτοῖς. ἔδει δὲ εἰπεῖν ἐμέλοντο σφέων, ὅ ἐστιν ἑαυτῶν. 1177—87a Ἀονίοιο δράκ〈οντοσ 〉 : ἀντὶ Βοιωτιακοῦ· Ἀονία γὰρ πρότερον ἡ Βοιωτία. Ὠγυγίας δὲ τὰς Θήβας ἀπὸ Ὠγύγου τοῦ βασιλεύσαντος αὐτῶν.

251 Κόριννα (fg 31 B. III 551) δὲ τὸν Ὤγυγον Βοιωτοῦ υἱόν. ἀπὸ τούτου δὲ καὶ τῶν Θηβῶν πύλαι. περὶ δὲ Εὐρώπης καὶ τῆς Κάδμου εἰς Θήβας παρουσίας Λυσίμαχος ἐν τῇ α′ τῶν Θηβαϊκῶν παραδόξων (fg 4 M. III 336) συνείλεχε πολλὴν τὴν ὕλην διαφωνοῦσαν. b Κάδμος , ὅ τ ’ Εὐρώ 〈πην 〉 : περὶ τῆς Κάδμου εἰς Θήβας παρουσίας Λυσίμαχος ἐν τῇ συναγωγῇ τῶν Θηβαϊκῶν παραδόξων (v. sch. a ) ἱστορεῖ καὶ Ἑλλάνικος ἐν α′ Φορωνίδος (4 fg 1 a J.), ἱστορῶν, ὅτι καὶ τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀδόντας ἔσπειρε τοῦ δράκοντος κατὰ Ἄρεως βούλησιν καὶ ἐγένοντο ε′ ἄνδρες ἔνοπλοι, Οὐδαῖος, Χθόνιος, Πέλωρ, Ὑπερήνωρ, Ἐχίων. ὁ δὲ Ἀπολλώνιος πολλοὺς οἴεται καὶ ἄλλους 〈καὶ〉 ἀλλήλοις πεπολεμηκέναι. ἐν δὲ τῇ γ′ Μουσαῖος Τιτανογραφίᾳ (2 B 1 DielsKranz) λέγεται, ὡς Κάδμος ἐκ τοῦ Δελφικοῦ ἐπορεύετο προκαθηγουμένης αὐτῷ τῆς βοός. Ἱππίας δὲ ὁ Ἠλεῖος ἐν Ἐθνῶν ὀνομασίαις (6 fg 1 J.) φησὶν ἔθνος τι καλεῖσθαι Σπαρτούς, καὶ ὁμοίως Ἀτρόμητος. Φερεκύδης δὲ ἐν τῇ ε′ οὕτω φησίν (3 fg 22a J.)· ‘ἐπεὶ δὲ Κάδμος κατῳκίσθη ἐν Θήβῃσιν, Ἄρης διδοῖ αὐτῷ καὶ Ἀθηναίη τοῦ ὄφιος τοὺς ἡμίσεις ὀδόντας, τοὺς δὲ ἡμίσεις Αἰήτῃ. καὶ ὁ Κάδμος αὐτίκα σπείρει αὐτοὺς εἰς τὴν ἄρουραν Ἄρεως κελεύσαντος, καὶ αὐτῷ ἀναφύονται πολλοὶ ἄνδρες ὡπλισμένοι. ὁ δὲ Κάδμος δείσας βάλλει αὐτοὺς λίθοισιν. οἱ δὲ δοκέοντες ὑφ’ ἑαυτῶν βάλλεσθαι, κρατέουσιν ἀλλήλους καὶ θνήσκουσιν πλὴν ε′ ἀνδρῶν, Οὐδαίου καὶ Χθονίου καὶ Ἐχίονος καὶ Πέλωρος καὶ Ὑπερήνορος, καὶ αὐτοὺς Κάδμος ποιεῖται πολίτασ‘.

252 c 〈 τού ς:〉 τοὺς ὀδόντας. L g d 〈 αὐτῷ τε φονῆ ι:〉 τῷ Κάδμῳ. L g (P) e Κάδμος Ἀγηνορίδη ς: τοὺς περιλειφθέντας ἐν τῇ μάχῃ σὺν Κάδμῳ κατοικῆσαι ἐν Θήβαις φησί. λέγει δὲ καὶ Ἑλλάνικος (4 fg 1 b J.), ὅτι Κάδμος ἐξελὼν τοῦ ὄφεως τοὺς ὀδόντας ἔσπειρεν, ἐκ δὲ αὐτῶν ε′ ἄνδρες ἔφυσαν, Οὐδαῖος, Χθόνιος, Ὑπερήνωρ, Ἐχίων, Πέλωρος. καὶ ὁ μὲν Ἑλλάνικος μόνους φησὶ 〈τούτουσ〉 βεβλαστηκέναι, ὁ δὲ Ἀπολλώνιος πολλοὺς 〈καὶ〉 ἄλλους—ἵδρυσεν ὄχλον γηγενῆ Ἄρεως ἀμώοντος ὑπὸ δουρὶ ὅσοι ἐλίποντο (v. 1186 sq.) —καὶ ἀλλήλους πεφονευκέναι. f οἱ μὲν Ἀγήνορος λέγουσι τὸν Κάδμον, οἱ δὲ Φοίνικος. Φερεκύδης δὲ ἐν δ′ οὕτω φησίν (3 fg 21 J.)· ‘Ἀγήνωρ δὲ ὁ Ποσειδῶνος γαμεῖ Δαμνὼ τὴν Βήλου. τῶν δὲ γίνονται Φοῖνιξ καὶ Ἰσαίη, ἣν ἴσχει Αἴγυπτος, καὶ Μελία, ἣν ἴσχει Δαναός. ἔπειτεν ἴσχει Ἀγήνωρ Ἀργιόπην τὴν Νείλου τοῦ ποταμοῦ· τῶν δὲ γίνεται Κάδμος.‘ 1191—92 ἠέλιος μὲν ἄπωθ〈εν〉 ἐρεμνὴν 〈δύετο〉 γαῖα ν: λέγει τὴν ὑπὸ τὸν ὁρίζοντα δύσιν· 〈 ἐρεμνὴν 〉 γὰρ εἴρηκε 〈διὰ〉 τὸ ὑπὸ τῶν ἀρχαίων παραδεδομένον ἔρεβος. Αἰθίοπας δὲ λέγει τοὺς πρὸς τῇ δύσει, ἐρεμνὴν δὲ γῆν τὸ ἀφανὲς ἡμισφαίριον τὸ περὶ τὸ ἔρεβος· τοιοῦτο δὲ ἀκουστέον τὸν ὑπὸ τὸν ὁρίζοντα τόπον ἐπὶ τοῦ Ἀπολλωνίου. ἑσπέριον δὲ τὸν ἥλιον εἴρηκε, τὴν ὥραν σημαίνων, καθ’ ἣν ὥραν παρέπεται αὐτῷ τὸ δύνειν. νεάτας δὲ ἄκριας εἴρηκεν τῶν Αἰθιόπων τὰς ἐσχατιὰς ὡς ὑπερκειμένας τῆς οἰκουμένης. οὐκ ὀρθῶς δὲ εἴρηκεν ὑπὲρ ἄκριας Αἰθιόπων τὸν ἥλιον δύνειν· ὁ γὰρ ὁρίζων κύκλος, οὐκ ὢν τῇ φύσει, τῇ ὄψει ἐπισημαίνεται. 1193 〈 Νὺξ δ ’ ἵπποισι ν:〉 νεωτέρα τῶν Ὁμήρου χρόνων ἡ τοῦ ἅρματος ὑπόζευξις. L m 1194—96 αὐτί κ ’ ἐπεί ῥ ’ Ἑλίκ〈ησ 〉 : πρὸς τὸ κλίμα τῆς Ἑλίκης φησὶν ἀναβλέψαντα τὸν Ἰάσονα σημειώσασθαι τὸν καιρὸν τὸν εἰρημένον ὑπὸ τῆς Μηδείας αὐτῷ.

253 1202 ὑπεύδιο ς: ὑπ’ ἀνθρώπων εὔδιος, ἀντὶ τοῦ ἐν εὐδίᾳ καὶ ἡσυχίᾳ τυγχάνων ἀνθρώπων ὑγρὸς τόπος. 1206 ἀδινῆς εὐνῆ ς: νῦν οἰκτρᾶς, λυπηρᾶς, διὰ τὴν ἀπόλειψιν. 1210 ἐπὶ δὲ μιγάδα ς: τὰς μεμιγμένας ἢ τὰς συμμιγεῖς τισιν. 1213a κευθμῶ ν: τῶν κρυφῶν. L g (P) b ὑπάτω ν: ὑψηλῶν. L g (P) 1214—15 πέριξ δέ μιν ἐστεφά〈νωντο 〉 : ὅτι δράκουσι καὶ δρυΐνῳ κλάδῳ στέφεται ἡ Ἑκάτη, καὶ Σοφοκλῆς ἐν Ῥιζοτόμοις τὸν χορὸν πεποίηκε λέγοντα (fg 535 Pearson)· ‘Ἥλιε δέσποτα καὶ πῦρ ἱερόν, τῆς εἰνοδίας Ἑκάτης ἔγχος, τὸ δι’ Οὐλύμπου 〈προ〉πολοῦσα φέρει καὶ γῆς ἀνιοῦς’ ἱερὰς τριόδους, στεφανωσαμένη δρυῒ καὶ πλεκτοῖς ὠμῶν σπείραισι δρακόντων.‘ 1219 ἑλειονόμο ι: αἱ ἐν τοῖς ἕλεσιν ἀναστρεφόμεναι. L g P 1220 Ἀμαραντίο υ: Ἀμαράντιοι ἔθνος βάρβαρον ὑπὲρ Κόλχων ἐν τῇ ἠπείρῳ, ὅθεν αἱ τοῦ Φάσιδος πηγαὶ ἐξερεύγονται. ἢ ὄρος Κολχικὸν καλούμενον Ἀμαράντιον, ὅθεν ὁ Φᾶσις καταφέρεται. 1226 θώρηκα στάδιο ν: ὅτι οὐκ ἦν ἀλυσιδωτός, ἀλλὰ σταδιαῖος· ἀπὸ τῆς στάσεως ἐσχημάτισται.

254 τινὲς δὲ στάδιον τὸν εὐπαγῆ, ὃν καὶ ὁ Καλλίμαχος λέγει (fg 59 Schn. = 145 Kapp)· ‘στάδιον δ’ ὑφέεστο χιτῶνα‘. 1227a σφωιτέραις δὲ χερσ ί· ταῖς ἑαυτοῦ, ταῖς ἰδίαις. P b Φλεγραῖο ν: τὸν ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς Φλέγρας· Φλέγρα δὲ πεδίον Θρᾴκης περὶ Παλλήνην. Μίμας δὲ τὸ κύριον τοῦ Γίγαντος. 1231 πολύρρινον σάκο ς: πολύβυρσον. L g P 1236 Φαέθω ν: ὅτι ὁ Ἄψυρτος καὶ Φαέθων ἐκαλεῖτο, ὥς φησι Τιμῶναξ ἐν β′ Σκυθικῶν (fg 3 M. IV 522). 1240 οἷος δ ' Ἴσθμιο ν: Ἴσθμια τὰ ἐν Ἰσθμῷ τελούμενα τῆς Κορίνθου πρότερον μὲν τῷ Ποσειδῶνι, ὕστερον δὲ Μελικέρτῃ κατὰ κέλευσιν τοῦ τότε βασιλεύοντος Σισύφου τοῦ Αἰόλου· ὅτε προσβρασθὲν τὸ τοῦ Μελικέρτου σῶμα ἰδὼν τῇ Κορίνθῳ ἐπέγνω ἀδελφιδοῦν ὄντα καὶ Ἀθάμαντος τοῦ Αἰόλου υἱόν, ἐτίμησεν, ὡς ἔδει, καὶ τῷ ἀγῶνι τῷ Ἰσθμικῷ, ἐν ᾧ οἱ νικῶντες πίτυϊ ἐστέφοντο πάλαι, ὕστερον δὲ ξηρῷ σελίνῳ. Μουσαῖος δὲ ἐν τῷ Περὶ Ἰσθμίων (M. IV 518) δύο φησὶ γίνεσθαι ἀγῶνας ἐν Ἰσθμῷ, καὶ τὸν μὲν Ποσειδῶνος εἶναι, τὸν δὲ Μελικέρτου. 1241 ἢ Ταίναρο ν: Ταίναρον ἀκρωτήριον τῆς Λακωνικῆς. Λέρνη δὲ κρήνη τοῦ Ἄργους ἱερὰ Ποσειδῶνος· ‘Λερναίων ἀδύτων περιώσιος ὀργιοφάντησ‘ (Anth. Pal. IX 688. 4). 1242—43a Ὑαντίου Ὀγχηστοῖ ο: τοῦ Βοιωτικοῦ· Ὕαντες γὰρ τὸ πρὶν ᾤκουν τὴν Βοιωτίαν.

255 Ὀγχηστὸς δὲ πόλις τῆς Βοιωτίας ἱερὰ Ποσειδῶνος. Ὅμηρος (B 506)· ‘Ὀγχηστόν θ’ ἱερόν, Ποσιδήιον ἀγλαὸν ἄστυ.‘ b Ὑάντιον δὲ ἀντὶ τοῦ Βοιώτιον· Ὕαντες γὰρ Βοιωτίας ἔθνος βάρβαρον, ὅθεν καὶ παροιμία ‘Βοιωτία ὗσ‘. καὶ ἡ Καλαύρεια δὲ ἱερά ἐστι Ποσειδῶνος, ὥς φησι Φιλοστέφανος (fg 18 M. III 31). ἦν δὲ πρότερον μὲν Ἀπόλλωνος, ἡ δὲ Πυθὼ Ποσειδῶνος, καὶ ἀντήμειψαν [οἱονεὶ κατήλλαξαν]. c Καλαύρεια ν: νῆσος πρὸς τῇ Τροιζῆνι. L m P 1244a Πέτρην θ ' Αἱμονίη ν: τὴν Θεσσαλίδα Πέτραν. χωρίον δέ ἐστιν, ἐν ᾧ Ποσειδῶνος ἄγεται ἀγών, ὡς ἀπὸ τοῦ τόπου Πετραῖον καλεῖσθαι. Πίνδαρος (Pyth. IV 246)· ‘παῖ Ποσειδῶνος Πετραίου‘. b Γεραιστό ν: ἀκρωτήριον Εὐβοίας. L g P 1251 ἀαγέ ς: ἀκαμπές. 1254 〈 ῥαιστή ρ:〉 σφύρα. S m 1258 〈ἐπερρώσαντο〉 περὶ σθένεϊ σφριγόωσα ι: ἀκμάζουσαι ῥωμαλεώτεραι τῇ δυνάμει ἐγένοντο, εὐτονοῦσαι ἐρρωμένως ἐκινοῦντο, τεταμέναι καὶ τῇ δυνάμει σφριγῶσαι· σφριγανὸν γάρ ἐστι τὸ ἰσχυρὸν καὶ στερεόν. 1260 σκαρθμ ῷ: σὺν τῷ ποδί. L g S m (P) 1262 ἐπαγαίετ ο: ἔχαιρεν, ἐγαυρία. L g G g S m P 1266a 〈 μεταπαιφάσσουσα ν:〉 λάμπουσαν. L m b τὸ δὲ μεταπαιφάσσεσθαι γράφεται καὶ μεταπαιφάσσουσα ν. ἑκατέρως δὲ τὸ διαλάμπειν σημαίνει. P 1268—69a καὶ τότε οὐκ ἐπὶ πολὺν καιρὸν ἀφέξεσθαι τῶν ἄθλων ἔμελλον. L m (P) b κληῖδες τὰ ζυγά, ἐφ’ ὧν οἱ ἐρέται κάθηνται.

256 1270 Ἀρήιο ν: τὸ πλησίον τοῦ ἱεροῦ τοῦ Ἄρεως, ὅπου καὶ τὸ κῶας. 1271—72 βαλβίς ἐστιν, ᾗ ἐπιβάλλουσιν οἱ δρομεῖς γραμμῇ. σημαίνει δὲ καὶ τὴν ἐκκοπὴν τοῦ φρέατος. ὁ δὲ νοῦς· τοσοῦτον δὲ τῆς πόλεως ἀφεστήκει, ὅσον ἡ νύσσα ἀπὸ τῆς βαλβῖδος ἤτοι τῆς ἀφετηρίας. 1286 χρίμψ ε: πλησίον ἐγένετο. L g (P) 1288 νήριτ α: τὰ μεγάλα καὶ ἀναρίθμητα. L g (P) 1290a κευθμῶνο ς: κοιλώματος. L g (P) b 〈ἵνα τέ σφισιν ἔσκε〉 βόαυλ α: ὅπου ἦν αὐτοῖς ἡ βοόστασις. L g (P) 1291 κεκαπνίσθαι φησὶ τὴν βοόστασιν ἐκ τῆς τοῦ πυρὸς ἀποφορᾶς τοῦ στόματος τῶν ταύρων. 1299 ἐυρρίνοι ς: τοῖς εὐβύρσοις καὶ καλῶς ἐρρινωμένοις. ἢ εὐπνόοις· διὰ γὰρ τῆς ῥινὸς τὸ πνεῦμα πέμπεται. 1300 μαρμαίρουσ ι: κυρίως καίουσι, μετενήνοχε δὲ τὴν φωνήν. 1302—03 〈 ἐξ αὐτοῦ πέλεται βρόμο ς:〉 ἀπὸ τῆς σφοδροτάτης φυσήσεως ἐνεργούσης ἔσωθεν. 1304 αἶθο ς: πῦρ, φλόξ. L g P 1310a σφῆλε γνύ ξ: σφαλῆναι ἐποίησε καὶ ἤνεγκεν ἐπὶ τὰ γόνατα. b βεβολημένο ν: βεβλημένον καὶ πληγέντα. L g P 1313a 〈 γούνασι ν:〉 τοῖς ἑαυτῶν. L m b ἐλυσθεί ς: ἐκταθείς. L G g S m P 1317 〈 ἐνέδησ ε:〉 τοῖς ἱμᾶσι. L g S m (P) 1318a θο ῇ: διὰ τὸ εἰς ὀξὺ λήγειν. L g (P) b κορών η: τῷ τοῦ ζυγοῦ κρίκῳ συνήρμοσεν. LG m S m (P) 1319—20 οἱ Τυνδαρίδαι, φησίν, ἀπὸ τοῦ πυρὸς ἐχωρίσθησαν εἰς τὴν ναῦν. L m (P) 1321a 〈 γέντ ο:〉 ἔλαβε.

257 S m b θοῶ ν: ὀξέων. L g (P) c 〈 ἔμπλειο ν:〉 γέμουσαν. L g 1323a ἐργατίνη ς: ἐργάτης, γεωργός. L g P b ἀκαίν ῃ: ἀντὶ τοῦ κέντρῳ. ἄκαινα δέ ἐστι μέτρον δεκάπουν, Θεσσαλῶν εὕρεμα, ἢ ῥάβδος ποιμενικὴ παρὰ Πελασγοῖς ηὑρημένη· περὶ ἧς Καλλίμαχός φησιν (fg 214 Schn. = 7, 7

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Pfeiffer)· ‘ἀμφότερον, κέντρον τε βοῶν καὶ μέτρον ἀρούρης.‘ 1331 ὀκριόεσσ α: νῦν ἀντὶ τοῦ τραχεῖα· ἡ τραχεῖα διεσχίζετο γῆ. L m (P) 1332 〈 κρατερ ῷ:〉 μεγάλῳ. S m 1335a 〈 λαῖο ν:〉 γράφεται βαθμό ν. L g b 〈 λαιό ν:〉 βοῦν. S m 1340 〈 ἀνομένοι ο:〉 λείπει τὸ υ , ἵν’ ᾖ ἀνυομένοιο. ἢ ἑτέρως λείπει τὸ ο καὶ ἔστιν ἀνυμένοι ο. S m 1345 διεπτοίησε ν: ἐθορύβησεν ὥστε φεύγειν. L m (P) 1354—56a [ τὸν δ ’ ἕλεν ἀμφασίη:] οὗτος καὶ οἱ ἑξῆς στίχοι εἰλημμένοι εἰσὶ παρ’ Εὐμήλου (fg 9 Kink.

258 191), παρ’ ᾧ φησι Μήδεια πρὸς Ἴδμονα. Σοφοκλῆς δὲ ἐν ταῖς Κολχίσι (fg 341 Pearson) πεποίηκε τὸν ἄγγελον, τοῦ Αἰήτου πυθομένου περὶ τῶν προειρημένων ‘ἦ βλαστὸς οὐκ ἔβλαστεν οὑπιχώριος;‘ λέγοντα· ‘καὶ κάρτα φρίξας τ’ εὐλόφῳ σφηκώματι χαλκηλάτοις ὅπλοισι μητρὸς ἐξέδυ.‘ ταῦτα δὲ Ἀπολλώνιος παραγέγραφεν. b φρίξα ν: ἐξωρθοῦντο, φοβεροὶ ἐφαίνοντο. L m (P) c 〈 φρίξε ν:〉 ἔλαμψε. S m d 〈 ἀμφιγύοι ς:〉 διπλοῖς. S m 1358 Ὄλυμπον εἶπεν ὁμοίως τοῖς νεωτέροις τὸν οὐρανόν. L m (P) 1360 〈 ἄελλα ι:〉 γράφεται ἀῆτα ι. L g 1363 ἀναλδήσκοντε ς: ἀναδιδόμενοι, αὐξανόμενοι. L g (P) 1365 περιηγέ α: περιφερῆ. L g P 1366 σόλο ν: δίσκον. L g (P) 1371 σπιλάδας ἤτοι τὰ κύματα, ἀλλαχοῦ δὲ τὰς πέτρας. S m 1376a κατάικε ς: συστροφαί. L g (P) b 〈 κατάικε ς:〉 καταιγίδες. S m 1377—79 οἷος δ ’ οὐρανόθεν πυρόεις ἀναπάλλετα ι: γράφεται καὶ ἀπολάμπετα ι. περὶ τῶν διατρεχόντων ἀστέρων καὶ ῥᾳδίως ἀφανιζομένων τὸν λόγον ποιεῖται, οἳ τῇ τῆς φορᾶς ὀξύτητι παραπλήσιόν τι ἔχουσιν ἐπιβαλλομένῳ. ὁλκὸν δὲ λέγει τὸ ὑπὸ τῆς ὀξύτητος παρασυρόμενον αὐτῷ φέγγος. τὰς δὲ τοιαύτας φαντασίας ὁ Μουσαῖος (2 B 17 Diels—Kranz) ἀναφερομένας φησὶν ἐκ τοῦ ὠκεανοῦ κατὰ τὸν αἰθέρα ἀποσβέννυσθαι.

259 τοὺς δὲ ὑπὸ Μουσαίου ἀστέρας εἰρημένους Ἀπολλώνιος πιθανῶς μαρμαρυγὰς εἴρηκε· τὰς γὰρ γινομένας ἀκαταλήπτους διὰ τὴν ὀξύτητα ἀποστίλψεις ἀφ’ οὗτινος μαρμαρυγὰς καλοῦσιν. ἀπίθανον δὲ τῷ τοιούτῳ ἀστέρι παραβαλεῖν τὸν Ἰάσονα πρὸς ἐπικίνδυνον ἆθλον πορευόμενον, τῷ ἅμα τῷ φανῆναι εὐθέως σβεννυμένῳ. εἰ δέ τις λέγοι τῷ Πυρόεντι αὐτὸν ὡμοιωκέναι, περὶ οὗ Ἐπιγένης ἐν τῷ Περὶ τῶν Χαλδαϊκῶν μαθηματικῶν προειπὼν περὶ τῶν πλανήτων, [λέγων] ὧν φησιν ἕνα εἶναι τὸν Πυρόεντα, προσαγορευόμενον [δὲ] ὑπὸ μὲν Ἑλλήνων Ἄρεως, ὑπὸ δὲ Χαλδαίων Ἡρακλέους 〈...〉 . φησὶ γὰρ καὶ ἐπισυρομένου αὐτοῦ μαρμαρυγὰς καὶ σπινθῆρας γίνεσθαι, ὁ δὲ Πυρόεις δυσκίνητός ἐστιν. 1384 τελλομένου ς: φαινομένους. L g P 1386 〈 ἀγχούροισι ν:〉 γείτοσι. S m 1389—90a οὐδὲ βολῇσι μίμνει ἐς ὡραίη ν: ὡραίην παραγωγῶς εἶπεν ἀντὶ τοῦ εἰς ὥραν καὶ τὸν δέοντα καιρόν, ὡς ‘ἀναγκαίη γὰρ ἐπείγει‘ (Hom.). τὸ δὲ ἑξῆς· οὐδὲ μίμνει ὥστε εἰς ὥραν τερσήμεναι βολαῖς ἠελίοι ο. b 〈 τερσήμενα ι:〉 φρυγῆναι. S g 1391 ὁλκο ί: αὔλακες. L g (P) 1394 〈 ἀγοστ ῷ:〉 ἀγκῶνι. S m 1395 δομή ν: τὴν τοῦ σώματος σύστασιν καὶ χρόαν.

260 L g P 1397a προὔτυψα ν: προῆλθον. L g S m P b ὅσον εἶχον ὑπὲρ γῆς, τοσοῦτον καὶ ὑπὸ γῆν. L m (P) 1398 πλαδαροῖσ ι: διύγροις. L g S m (P) 1401 〈 ἀλωήω ν:〉 κηπουρῶν. S m 1403 σημαντῆρ α: τὸν δεσπότην. L g P Δ Περιοχὴ τοῦ δʹ τῶν Ἀργοναυτικῶν Τοῦ δʹ τῶν Ἀργοναυτικῶν τὰ κεφάλαιά ἐστι ταῦτα.

261 (1t) οἱ Ἀργοναῦται διαπεράσαντες τὸν Πόντον ὡς ἐπὶ τὸν Ἴστρον, διὰ τοῦ ποταμοῦ κατηνέχθησαν καὶ ἐπεραιώθησαν εἰς τὸ πάλαι μὲν καλούμενον Κρόνιον 〈πέλαγος, νῦν δὲ Ἀδρίαν〉 · ἔνθα καὶ ἀναιροῦσι τὸν Ἄψυρτον δόλῳ. ἀγανακτοῦντος δὲ τοῦ Διὸς ἐπὶ τούτῳ καὶ δυσπνοίᾳ θέλοντος παρατρέψαι τοὺς Ἀργοναύτας, Ἥρα ἐπιπέμπει ἀνέμους, καὶ διὰ τοῦ Ἠριδανοῦ εἰς τὴν περὶ Σαρδὼ καταφέρονται θάλασσαν, καθαίρονται δὲ ὑπὸ Κίρκης· καὶ διαπλέουσι τὰς Πλαγκτὰς πέτρας, Θέτιδος μετὰ τῶν ἄλλων Νηρεΐδων προπεμπούσης, τὰς δὲ Σειρῆνας παραπλέουσι. διασωθέντες δὲ εἰς τὴν πάλαι μὲν Δρεπάνην, αὖθις δὲ κληθεῖσαν Κέρκυραν, τοὺς διὰ τῶν Συμπληγάδων διώκοντας αὐτοὺς Κόλχους καταλαμβάνουσιν, οἵτινες τὸν Ἀλκίνουν ἐξητοῦντο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν Μήδειαν. ὁ δὲ ὑπερθέμενος εἰς τὴν αὔριον, ἔφη παρθένον μὲν οὖσαν τῷ πατρὶ ἀποστέλλεσθαι, εἰ δὲ γυνὴ εἴη, παραδίδοσθαι τῷ ἀνδρί. γίνεται οὖν ὁ γάμος ἐκείνῃ τῇ νυκτί, καὶ οὕτως ἄπρακτοι γενόμενοι οἱ Κόλχοι μένουσιν ἐν τῇ Σχερίᾳ, δεδοικότες ἐπανελθεῖν πρὸς Αἰήτην. ἀποπλεύσαντες δὲ οἱ Ἀργοναῦται κατασύρονται τῆς Λιβύης εἰς Σύρτιν. καὶ τελευτῶσι μὲν Κάνθος καὶ Μόψος, ἀποροῦσι δὲ περὶ σωτηρίας τοῖς Ἀργοναύταις ἐπιφαίνεται Τρίτων καὶ ὡς διασωθήσονται δηλοῖ. βαστάσαντες οὖν τὴν ναῦν ἐκόμισαν εἰς τὴν Τριτωνίδα λίμνην. εἶτα γίνονται ἐν Κρήτῃ, ᾗ εἴργοντο προσελθεῖν ὑπὸ Τάλω· ὃν ἐπῳδαῖς ἠφάνισε Μήδεια. μετὰ δὲ ταῦτα παραγίνονται εἰς Αἴγιναν κἀκεῖθεν διασῴζονται εἰς Θεσσαλίαν. 1—5a Αὐτὴ νῦν κάματ 〈ον 〉 : ἐλλείπει τὸ ὦ μόριον, ἵνα ᾖ ὦ θεά.

262 ὁ δὲ νοῦς· αὐτὴ νῦν ἐμοὶ εἰπέ, ὦ Μοῦσα, τόν τε μόχθον καὶ τὰς βουλὰς Μηδείας, ἀποροῦντός μου, ὥστε μὴ δύνασθαι εἰπεῖν, πότερον ἐρωτικῷ πάθει ἢ κακώσεως φυγὴν ποιουμένη κατέλιπε τὴν πατρίδα. b ἦ γὰρ ἔμοιγε ἀμφα 〈σίῃ 〉 : ἀντὶ τοῦ ἀπορίᾳ, ἀφασίᾳ. 7 〈 ἐπὶ σφίσ ι: δοτικὴ ἀντὶ αἰτιατικῆς·〉 οὐ γὰρ ἔστι παρ' αὐτοῖς. L g 8 στυγερῷ ἐπὶ θυμὸν ἀέθλ ῳ: στυγερὸν εἶπε τὸν ἆθλον, ἐφ' ᾧ αὐτὸς κατεστύγναζε δυσφορῶν. 11 ἀλεγεινότατο ν: ἤτοι κατὰ πρόσθεσιν τοῦε · ἔστι γὰρ ἀλγεινότατον, παρὰ τὸ ἀλγεῖν εἰρημένον. ἢ εἴρηται τὸ τὰς φροντίδας ἔχον, ὥστε τὴν λέξιν εἶναι παρὰ τὸ ἀλέγειν. 12 τρέσσε δ ' ἠύτε τις : κεμάς ἐστιν ἡ νέα ἔλαφος. διαφορὰν δέ φασιν εἶναι κεμάδος καὶ νεβροῦ· κεμάδα γὰρ εἶναι τὴν ἔτι κοιμωμένην ἐν τῷ σπηλαίῳ, οἷον κοιμάδα τινὰ οὖσαν, νεβρὸν δὲ τὸν ἤδη μείζονα καὶ ἐπὶ βορὰν ἐξιόντα καὶ νεμόμενον. 13 τάρφεσι ν: πυκνώμασιν. L g (P) 14 ὀίσσατ ο: ἀπὸ τοῦ οἴω γέγονε ῥήματος κατὰ διαίρεσιν ὀίω 〈...〉 . μήποτε δὲ καὶ τὸ 'δοάσσατο' (Hom.) περισσῷ κέχρηται τῷ δ , ὡς καὶ τὸ 'δνοφερὸν ὕδωρ' (Hom.)· παρὰ γὰρ τὸ νέφος πεποίηται. καὶ παρὰ τὸ ἴψαι Σοφοκλῆς ἐν Ἰξίονι (fg 296 Pearson) δίψιόν φησι τὸν βεβλαμμένον, καὶ Ὅμηρος (Δ 171) 'πολυδίψιον Ἄργος ἱκοίμην' πολλάκις βεβλαμμένον.

263 16 ἐπίστορα ς: συνίστορας, συνειδυίας. L g P 17 περιβρομέεσκον ἀκουα ί: ἐνήχουν αἱ ἀκοαί, ὥσπερ ἐρχομένων τινῶν ἀξόντων αὐτὴν πρὸς τὸν πατέρα. 18 πυκνὰ δὲ λαυκα 〈νίησ 〉 : λαυκανίας, τῆς ἀρτηρίας, δι' ἧς τὸ πνεῦμα ἑλκόμενον καταφέρεται. κουρὶξ δὲ κατὰ κόρρης, κατὰ κεφαλῆς· πολλάκις δὲ προσχρῶνται ἐπὶ τοῦ τίλλειν τὰς τρίχας. LG m S m P 23—24 πτερόεις δέ ο ἱ: οἷον κοῦφος· ἐκουφίσθη τοῦ προτέρου λογισμοῦ, ταχέως μετέπεσεν αὐτῆς ἡ ψυχή, εἰς ἱλαρότητα μετετράπη. 35 διειλυσθεῖσ α: λάθρα διεξελθοῦσα τοῦ δόμου, ἀποδράσασα, φυγοῦσα. 36 ληιά ς: αἰχμάλωτος, δοριάλωτος. 38 ἀηθέσσουσ α: ἀηθὴς οὖσα. δύης δὲ κακοπαθείας. 42 ἀοιδαῖ ς: ταῖς διὰ φαρμάκων ἐπῳδαῖς. L m (P) 46 πέζα ν: τὸ ἀπολῆγον τοῦ χιτῶνος, ὃ ἡμεῖς ᾦαν λέγομεν· τὸ γὰρ πρότερον ὑπὲρ τοῦ μὴ τρίβεσθαι δέρμα προβάτου προσέρραπτο. 52 ἀμφί τε δυσπαλέα ς: χαλεπὰς καὶ κακάς. ἢ τὰς ἐπὶ κακῷ ἀναδιδομένας ἐκ τῆς γῆς· πλείονα γὰρ τῶν σωτηρίων τὰ φθοροποιά. ἢ τὰς δυσχερῶς σινομένας. 54 τὴν δὲ νέον Τιτηνί ς: Ἥλιος καὶ Σελήνη Ὑπερίονος τοῦ Τιτᾶνος καὶ Θείας εἰσὶ παῖδες, ὡς Ἡσίοδός φησι (Theog. 371)· 'Θεία δ' Ἠέλιον τέκε λαμπράν τε Σελήνην.' 55 φοιταλέη ν: ἐμμανῆ, μανιωδῶς πορευομένην· φοῖτος γὰρ ἡ μανία λέγεται. καὶ Εὐφορίων (fg 108 Scheidw.)· 'φοιταλέος διὰ πᾶσαν ἄδην ἐπάτησε κοθόρνῳ.

264 ' μήποτε διὰ τοῦτο καὶ τὰς ἑταίρας φοιτάδας λέγομεν. 57—58 οὐκ ἄ ρ ' ἐγὼ μούνη μετὰ Λάτμιο ν: Λάτμος ὄρος Καρίας, ἔνθα ἔστιν ἄντρον, ἐν ᾧ διέτριβεν Ἐνδυμίων. ἔστι δὲ καὶ πόλις ἡ λεχθεῖσα Ἡράκλεια. λέγεται δὲ κατέρχεσθαι εἰς τοῦτο τὸ ἄντρον τὴν Σελήνην πρὸς Ἐνδυμίωνα. περὶ δὲ τοῦ τῆς Σελήνης ἔρωτος ἱστοροῦσι Σαπφὼ (fg inc. lib. 83 Lobel = 134 B. III 132) καὶ Νίκανδρος ἐν β' Εὐρωπείας (fg 24 Schn.). τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος (fg 11 Rz. 2 ) μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης, παρὰ Διὸς εἰληφότα τὸ δῶρον ἳν αὐτῷ ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι 〈...〉 καὶ Πείσανδρος (16 fg 7 J.) καὶ Ἀκουσίλαος (2 fg 36 J.) καὶ Φερεκύδης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(3 fg 121 J.) καὶ Νίκανδρος ἐν β′ Αἰτωλικῶν (fg 6 Schn.) καὶ Θεόπομπος ὁ ἐποποιός. φασὶ δὲ αὐτὸν οἱ μὲν Σπαρτιάτην, οἱ δὲ Ἠλεῖον· Ἴβυκος δὲ ἐν α′ (fg 44 B. III 249) Ἤλιδος αὐτὸν βασιλεῦσαί φησι. ἐν δὲ ταῖς Μεγάλαις Ἠοίαις (Hes. fg 148 Rz. 2 ) λέγεται τὸν Ἐνδυμίωνα ἀνενεχθῆναι ὑπὸ τοῦ Διὸς εἰς οὐρανόν, ἐρασθέντα δὲ Ἥρας· εἰδώλῳ παραλογισθῆναι [τὸν ἔρωτα] νεφέλης καὶ ἐκβληθέντα κατελθεῖν εἰς Ἅιδου.

265 Ἐπιμενίδης (3 B 14 Diels—Kranz) δὲ αὐτὸν παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναί φησι τῆς Ἥρας, διόπερ Διὸς χαλεπήναντος αἰτήσασθαι διὰ παντὸς καθεύδειν. τινὲς δὲ διὰ 〈τὴν〉 πολλὴν δικαιοσύνην ἀποθεωθῆναί φασιν αὐτὸν καὶ 〈...〉 αἰτήσασθαι παρὰ Διὸς ἀεὶ καθεύδειν. ἔνιοι δὲ ἀναιροῦσι τὸν ἐπὶ τῷ Ἐνδυμίωνος ὕπνῳ μῦθον. φιλοκύνηγον γὰρ αὐτὸν γενόμενον, νύκτωρ πρὸς τῇ σελήνῃ κυνηγεῖν διὰ τὸ ἐξιέναι τὰ θηρία κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ τὰς νομάς, τὰς δὲ ἡμέρας ἐν σπηλαίῳ αὐτὸν ἀναπαύεσθαι, ὥς τινας οἴεσθαι πάντοτε αὐτὸν κοιμᾶσθαι. οἱ δὲ ἀλληγοροῦσι τὸν μῦθον, λέγοντες ὡς ἄρα Ἐνδυμίων πρῶτος ἐπεχείρησε τῇ περὶ τὰ μετέωρα φιλοσοφίᾳ, παρασχεῖν δὲ αὐτῷ τὰς ἀφορμὰς τὴν σελήνην ἔν τε φωτισμοῖς καὶ κινήσεσιν, δι’ ὃ καὶ νύκτωρ σχολάζοντα τούτοις ὕπνῳ μὴ χρῆσθαι, κοιμᾶσθαι δὲ μεθ’ ἡμέραν. τινὲς δὲ τῷ ὄντι φίλυπνόν τινα γεγονέναι τὸν Ἐνδυμίωνα, ἀφ’ οὗ καὶ παροιμία ‘Ἐνδυμίωνος ὕπνοσ‘ ἐπὶ τῶν πολὺ κοιμωμένων ἢ ἀμελῶς τι πραττόντων ὡς δοκεῖν κοιμᾶσθαι. καὶ Θεόκριτος μέμνηται (III 49 sq.)· ‘ζαλωτὸς μὲν ἔην ὁ τὸν ἄτροπον ὕπνον ἰαύων Ἐνδυμίων.‘ 59—61a ἦ θαμὰ δὴ καὶ σεῖ ο: μεμύθευται, ὡς ἄρα αἱ φαρμακίδες τὴν σελήνην ταῖς ἐπῳδαῖς κατασπῶσι. τοῦτο δὲ ποιεῖν δοκοῦσιν αἱ Θεσσαλαὶ σφαλεῖσαι τῆς ὑπολήψεως· καθὸ Ἀγλαονίκη, Ἡγέμονος θυγάτηρ, ἔμπειρος οὖσα τῆς ἀστρολογίας καὶ εἰδυῖα τὰς ἐκλείψεις τῆς σελήνης, ὁπότε μέλλοι αὐταῖς ἐγγενήσεσθαι, ἔφασκε τὴν θεὸν κατασπᾶν, καὶ παραχρῆμα περιέπιπτε συμφοραῖς, τῶν οἰκείων τινὰ ἀποβαλοῦσα.

266 ὅθεν κατὰ τὸν βίον λέγεται παροιμία ἐπὶ 〈...〉 ‘τὴν σελήνην κατασπᾷ‘. b μνησαμένη φιλό 〈τητοσ 〉 : τῆς τοῦ Ἐνδυμίωνος διὰ τῶν σῶν ἐπῳδῶν. σκοτίῃ δὲ ἐν ἀσελήνῳ, διὰ τὴν ἐμὴν περὶ τὸν ἐρώμενον ἀσχολίαν. διαλαμβάνουσι δὲ ἔνιοι τὴν τῆς σελήνης ἔκλειψιν ὑπὸ φαρμακίδων γίνεσθαι καθαιρουμένης, οἱ δὲ παλαιοὶ καθαιρέσεις ἐκάλουν τὰς ἐκλείψεις. 63 ἀνιηρό ν: ἀθεράπευτον. L g P 66a 〈 τὴν δ ’ αἶψα πόδες φέρο ν:〉 παρὰ [δὲ] τῷ τὰ Ναυπακτικὰ πεποιηκότι (fg 7 Kink.) οὐκ ἔστι κατὰ τὴν ἰδίαν προαίρεσιν ἐξιοῦσα ἡ Μήδεια, ἀλλ’ ἐφ’ ἑστίασιν καλουμένων τῶν Ἀργοναυτῶν κατ’ ἐπιβουλήν, ἐνστάντος τοῦ τῆς ἀναιρέσεως αὐτῶν καιροῦ, προτραπομένου δὲ τοῦ Αἰήτου ἐπὶ τὴν Εὐρυλύτης τῆς γυναικὸς συνουσίαν, Ἴδμονος ὑποθεμένου τοῖς Ἀργοναύταις ἀποδιδράσκειν, καὶ Μήδεια συνεκπλεῖ. L b 〈 ἐγκονέουσα ν:〉 ἀποσπεύδουσαν. L g 69 ἔδαιο ν: ἔκαιον, ἀνῆπτον. L g P 70 ὄρθι α: ἀντὶ τοῦ ἐπιτεταμένως, μεγάλως. L m (P) 71 περαιόθε ν: γέγονε μὲν ἀπὸ τοῦ πέρας καὶ περαία καὶ τὸ περαιόθεν. ὅθεν καὶ ἤπειρος λέγεται πᾶσα ἡ γῆ καταχρηστικῶς, κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα, ὡς φανερὸν Εὐριπίδης πεποίηκεν (fg 1010 N. 2 )· ‘ἤπειρον εἰς ἄπειρον ἐκβάλλων χθόνα.‘ 86 φεύγωμε ν , πρὶν τόνδε θοῶ ν: ὁ μὲν Ἀπολλώνιός φησι νυκτὸς πεφευγέναι τὴν Μήδειαν ἐπὶ τὴν ναῦν, Αἰήτου συνέδριον ἔχοντος Κόλχων περὶ διαφθορᾶς τῶν ἡρώων· ὁ δὲ τὰ Ναυπακτικὰ πεποιηκὼς (fg 8 Kink.

267 ) ὑπὸ Ἀφροδίτης φησὶ τὸν Αἰήτην κατακοιμηθῆναι, ἐπιθυμήσαντα τῇ αὐτοῦ γυναικὶ συγγενέσθαι, δεδειπνηκότων παρ’ αὐτῷ τῶν Ἀργοναυτῶν καὶ κοιμωμένων, διὰ τὸ βούλεσθαι αὐτὸν τὴν ναῦν ἐμπρῆσαι· ‘δὴ τότ’ ἄρ’ Αἰήτῃ πόθον ἔμβαλε δῖ’ Ἀφροδίτη Εὐρυλύτης φιλότητι μιγήμεναι, ἧς ἀλόχοιο, κηδομένη φρεσὶν ᾗσιν, ὅπως μετ’ ἄεθλον Ἰήσων νοστήσῃ οἶκόνδε σὺν ἀγχεμάχοις ἑτάροισιν‘. ὁ δὲ Ἴδμων συνῆκε τὸ γεγονὸς καί φησι· ‘φευγέμεναι μεγάροιο θοὴν διὰ νύκτα μέλαιναν.‘ τὴν δὲ Μήδειαν τὴν ποδοψοφίαν ἀκούσασαν ἀναστᾶσαν συνεξορμῆσαι. λέγει δὲ καὶ Ἡρόδωρος (31 fg 53 J.) ταῦτα. 87 δώσω δὲ χρύσειο ν: ὁ μὲν Ἀπολλώνιος μετὰ τὸ φυγεῖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν Μήδειαν ἐκ τοῦ Αἰήτου οἴκου πεποίηται ὑπισχνουμένην τὸ κῶας τῷ Ἰάσονι· ὁ δὲ τὰ Ναυπακτικὰ γράψας (fg 9 Kink.) συνεκφέρουσαν αὐτὴν τὸ κῶας κατὰ τὴν φυγήν, κατὰ τὸν αὐτοῦ οἶκον κείμενον [τοῦ Αἰήτου]· ὁ δὲ Ἡρόδωρος (31 fg 52 J.) μετὰ τὴν ἀνάζευξιν τῶν ἀγρίων ταύρων ἀποσταλῆναι τὸν Ἰάσονα ὑπὸ τοῦ Αἰήτου ἐπὶ τὸ κῶας, τὸν δὲ πορευθέντα φονεῦσαί τε τὸν δράκοντα καὶ τὸ κῶας ἀπενεγκεῖν πρὸς Αἰήτην, τὸν δὲ δόλῳ καλέσαι αὐτοὺς ἐπὶ δεῖπνον. 89 ἐπιίστορα ς: μάρτυρας. L g P 91 ὀνοτή ν: μεμπτήν. L g P 94 προσπτύξατ ο: περιέλαβε. L g P 102 παρὲκ νόον Αἰήτα ο: μὴ βουλομένου τοῦ Αἰήτου. L g (P) 104 〈 ἔωσα ν:〉 ἤλασαν. L g 106 ἔμπαλιν ἀίσσουσ α: εἰς τοὐπίσω ὁρμῶσα. L g P 111a ἄγχαυρο ν: τὸν καιρὸν τὸν πλησίον καὶ ἐγγὺς τῆς ἡμέρας ὥσπερ λυκόφως· περὶ γὰρ τὸν τοιοῦτον καιρὸν αἱ αὖραι πνέουσι.

268 τοῦτο δὲ ἐκ τοῦ ποιητοῦ (ε 469)· ‘αὔρη δ’ ἐκ ποταμοῦ ψυχρὴ πέλει ἠῶθι πρό.‘ b κνώσσουσι ν: ὑπνώττουσιν. L g (P) 115—17a 〈ἵνα〉 Κριο ῦ: ἐν Κόλχοις, ὅπου πρῶτον τὸν Φρίξον κομίσας ὁ κριὸς ἀνεπαύσατο. L m P b [ ὅν ῥά πο τ ’ Αἰολίδ 〈ησ 〉 :] Διονύσιος ἐν τοῖς Ἀργοναυτικοῖς (32 fg 2 c J.) λέγει Κριὸν γεγονέναι Φρίξῳ παιδαγωγόν, ὃν πρῶτον αἰσθόμενον τὴν ἐκ τῆς μητρυιᾶς ἐπιβουλὴν ὑποθέσθαι φυγεῖν, ὑφ’ οὗ καὶ σωθέντος τοῦ νεανίου διαδεδόσθαι, ὡς ἄρα ἐπὶ κριοῦ μέχρι Κόλχων διασωθείη ὁ Φρίξος. L 125 ἀνιόντο ς: ἀνατέλλοντος. L g P 131—35a ἔκλυο ν , οἳ καὶ πολλό ν: ὑπερβολῇ κέχρηται περὶ ποσότητα, εἴ γέ φησι τὴν τοῦ δράκοντος φωνὴν τοῖς μὲν μακρὰν οὖσι τῶν Κόλχων ἀκούεσθαι, αὐτοῖς δὲ μή. b ἑκὰς Τιτηνίδος Αἴη ς: τοῦ Τιτῆνος ποταμοῦ, ἀφ’ οὗ καὶ ἡ χώρα Τιτηνὶς κέκληται, μνημονεύει Ἐρατοσθένης ἐν Γεωγραφίᾳ (fg III B 76 Berger). ὁ δὲ Λύκος ποταμὸς ἀπὸ Ἀράξου φερόμενος συγκίρναται Φάσιδι, καὶ οὕτως ἀπολέσας τὸ ἴδιον ὄνομα ἐκδίδωσιν εἰς θάλασσαν. τὸ δὲ αὐτὸ τοῦτο γίνεται ἐπί τε Ὀνοχώνου τοῦ κατὰ Θεσσαλίαν καὶ Πηνειοῦ καὶ Παμίσου· ὅταν γὰρ εἰς ταὐτὸ συρρεύσωσιν, Πηνειὸς καλοῦνται. ὁ δὲ Ἀράξης ποταμὸς Σκυθίας. Μητρόδωρος δὲ ἐν α′ τῶν Περὶ Τιγράνην (184 fg 1 J.) τὸν Θερμώδοντα Ἀράξην φησὶ λέγεσθαι. Καυκασίαν δὲ θάλασσαν τὴν Κασπίαν φησὶ διὰ τὸ συνάπτειν τῷ Καυκάσῳ. c. βέλτιον δὲ Καυκασίαν θάλασσαν νῦν τὸν Εὔξεινον νοεῖν τὸν πλησιάζοντα τῷ Καυκάσῳ· οὐ γὰρ εἰς τὴν Κασπίαν, ἀλλ’ εἰς τὸν Εὔξεινον ἐκδίδωσιν ὁ Φᾶσις.

269 P 140—42a καπνοῖο στροφ 〈ά〉 λ 〈ιγγεσ 〉 : αἱ τοῦ καπνοῦ τοῦ σφοδροῦ εἱλήσεις. b 〈 εἱλίσσοντα ι:〉 κατὰ τὴν ἀναφοράν· διὰ δὲ τοῦ ἄλλη δ ’ αἶ ψ ’ ἑτέρη ἐπιτέλλεται δηλοῖ τὸ συνεχὲς τῆς ἐπαναφορᾶς. c εἰλίγγοισ ι: ταῖς εἱλήσεσι καὶ συστροφαῖς τοῦ σφοδροῦ καπνοῦ. d ἐπήορο ς: μετέωρος. L g P e 〈 ἐξανιοῦσ α:〉 γράφεται καὶ ἀίσσουσ α. L m 143—44a ἀπειρεσίας ἑλέλιξ ε: πολλάς. ὑπερβολικῶς καὶ τοῦτο εἴρηκε διαγράφων τὸ τέρας τοῦ δράκοντος. ῥυμβόνας δὲ τὰς εἱλήσεις τῆς σπείρας, τὰς περιδινήσεις. καὶ Εὐριπίδης ἐν Πειρίθῳ (fg 593 N. 2 )· ‘σὲ τὸν αὐτοφυῆ πάντων [θεῶν] αἰθέρα ῥύμβῳ‘, τουτέστιν ἐν κινήσει, ὅθεν καὶ τὸ κινούμενον τροχίσκιον ὑπὸ τῶν φαρμακίδων ῥυμβίον καλεῖται. καὶ παρ’ Εὐπόλιδι (fg 72 Kock I 274)· ‘ὦ ῥύμβε, μαστίξας ἐμέ‘. οὕτω δὲ λέγουσι τὰς περιφερεῖς κινήσεις. b ἀζαλέῃσιν ἐπηρεφέας φολίδεσσι ν: ξηραῖς λεπίσιν ἐσκεπασμένας. L m (P) 145 εἴσατ ο: ὥρμησεν. L g P 147 θέλξαι ἀντὶ τοῦ κοιμίσαι. L m P 148a χθονίη ν: ὡς καὶ ὑπὸ γῆν διατρίβουσαν. εὐαντέα δὲ τὴν εὐάντητον καὶ εὐεξίλαστον ἢ εὐαπάντητον. b 〈 εὐαντέ α:〉 εὐσυνάντητον. L g 150—51a οἴμῃ θελγόμενο ς: τῇ ἐπῳδῇ ταπεινούμενος. L g P b ἀνελύε τ ’ ἄκανθ 〈αν 〉 : τὰ τῶν ὄφεων ὀστᾶ ἄκανθαι λέγεται. κατὰ κοινοῦ δὲ τὸ γηγενέος, ὡς καὶ ἄλλα ἑρπετὰ 〈...〉. 155 περιπτύξα ι: περιλαβεῖν.

270 L g P 156—66a ἡ δέ μιν ἀρκεύθ 〈οιο 〉 : ἐν τούτοις καὶ τοῖς ἐφεξῆς φησι τὴν Μήδειαν, ἐπιρραίνουσαν ἀρκεύθῳ φάρμακον, κοιμίσαι τὸν δράκοντα ἐπᾴδουσαν, καὶ οὕτω τὸ κῶας ἀνελέσθαι καὶ χωρισθῆναι ἀμφοτέρους ἐπὶ τὴν ναῦν κοιμωμένου τοῦ θηρίου, συμφώνως Ἀντιμάχῳ (fg 10 B. II 291). καὶ Φερεκύδης φησὶν ἐν ζ′ (3 fg 31 J.) φονευθῆναι τὸν δράκοντα ὑπὸ Ἰάσονος. ἡ δὲ ἄρκευθος δένδρον τι ἀκανθῶδες, Ἀπόλλωνος ἴδιον, ὡς ἱστορεῖται ἐν γ′ τῶν εἰς Μουσαῖον ἀναφερομένων (2 B 2 Diels—Kranz). b νήριτο ς: πολλή. L g P c πολυπρέμνοι ο:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολυστελέχου. L g (P) 168 〈 ἐξανέχουσα ν:〉 εἰσβάλλουσαν. L g 175a ἀγρῶστα ι: οἱ κυνηγοί· ἀπὸ τοῦ ἀγρώσσω ῥήματος πέπτωκεν. Ὅμηρος (ε 53)· ʻἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ.ʻ b ἀχαιϊνέη ν: Ἀχαία ἐστὶ τῆς Κρήτης πόλις, ἐν ᾗ γίνονται ἀχαιϊνέαι λεγόμενοι ἔλαφοι. 〈...〉 καὶ οἱ σπαθίναι λεγόμενοι ἔλαφοι, οἱ δὲ κέρατα μεγάλα ἔχοντες κεράσται. 176—77 βεβρίθει λήνεσσι ν: τοῖς ἐρίοις, ὅθεν καὶ λανάριοι καλοῦνται οἱ κτενισταί.

271 πολλοὶ δὲ χρυσοῦν τὸ δέρας εἰρήκασιν, οἷς Ἀπολλώνιος ἠκολούθησεν. ὁ δὲ Σιμωνίδης (fg 21 B. III 396) ποτὲ μὲν λευκὸν ποτὲ δὲ πορφυροῦν, Διονύσιος δὲ ὁ Μιτυληναῖος (32 fg 2 a J.) ἄνθρωπόν φησι γεγενῆσθαι, παιδαγωγὸν τοῦ Φρίξου, ὀνόματι Κριόν. 181 ἀφασσόμενο ς: ψηλαφῶν. L g P 182 νοσφίσσετα ι: ἀφαιρήσεται. L g P 190 μηκέτι νῦν χάζεσθ ε: ἀναχωρεῖτε καὶ μεριμνᾶτε περὶ τῆς εἰς τὴν πατρίδα ἀνακομιδῆς. τινὲς δὲ γράφουσι φράζεσθ ε. 191—93 ἤδη γὰρ χρει ώ: ἡ γὰρ χρεία, φησίν, ἧς χάριν τοῦτον τὸν πλοῦν ὑπέστημεν τὸν χαλεπόν, εὐκόλως ταῖς βουλαῖς τῆς κόρης τετέλεσται. 200—02a ἑζόμενος πηδοῖσ ι: τοῖς πλατέσι τῶν κωπῶν· δι’ οὗ δηλοῖ τὰς κώπας ἀπὸ μέρους. πηδὸν γὰρ καλεῖται τὸ πλατὺ τῆς κώπης· Θεόφραστος (Hist. plant. V 7, 6) δὲ εἶδος ξύλου τὸ πηδόν. b οἱ δὲ ἡμίσεις ὁπλισθέντες ἀμύνεσθε τοὺς ἐπιόντας. ἔχμα δὲ βολάων εἴρηκε τὰς ἀσπίδας. L m (P) c θοό ν: ἀντὶ τοῦ θοῶς ἐπιρρήματος. L g (P) 213 περίπυστο ς: περιβόητος. L g P 214—15 ἐς δ ’ ἀγορὴν ἀγέροντ ο: συνηθροίζοντο πρὸς μάχην. καί φησιν· ὡς οὐκ ἔστι χειμῶνος τὰ κύματα τῆς θαλάσσης τεκμήρασθαι, οὕτως οὐδὲ τὸ πλῆθος τῶν ὁπλισθέντων Κόλχων. L 218 〈 παρεμέτρεο ν:〉 παρέπλεον. L g 223—30a πεύκην περιμήκε α: τὴν λαμπάδα, ὡς ἐμπρήσων τὴν ναῦν. ὁ μὲν Ἀπολλώνιος ἄπρακτόν φησιν ἀναχωρῆσαι τὸν Αἰήτην σὺν ὀχήματι ἡνιοχοῦντος Ἀψύρτου, Διονύσιος δὲ ὁ Μιλήσιός (32 fg 10 b J.) φησιν, ὅτι καταλαβὼν τὴν ναῦν ὁ Αἰήτης παραταξαμένων τῶν ἀριστέων Ἶφιν ἀνεῖλεν Ἀργεῖον, Εὐρυσθέως ἀδελφόν, καὶ αὐτὸς πολλοὺς ἀπέβαλε. Φερεκύδης δὲ ἐν ζʹ (3 fg 32a J.) τὴν Μήδειάν φησιν ἆραι μικρὸν ὄντα τὸν Ἄψυρτον ἐκ τῆς κοίτης, Ἰάσονος εἰπόντος αὐτῇ, 〈καὶ〉 ἐνεγκεῖν πρὸς τοὺς Ἀργοναύτας· ἐπεὶ δὲ ἐδιώχθησαν, σφάξαι καὶ μελίσαντας ἐκβαλεῖν εἰς τὸν ποταμόν.

272 ἐν δὲ τοῖς Σκύθαις ὁ Σοφοκλῆς ἑτερομήτορα τῆς Μηδείας τὸν Ἄψυρτον λέγει (fg 546 Pearson)· ʻοὐ γὰρ ἐκ μιᾶς κοίτης ἔβλαστον, ἀλλ’ ὁ μὲν Νηρηίδος βλάστεσκε τέκνον ἄρτι, τὴν δ’ Εἰδυῖα πρίν ποτ’ Ὠκεανοῦ κόρη τέκεν.ʻ b νηῦς ἤδη κρατε〈ροῖσι ν:〉 ἡ ναῦς, φησίν, βιαίᾳ ὁρμῇ τὸν πλοῦν ἤνυεν τῇ τε τῶν ἐρετῶν δυνάμει βιαζομένη καὶ τῷ τοῦ ποταμοῦ καθέλκοντι ῥεύματι. c καταβλώσκοντ ι: ἀντὶ τοῦ κατωφόρῳ. L g (P) d αὐτὰρ ἄναξ ἄτ ῃ: ὁ δὲ Αἰήτης, φησίν, ἐν πολλοῖς κακοῖς γεγενημένος τὸν Ἥλιον καὶ τὸν Δία μάρτυρας τῶν πεπραγμένων ἐπεκαλεῖτο. φησὶ δὲ ὁ Ἀπολλώνιος διὰ τούτων τὸν Αἰήτην ἄπρακτον ὑποστρέψαι, διὰ δὲ τῶν ἑξῆς (v. 224 sq.) φησι τὸν Ἄψυρτον νέον ὄντα ἡνιοχεῖν παραβεβηκότα τῷ πατρί. Διονύσιος δὲ ὁ Μιλήσιός (32 fg 10a J.) φησιν, ὅτι Αἰήτης ἐδίωξεν αὐτούς· οἱ δὲ ἀριστεῖς ἠγωνίζοντο ἀκοντίζοντες, οἱ δὲ περὶ τὸν Αἰήτην ἵππευον· ἔνθα καὶ Ἶφιν τελευτῆσαι τὸν Σθενέλου· καταβαλόντα γὰρ δύο τῶν περὶ Αἰήτην ἱππέων περικατάληπτον γενέσθαι ὑπὸ τοῦ Αἰήτου, περισπασθέντα τῷ βρόχῳ. ἐν δὲ τοῖς ἑξῆς φησιν, ὡς οἱ Κόλχοι εἰς φυγὴν ἐτράπησαν. Φερεκύδης δὲ ἐν ζʹ (3 fg 32 b J.) διωκομένους ἀναβιβάσαι ἐπὶ τὴν ναῦν τὸν Ἄψυρτον καὶ μελίσαντας ῥῖψαι εἰς τὸν ποταμόν. Σοφοκλῆς δὲ ἐν Κολχίσι (fg 343 Pearson) φησὶ κατὰ τὸν οἶκον τοῦ Αἰήτου τὸν παῖδα σφαγῆναι. ἑξῆς δὲ Ἀπολλώνιος τὴν ἀπειλὴν τάσσει τὴν πρὸς τοὺς Κόλχους. 246 ἡ γά ρ: ἡ Μήδεια. L g P 247—52 καὶ δὴ τὰ μέν , ὅσσα θυηλ〈ῇ 〉 : ἐκ τούτου βούλεται δηλῶσαι, ὅτι τοιαύτην θυσίαν ἐβούλετο τελέσαι ὁποίαν φαρμακίδες.

273 Νύμφις δὲ ἐν τῷ ςʹ Περὶ Ἡρακλείας (fg 14 M. III 15) Ἑκάτης φησὶν ἱερὸν εἶναι ἐν τῇ Παφλαγονίᾳ Μηδείας ἱδρυσαμένης. κατὰ δὲ τὴν ἀποσιώπησιν ἐμφάσει κέχρηται, τὴν ταῖς φαρμακίσι τελουμένην θυσίαν μὴ ἐξεργαζόμενος. 257—62a νισόμε θ ’ [ ἐ ς ] Ὀρχομένο ν: διὰ τούτων φησὶν ὁ Ἄργος ἀληθῆ αὐτοῖς εἰρῆσθαι ὑπὸ Φινέως (II 421)· εἶναι γὰρ πλοῦν ἕτερον ἔξω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φέροντα, ὃν Αἰγύπτιοι ἱερεῖς ἐσημήναντο. ἐγίνωσκε γὰρ τὰ μέρη ἐκεῖνα ὁ Ἄργος. διό φησιν· ὄντως δὴ τῇ ἐσωτάτῃ ὁδῷ κεχρημένοι, ᾗ καὶ ἡμεῖς εἰς Ὀρχομενὸν ἐπορευόμεθα, πορεύεσθε. L b ἔστι γὰρ πλόος ἄλλο ς: Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις (31 fg 10 J.) φησὶ διὰ τῆς αὐτῆς 〈κατ〉 ελθεῖν θαλάσσης, δι᾽ ἧς ἦλθον εἰς Κόλχους· Ἑκαταῖος δὲ ὁ Μιλήσιος (1 fg 18 a J.) ἐκ τοῦ Φάσιδος διελθεῖν εἰς τὸν ὠκεανόν, εἶτα ἐκεῖθεν εἰς τὸν Νεῖλον, ὅθεν εἰς τὴν ἡμετέραν θάλασσαν. τοῦτο δὲ ὁ Ἐφέσιος Ἀρτεμίδωρος (fg 136 Stiehle Phil. 11, 1856, 236 ) ψεῦδός φησιν εἶναι· τὸν γὰρ Φᾶσιν μὴ συμβάλλειν τῷ ὠκεανῷ, ἀλλ᾽ ἐξ ὀρέων καταφέρεσθαι. τὸ αὐτὸ καὶ Ἐρατοσθένης ἐν γ′ Γεωγραφικῶν (fg III B 74 Berger) φησι. Τιμάγητος δὲ ἐν α′ Περὶ λιμένων (fg 1 M. IV 519) τὸν μὲν Φᾶσιν 〈καταφέρεσθαι ..., τὸν δὲ Ἴστρον〉 καταφέρεσθαι ἐκ τῶν Κελτικῶν ὀρῶν, ἅ ἐστι τῆς Κελτικῆς, εἶτα ἐκδιδόναι εἰς Κελτῶν λίμνην, μετὰ δὲ ταῦτα εἰς δύο σχίζεσθαι τὸ ὕδωρ, καὶ τὸ μὲν εἰς τὸν Εὔξεινον πόντον εἰσβάλλειν, τὸ δὲ εἰς τὴν Κελτικὴν θάλασσαν· διὰ δὲ τούτου τοῦ στόματος πλεῦσαι τοὺς Ἀργοναύτας καὶ ἐλθεῖν εἰς Τυρρηνίαν. κατακολουθεῖ δὲ αὐτῷ καὶ Ἀπολλώνιος. Ἡσίοδος (fg 64 Rz. 2 ) δὲ καὶ Πίνδαρος ἐν Πυθιονίκαις (IV 25 sq.

274 ) καὶ Ἀντίμαχος ἐν Λύδῃ (fg 12 B. II 291) διὰ τοῦ ὠκεανοῦ φασιν ἐλθεῖν αὐτοὺς εἰς Λιβύην, καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος 〈παρα〉 γενέσθαι. c οὐδέ τί πω Δαναῶ ν: τοὺς Αἰγυπτίους πολλοὶ παλαιοτάτους εἶναί φασιν, Ἡρόδοτος (II 2) δὲ Φρύγας. Μώσμης δὲ ἐν α′ Αἰγυπτιακῶν (M. IV 369) καὶ Λέων ἐν α′ τῶν Πρὸς τὴν μητέρα (fg 1 M. II 331) καὶ Κνωσσὸς ἐν α′ Γεωγραφικῶν τῆς Ἀσίας (M. III 158) πάντων ἀρχαιοτάτους Αἰγυπτίους εἶναί φασιν. δοκεῖ δὲ πρῶτον Θήβην κατ᾽ Αἴγυπτον κτισθῆναι, ὥς φησι Ξεναγόρας ἐν α′ Χρόνων (240 fg 1 J.). καὶ Νικάνωρ δὲ λέγει ἐν ταῖς Μετονομασίαις (fg 15 M. III 634) ἐν Αἰγύπτῳ πρώτην κτισθῆναι πόλιν Θήβας, καὶ αὐτὸς συμφωνῶν τῷ Ἀρχεμάχῳ (fg 6 M. IV 315). Ἵππυς (fg 1 M. II 13) δὲ τοὺς Αἰγυπτίους πρώτους 〈γεγενῆσθαι〉 στοχάζεται 〈ἐκ〉 τῆς τοῦ ἀέρος κράσεως καὶ 〈ἐκ τοῦ〉 γονιμώτατον εἶναι τὸ τοῦ Νείλου ὕδωρ. γεγονέναι δὲ αὐτούς φησιν ὁ Ἀπολλώνιος πρὸ τοῦ πάντα τὰ ἄστρα φανῆναι· καθὸ τήν τε φύσιν κατανοῆσαι αὐτῶν δοκοῦσι καὶ τὰ ὀνόματα θεῖναι, 〈καὶ〉 τὰ μὲν ιβ′ ζῴδια θεοὺς βουλαίους προσηγόρευον, τοὺς δὲ πλάνητας ῥαβδοφόρους. Ἡρόδοτος (l. l.) δέ φησι Φρύγας πρώτους γεγενῆσθαι. ὕστερον δὲ Ψαμμίτιχος τῶν Αἰγυπτίων βασιλεύς, βουλόμενος διαγνῶναι, τίνες οἱ γηγενεῖς, παρέδωκεν ποιμένι δύο βρέφη, κελεύσας μηδένα φθέγγεσθαι, μόνον δὲ αὐτοῖς αἰγὸς θηλὴν δίδοσθαι. οἱ δὲ δύο ἐτῶν διελθόντων πρώτην φωνὴν ἀφῆκαν τὸ βέκος· οὕτω δὲ λέγεται παρὰ τοῖς Φρυξὶν ὁ ἄρτος.

275 ἐγνώσθησαν οὖν ἀπὸ τούτου οἱ Φρύγες γηγενεῖς. οἱ δέ φασιν, ὅτι εὔηθές ἐστιν ὑπολαμβάνειν τοῦτο· ἀκούοντες γὰρ οἱ παῖδες βληχωμένων τῶν προβάτων, ὡς ἂν ὑπὸ τῆς φύσεως ἐνεργούμενοι πρὸς τὸ ἔναρθρον τὴν φωνὴν ἀπέστρεψαν. 263—64a οἷοι δ ᾽ ἔσαν Ἀρκάδ〈εσ 〉 : μόνοι δὲ ἦσαν Ἀρκάδες, φησί, τῶν Ἑλλήνων ἀρχαιότεροι. Ἀπιδανῆας δὲ τοὺς Πελοποννησίους ἀπὸ Ἄπιδος τοῦ Φορωνέως. b Ἀρκάδες , οἳ καὶ πρόσθ〈εν 〉 : οἱ Ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γεγονέναι, ὡς καὶ Εὔδοξος ἐν Γῆς περιόδῳ (fg 41 Brandes 4. Jabresbericht des Vereins von Freunden d. Erdk. zu Leipzig, 1865, 64 ). Θεόδωρος δὲ ἐν κβ′ (62 fg 2 J.) ὀλίγῳ πρότερόν φησι τοῦ πρὸς τοὺς Γίγαντας πολέμου Ἡρακλέους τὴν σελήνην φανῆναι. καὶ Ἀριστίας ὁ Χῖος ἐν ταῖς Κτίσεσι καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν α′ Κτίσεων (fg 1 M. IV 393) καὶ ἔθνος Ἀρκαδίας Σεληνίτας εἶναι. Μνασέας (fg 4 M. III 150) δέ φησι Προσέληνον Ἀρκάδων βασιλεῦσαι. Ἀριστοτέλης δὲ ἐν τῇ Τεγεατῶν πολιτείᾳ (fg 549 Rose 1568 b 41) φησίν, ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν, οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν νῦν Ἀρκάδων, ἐπιθεμένων αὐτοῖς πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην· διὸ κατωνομάσθησαν προσέληνοι. 〈...〉 . Δοῦρις δὲ ἐν ιε′ τῶν Μακεδονικῶν (76 fg 9 J.) Ἀρκάδα φησίν, ἀφ᾽ οὗ ἡ Ἀρκαδία καλεῖται, Ὀρχομενοῦ υἱόν, διὸ καὶ πόλιν τῆς Ἀρκαδίας Ὀρχομενόν. τινὲς δέ φασιν Ἐνδυμίωνα εὑρηκέναι τὰς περιόδους καὶ τοὺς ἀριθμοὺς τῆς σελήνης, ὅθεν καὶ προσελήνους τοὺς Ἀρκάδας κληθῆναι. ἔνιοι δὲ ὑπὸ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τυφῶνος 〈...〉 · ὑπὸ δὲ Ἄτλαντος καὶ Ξεναγόρας (240 fg 32 J.) εἴρηκεν. 265—66 ἀνάσσετο Δευκαλ 〈ίδῃσι ν:〉 οἱ ἀπὸ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὥς φησιν Ἑκαταῖος (1 fg 14 J.

276 ) καὶ Ἡσίοδος (fg 8 Rz. 2 ). ἡ Θεσσαλία δὲ Πελασγὶς ἐκαλεῖτο ἀπὸ Πελασγοῦ τοῦ βασιλεύσαντος. 269—71a καὶ ποταμὸς Τρίτω ν: περὶ τῆς τοῦ Νείλου ἀναδόσεως διάφοροι αἰτίαι παρὰ τοῖς παλαιοῖς ἐλέγοντο. Ἀναξαγόρας (cf. 59 A 91 Diels—Kranz) μὲν γάρ φησι διὰ τῆξιν τῆς χιόνος πληθύειν αὐτόν· ᾧ ἕπεται καὶ Εὐριπίδης λέγων (Hel. 1. 3)· ʻΝείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί, λευκῆς τακείσης χιόνος ὑγραίνει γύην.ʻ καὶ Αἰσχύλος (fg 300 N. 2 ) δὲ καὶ Σοφοκλῆς (fg 882 Pearson) ὑπέλαβον τοὺς ὑπὲρ τὴν Αἴγυπτον χιονίζεσθαι τόπους καὶ τηκομένης τῆς χιόνος τὴν χύσιν εἰς τὸν Νεῖλον ἐκδίδοσθαι. Νικαγόρας (M. II 332 b) δέ φησιν ἀπὸ τῶν ἀντοίκων αὐτὸν ῥεῖν. Δημόκριτος δὲ ὁ φυσικὸς (68 A 99 Diels—Kranz) ἀπὸ τοῦ κατὰ μεσημβρίαν ὑπερκειμένου πελάγους λαμβάνειν τὸν Νεῖλον τὴν ἐπίχυσιν, ἀπογλυκαίνεσθαι δὲ τὸ ὕδωρ διὰ τὸ διάστημα καὶ τὸ μῆκος τοῦ πόρου καὶ ὑπὸ τοῦ καύματος ἀφεψόμενον· διὸ καὶ ἐναντίαν φησὶν ἔχειν τὴν γεῦσιν. Οἰνοπίδης δὲ ὁ Χῖος (cf. 41, 11 Diels—Kranz), ὅτι χειμῶνος ὢν ὑπὸ γῆν ὁ ἥλιος ἐκπέμπει τὸ ὕδωρ, τοῦ δὲ θέρους γενόμενος ὑπὲρ γῆν οὐκέτι διὰ τὸ μᾶλλον θερμαίνεσθαι αὐτήν· διὸ κεχαραδρωμένη ἡ γῆ πλεῖον ὕδωρ ἀναδίδωσιν. Ἔφορος (70 fg 65 d J.

277 ) δὲ ποταμόχωστον εἶναί φησι τὴν Αἴγυπτον, ῥηγνυμένης δὲ τῆς γῆς ὑπὸ τοῦ ἡλίου τῷ ἔαρι ἀναπηδᾶν τὸ ὕδωρ καὶ ἐπαύξεσθαι τὸ ῥεῦμα. Θαλῆς δὲ ὁ Μιλήσιός (cf. 11 A 16 Diels—Kranz) φησιν ὑπὸ τῶν ἐτησίων συνελαυνόμενα τὰ νέφη κατὰ τὰ ὄρη τῆς Αἰθιοπίας αὐτόθι ῥήγνυσθαι· ὅταν δὲ τοῦ ποταμοῦ ἐξεναντίας συστῶσιν αἱ πνοαὶ προσπίπτουσαι τῇ θαλάσσῃ, ἐκ τῆς ἀποπεμπομένης πλήσμης τὰς ὑπερχύσεις ἀναδέχεσθαι τὸν Νεῖλον. Διογένης δὲ ὁ Ἀπολλωνιάτης (64 A 18 Diels—Kranz) ὑπὸ τοῦ ἡλίου ἁρπάζεσθαι τὸ ὕδωρ τῆς θαλάσσης, ὃ τότε εἰς τὸν Νεῖλον καταφέρεσθαι· οἴεται γὰρ πληροῦσθαι τὸν Νεῖλον ἐν τῷ θέρει διὰ τὸ τὸν ἥλιον εἰς τοῦτον τὰς ἀπὸ γῆς ἰκμάδας τρέπειν. ὁ δὲ Νεῖλος οὕτω τὸ πρότερον ἐκαλεῖτο, Τρίτω ν. μετωνομάσθη δὲ ἀπὸ Νείλου τοῦ Κύκλωπος τοῦ Ταντάλου, βασιλεύσαντος τῆς χώρας, ὡς Ἕρμιππός (fg 77 M. III 53) φησιν. b ὄμβρος ἅλι ς: ἀμφιβολία περὶ τὴν σύνταξιν. σημαίνει γὰρ ἤτοι ἅλις ἀνασταχύουσιν ἢ ὅτι οὐ δεύει ὄμβρος ἅλι ς, ἐπεὶ οὐ βρέχει συνεχῶς κατ᾽ Αἴγυπτον. 272—74 ἔνθεν δή τιν α: Σεσόγχωσις Αἰγύπτου πάσης βασιλεὺς μετὰ Ὧρον τὸν Ἴσιδος καὶ Ὀσίριδος παῖδα τὴν μὲν Ἀσίαν ὁρμήσας πᾶσαν κατεστρέψατο, ὁμοίως καὶ τὰ πλεῖστα τῆς Εὐρώπης. ἀκριβέστερον δὲ ἔστι τὰ περὶ αὐτοῦ παρὰ Ἡροδότῳ (II 102—10). Θεόπομπος δὲ ἐν γʹ (115 fg 46 J.) Σέσωστριν αὐτὸν καλεῖ. Ἡρόδοτος δὲ προστίθησιν (102), ὅτι, εἰ μέν τινας πολέμῳ κατέστρεψεν, στήλας ἐτίθει πῶς ἐνίκησεν· εἰ δὲ παρεχώρουν, γυναικεῖον ταῖς στήλαις αἰδοῖον προσετίθει σύμβολον τῆς μαλακίας. Δικαίαρχος δὲ ἐν αʹ Ἑλλάδος βίου (fg 7 M. II 235) Σεσόγχωσιν καὶ νόμους [αὐτὸν] θεῖναι λέγει, ὥστε μηδένα καταλιπεῖν τὴν πατρῴαν τέχνην· τοῦτο γὰρ ὑπολαμβάνειν ἀρχὴν εἶναι πλεονεξίας.

278 καὶ πρῶτόν φησιν αὐτὸν εὑρηκέναι ἵππων ἄνθρωπον ἐπιβαίνειν· οἱ δὲ ταῦτα τὸν Ὧρον, οὐ τὸν Σεσόγχωσιν. 276 ἠὲ καὶ οὐ · πουλὺς γὰρ ἄδη ν· ἢ γὰρ ἐκλελοίπασί τινες τῶν πόλεων κἂν μετωνομασμέναι [καὶ] ἀγνοοῦνται, ὑφ᾽ οὗ τυγχάνουσιν ἐκτισμέναι· τούτου δὲ τὸν χρόνον αἴτιον γεγενῆσθαι. περὶ δὲ τῶν χρόνων, καθ᾽ οὓς ἐγένετο Σεσόγχωσις, ὁ μὲν Ἀπολλώνιός φησι πολὺς γὰρ ἄδην ἐπενήνοθεν αἰώ ν, Δικαίαρχος δὲ ἐν αʹ (v. sch. 272/74) μετὰ τὸν Ἴσιδος καὶ Ὀσίριδος Ὧρον βασιλέα γεγονέναι Σεσόγχωσιν. γίνεται δὲ ἀπὸ Σεσογχώσεως ἐπὶ τὴν Νείλου βασιλείαν ἔτη ͵ βφʹ, 〈ἀπὸ δὲ τῆς Νείλου βασιλείας ἐπὶ τὴν Ἰλίου ἅλωσιν ζʹ,〉 ἀπὸ δὲ τῆς Ἰλίου ἁλώσεως ἐπὶ τὴν αʹ Ὀλυμπιάδα υλς ʹ, ὁμοῦ ͵ βϡμγ ʹ . 277—78a Αἶά γε μὴν ἔτι νῦν μέ 〈νει 〉 : τὴν Αἶάν φησιν ἀπὸ τῶν Σεσογχώσεως χρόνων μέχρις αὐτοῦ μένειν ἄθραυστον καὶ τοὺς ἐκείνων ἀπογόνους τῶν ὑπὸ Σεσογχώσεως κατοικισθέντων. τούτους γὰρ υἱωνοὺς εἴρηκε

καταχρηστικῶς, ὡς Ἡρακλεῖδαι λέγονται οὐ μόνον οἱ Ἡρακλέους παῖδες, ἀλλὰ καὶ οἱ ἐκείνων ἀπόγονοι. οὕτως καὶ οἱ ἐν τῇ Σκυθίᾳ ἀπόγονοι τῶν Αἰγυπτίων εἰσίν, ὡς καὶ Ἀπολλώνιος. καὶ Σκύμνος φησὶν ἐν Ἀσίᾳ, ὅτι Κόλχοι Αἰγυπτίων ἄποικοι. καὶ Ἡρόδοτος ἐν β′ (104 sq.) μέμνηται τῆς περιτομῆς τῶν μορίων καὶ τῆς τῶν λίνων ὑφῆς, καὶ νόμοις αὐτούς φησι κεχρῆσθαι τῶν Αἰγυπτίων. b 〈 Αἶα v: .

279 ..〉 , ὁ δὲ Φιλοστέφανος καὶ τὸν Φᾶσιν ποταμὸν ἔχειν νησῖδας, καὶ Αἶαν πόλιν ἐν νήσῳ αὐτοῦ κεῖσθαι. L 279—81a οἳ δή τοι γραπτῦ ς· εἰσὶ δέ, φησί, καὶ νόμοι παρ' αὐτοῖς τῶν προγόνων καὶ στῆλαι, ἐν αἷς γῆς καὶ θαλάσσης ἀναγραφαί εἰσιν. b κύρβια ς· στήλας. λέγει δὲ τοὺς ἄξονας, ἐν οἷς οἱ νόμοι γράφονται, ὡς Ἀριστοφάνης ὁ κωμικός (Av. 1354). Ἀπολλόδωρος (244 fg 107 b J.) δέ φησι πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους κύρβιν καλεῖσθαι, ὅτι οἱ ἀρχαῖοι λίθους ἱστάντες τὸ δόξαν ἀνέγραφον, οὓς μὲν ἀπὸ τῆς στάσεως στήλας, κύρβεις δὲ ἀπὸ τῆς εἰς ὕψος ἀνατάσεως διὰ τὸ ἀπο〈κεκορυφῶσθαι〉 , [ἢ] οἷον κύρφεις. ὕστερον δὲ 〈εἰσ〉 ξύλα λελευκωμένα γράφοντες ὁμοίως ἐκάλεσαν. κύρβις οὖν ἡ περιέχουσα τὰς ἱερὰς ἀναγραφάς ἐστιν. c κύρβια ς: κύρβεις λέγουσιν, ὡς Ἐρατοσθένης (fg 80 Strecker = 241 fg 37 a J.), τοὺς ἄξονας καλουμένους Ἀθήνησιν, ἐν οἷς οἱ νόμοι περιέχονται. οἱ δὲ ἀκριβέστεροι ἄξονας μὲν τετραγώνους λίθους, κύρβεις δὲ τριγώνους· ἐν ἀμφοτέροις δὲ νόμοι ἦσαν γεγραμμένοι Ἀθήνησι. ἐνταῦθα δὲ κύρβιάς φησι πίνακάς τινας γῆς περίοδον περιέχοντας. d 〈 ὑγρῆς τε τραφερῆς τ ε:〉 τῆς θαλάσσης καὶ τῆς γῆς.

280 L g 282—91a κέρας ὠκεανοῖ ο: κέρατα τοῦ ὠκεανοῦ λέγουσι πάντας τοὺς ποταμοὺς τοὺς ἀπ' αὐτοῦ καταφερομένους. ὁ δὲ Ἴστρος ποταμὸς Σκυθίας. ὁ δὲ λόγος· μακρόθεν ὄντα διετεκμήραντο τὸν ποταμὸν καὶ ἔγνωσαν. b Ἴστρον μιν καλέ〈οντεσ 〉 : τὸν Ἴστρον φησὶν ἐκ τῶν Ὑπερβορέων καταφέρεσθαι καὶ τῶν Ῥιπαίων ὀρῶν· γενόμενον δὲ μεταξὺ Σκυθῶν καὶ Θρᾳκῶν σχίζεσθαι, καὶ τὸ μὲν εἰς τὴν καθ' ἡμᾶς θάλασσαν ἐκβάλλειν ῥεῖθρον, τὸ δὲ εἰς τὴν Ποντικὴν θάλασσαν ἐκπίπτειν [τὸ δὲ εἰς τὸν Ἀδριατικὸν κόλπον]. οὕτω δὲ εἶπεν ἀκολουθῶν Αἰσχύλῳ, ἐν Λυομένῳ Προμηθεῖ (fg 197 N. 2 ) λέγοντι τοῦτο. Ῥίπαια δὲ ὄρη πρὸς ταῖς ἀνατολαῖς, ὡς Καλλίμαχος (fg 215 Schn.)· "Ῥιπαίου πέμπουσιν ἀπ' οὔρεος, ἧχι μάλιστα.' Ἐρατοσθένης δὲ ἐν γ′ Γεωγραφικῶν (fg III B 99 Berger) ἐξ ἐρήμων τόπων ῥεῖν, περιβάλλειν δὲ νῆσον Πεύκην. Σκύμνος δὲ ἐν τῇ [ι]ς′ Περὶ Εὐρώπης αὐτὸ μόνον φησίν, ἀπὸ ἐρήμων φέρεσθαι τὸν Ἴστρον. οὐδεὶς δὲ ἱστορεῖ διὰ τούτου τοὺς Ἀργοναύτας εἰσπεπλευκέναι εἰς τὴν ἡμετέραν θάλασσαν ἔξω Τιμαγήτου (fg 1 M. IV 519), ᾧ ἠκολούθησεν Ἀπολλώνιος. ὁ μὲν γὰρ Σκύμνος αὐτοὺς διὰ Τανάιδος πεπλευκέναι ἐπὶ τὴν μεγάλην θάλασσαν, ἐκεῖθεν δὲ εἰς τὴν ἡμετέραν θάλασσαν ἐληλυθέναι. καὶ παρεκβολεύεται, ὡς ἄρα ἐλθόντες ἐπὶ τὴν ἤπειρον οἱ Ἀργοναῦται ἐπὶ στρωτήρων ἐκόμισαν τὴν Ἀργώ, μέχρις οὗ ἐπὶ θάλασσαν παρεγένοντο.

281 Ἡσίοδος (fg 63 Rz. 2 ) δὲ διὰ Φάσιδος αὐτοὺς εἰσπεπλευκέναι λέγει. Ἑκαταῖος (1 fg 18 b J.) δὲ 〈... Ἀρτεμίδωρος (v. sch. 257/62 b) δὲ〉 ἐλέγχων αὐτὸν ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν. οὐδὲ διὰ Τανάιδος ἔπλευσαν, ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν, καθ' ὃν καὶ πρότερον, ὡς Σοφοκλῆς ἐν Σκύθαις (fg 547 Pearson) ἱστορεῖ καὶ Καλλίμαχος (fg 377 Schn.). 〈...〉 αὐτῶν τοὺς μὲν εἰς τὸν Ἀδρίαν πεπλευκότας μὴ εὑρεῖν τοὺς Ἀργοναύτας, τοὺς δὲ διὰ τῶν Κυανέων πετρῶν ἐπὶ τὴν Κέρκυραν, ἔνθα κἀκεῖνοι τότε ἦσαν. ὁ δὲ Ἴστρος καταφερόμενος ἐξ Ὑπερβορέων, ὅταν φθάσῃ ἐπὶ τὸν μεταξὺ Σκυθίας καὶ Θρᾴκης τόπον, σχίζεται εἰς δύο, καὶ τὸ μὲν αὐτοῦ εἰς τὸν Εὔξεινον πόντον βάλλει, τὸ δὲ ἕτερον εἰς τὴν Τρινακρίαν θάλασσαν. c μορμύρουσι v: ἠχοῦσι. l g P d τὸ Τρινάκριον πέλαγος παράκειται τῇ Σικελίᾳ· ἐκαλεῖτο γὰρ Τρινακρία τὸ πρότερον διὰ τὸ τρεῖς ἄκρας ἔχειν, Πάχυνον, Λιλύβαιον, Πέλωρον. L m P 292—93a γαίῃ ὃς ὑμετέ〈ρῃ 〉 : ἐὰν μὲν οὕτω γράφηται γαίῃ ὃς ὑμετέρ ῃ, ἔσται τῇ Ἑλλάδι· τὸ γὰρ Τρινάκριον πέλαγος παράκειται τῇ τῶν Ἑλλήνων γῇ. ἐὰν δὲ ἡμετέρ ῃ, ἔσται ὁ Ἴστρος·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παράκειται γὰρ τοῖς Κόλχοις οὗτος. b ὑμετέρης γαίη ς: ὁ Ἀχελῷος τῶν τῆς Ἑλλάδος ποταμῶν τῶν ἄλλων διαπρεπέστατος.

282 εἰ οὖν ἄρα ὁ Ἀχελῷος παρ' ὑμῖν ἐστιν· τὸ γὰρ ὄνομα ἀκούομεν. ἀγνοεῖ γὰρ ὁ Ἄργος, ὡς αὐτῶν ἐστιν τῆς χώρας. ἀναπιδύειν φησὶν οὖν τὸν Ἴστρον εἰς τὸν Ἀχελῷον διὰ τὸ τὰς πηγὰς αὐτῷ παρέχεσθαι. L 295 αἴσιο ν: καθῆκον. L g P 296 ὁλκό ς: ἡ διαδρομὴ τοῦ ἀστέρος. L g (P) 301—02 ἐπεὶ πνοιαί τ ε: ἐπέμενον γὰρ αἱ αὐταὶ τῶν ἀνέμων πνοαὶ καὶ ἡ φανεῖσα αὐτοῖς οὐρανία λαμπηδὼν ἡ τὸν ἐπὶ Ἴστρον διάπλουν σημαίνουσα. διαφωνοῦσι δὲ οἱ περὶ τοῦ ἔκπλου τῶν Ἀργοναυτῶν τοῦ ἐκ Κόλχων γεγραφότες. 〈...〉 ὡς καὶ Καλλίμαχος (fg 563 Schn.)· φησὶ δὲ Ἀπολλώνιος ὑποστρέψαι αὐτοὺς ἐναντίως Καλλιμάχῳ. 303—06a Κόλχοι δ ' αὖ τ ' ἄλλο ι: τῶν Κόλχων οἱ μὲν διὰ τῶν Κυανέων πετρῶν ἔπλευσαν, ἄλλοι δὲ μετὰ Ἀψύρτου Ἴστρον ἔσχον. L b Καλὸν δὲ διὰ στόμ α: τρία στόματα ἔχει ὁ Ἴστρος, ὧν ἓν λέγεται Καλὸν στόμα, ὥς φησι Τιμάγητος ἐν τῷ Περὶ λιμένων (fg 2 M. IV 519)· εἰς ὅ φησι πλεῦσαι τὸν Ἄψυρτον. c 〈 στόμ α:〉 τοῦ Ἴστρου.

283 G g S m 308a πανέσχατον Ἰονίοι ο: τὸ Ἰόνιον πέλαγος τῆς Ἰταλίας, εἰς ὃ ἐκδίδωσιν ὁ Ἀδρίας· διὸ καί τινες αὐτὸ Ἀδρίαν ὀνομάζουσιν. b Ἰόνιον πέλαγος πρὸς τῇ Ἰταλίᾳ οὕτω καλούμενον. ὠνομάσθη δὲ ἀπὸ Ἰονίου τὸ γένος Ἰλλυριοῦ, ὥς φησιν Θεόπομπος ἐν κα′ (115 fg 128 a J.)· τινὲς δὲ ἀπὸ τῆς γενομένης πλάνης τῇ Ἰοῖ. 310 τριγλώχι ν: Ἐρατοσθένης ἐν γ′ Γεωγραφικῶν (fg III B 98 Berger) νῆσον εἶναι ἐν τῷ Ἴστρῳ φησὶ τρίγωνον, ἴσην Ῥόδῳ, ἣν Πεύκην λέγεσθαι διὰ τὸ πολλὰς ἔχειν πεύκας. 311—14 ἀμφὶ δὲ δοια ί: περὶ τὸν περὶ τὴν Πεύκην ἀγκῶνα δύο εἶναί φησι στόματα τοῦ Ἴστρου, ὧν τὸ μὲν καλεῖται Νάρηκος, τὸ δὲ Καλὸν στόμα, ἐν ᾧ τάχιον οἱ Κόλχοι σὺν Ἀψύρτῳ ἔπλευσαν. 315—18a οἱ δ ' ὑψοῦ νήσοι ο: οἱ περὶ τὸν Ἰάσονα ἄνωθεν τῆς νήσου διὰ τοῦ Νάρηκος στόματος ἔπλευσαν. οἱ δὲ νομεῖς δόξαντες τὰς ναῦς—πάσας ἀκουστέον—θαλάσσια θηρία εἶναι, δείσαντες εἰς φυγὴν ἐτράπησαν. L b εἰαμεναὶ οἱ κάθυγροι τόποι καὶ τεναγώδεις. δεῖ δὲ ἀκούειν ἑκατέρωθεν τοὺς νομεῖς πεφευγότας. L 320a οὔ τ ' οὖν Θρήιξ ι: τοῖς ἐπὶ τῆς Εὐρώπης Θρᾳξὶν ὅμοροί εἰσιν οἱ Σκύθαι. b 〈 οὐδὲ Σίγυννο ι: ...〉 ἔστι δὲ καὶ σίγυννος εἶδος δόρατος παρώνυμον τῷ ἔθνει. 321—22 οὔ θ ' οἱ περὶ Λαύριο ν: Λαύριον πεδίον τῆς Σκυθίας.

284 τῆς δὲ Σκυθίας ἔθνη νε′ Τιμῶναξ ἀναγράφει ἐν α′ Περὶ Σκυθῶν (fg 1 M. IV 522). 〈...〉 κατὰ δὲ τὸ τῶν Σίνδων πεδίον σχίζεται ὁ ποταμὸς Ἴστρος, καὶ τὸ μὲν αὐτοῦ ῥεῦμα εἰς τὸν Ἀδρίαν, τὸ δὲ εἰς τὸν Εὔξεινον πόντον εἰσβάλλει. τὸ δὲ Σίνδοι Ἡρωδιανὸς ἐν τῷ ς′ τῆς Καθόλου (I 142, 20 L.) βαρυτονεῖν φησι δεῖν· τινὲς δὲ ὀξυτονοῦσιν, οὐκ εὖ. καὶ Ἱππῶναξ (fg 68 A B. II 484) δὲ μνημονεύει, πρὸς τὸ ‘Σινδικὸν διάσφαγμα‘. Ἑλλάνικος δὲ ἐν τῷ Περὶ ἐθνῶν φησι (4 fg 69 J.)· ‘Βόσπορον διαπλεύσαντι Σίνδοι, ἄνω δὲ τούτων Μαιῶται Σκύθαι‘. 323—26a Ἀγγούρου ὄρεο ς: Ἄγγουρον ὄρος πλησίον Ἴστρου τοῦ ποταμοῦ. μνημονεύει δὲ αὐτοῦ Τιμάγητος ἐν Λιμέσιν (fg 3 M. IV 520). ὁ δὲ Καυλιακὸς σκόπελος τῆς Σκυθίας πλησίον τοῦ Ἴστρου, οὗ μνημονεύει Πολέμων ἐν Κτίσεσιν Ἰταλικῶν καὶ Σικελικῶν πόλεων (fg 38 M. III 126). γράφεται [Ἄγγουρον ὄρος] καὶ Ἄγγυρον ὄρος καὶ Ἀγγύρου ὄρεος, ἀντὶ δὲ τοῦ Καυλιακοῖο · Καυκασίοι ο. φησὶ δὲ κατὰ τοῦτο τὸ ὄρος τὸν Ἴστρον διασχιζόμενον τὸ μὲν εἰς τὸν Ἀδρίαν, τὸ δὲ εἰς τὸν Εὔξεινον ῥεῖθρον εἰσβάλλειν. b 〈 Καυκασίοι ο:〉 γράφεται Καυλιακοῖ ο. L g 327 Κρονίην ἅλ α: τὸν Ἀδρίαν φησί· ἐνταῦθα γὰρ τὸν Κρόνον κατῳκηκέναι 〈φασίν〉. 336 〈 εἰς ἀκτά ς:〉 γράφεται εἰς ἄλλα ς. L m 338—49a 〈 ἔνθα κ ε:〉 κατ' ἐκεῖνον τὸν τόπον φησὶ τοὺς Ἀργοναύτας, τὸ πλῆθος τῶν Κόλχων φοβηθέντας, εἴκειν αὐτοῖς καὶ βούλεσθαι μὲν τὸ κῶας ἔχειν καὶ μὴ παρασχεῖν, τὴν δὲ Μήδειαν—ἦν γὰρ τὸ κατ' αὐτὴν δίκαιον ἀμφήριστον—παραθέσθαι τῇ Ἀρτέμιδι ἐν τῷ αὐτῆς ἱερῷ, ἕως τις δικάσῃ, πότερον αὐτὴν ἀποδοτέον τῷ πατρὶ ἢ τοῖς Ἀργοναύταις.

285

Eulogikon public reading copy · View original HTML at eulogikon.org

L b 〈 συνθεσί η:〉 συμβιβάσει. G g 373—75 〈 ἢ σύ γ ’ ἔπειτ α:〉 ὀνειδίζουσα τῷ Ἰάσονί φησι ξίφει αὐτὸν αὐτὴν διαχειρίσασθαι, ἵνα ἀξίαν ἀπολάβῃ χάριν τοῦ πρὸς αὐτὸν ἔρωτος. ἐν ἤθει δὲ τοῦτο εἶπεν. L 380 〈 σμυγερῶ ς:〉 ἐπιπόνως. G g 384 στρευγόμενο ς: ἀντὶ τοῦ καταπονούμενος καὶ στρεβλούμενος. L m P 387 ἀτροπί η: τῇ σῇ κακοτροπίᾳ καὶ ἀβουλίᾳ, ὅτι ἐπιώρκησας. L m (P) 406 〈 ἦρ α:〉 ἐπιθυμητά. G g S m 411—13 〈 ἀεικελίοισι ν:〉 ἐπὶ γὰρ τοῖς κακοῖς, φησί, κακὰ δεῖ βουλεύεσθαι. προῄρηται οὖν καὶ τὸν Ἄψυρτον ἀνελεῖν ἐπὶ τοῖς προγεγενημένοις ἁμαρτήμασιν ὑπ’ αὐτῆς. L m 417—18 〈 εἴ κέν πω ς:〉 εἴ πως, φησί, πείσαιμι τὸν Ἄψυρτον μόνον πρὸς μόνην ἥκειν, φιλίαν πρὸς αὐτὸν συνθεμένη. L m 425 Δί η: ἐν τῇ Νάξῳ. Καλλίμαχος (fg 163 Schn.)· ‘ἐν Δίῃ· τὸ γὰρ ἔσκε παλαίτερον οὔνομα Νάξῳ.‘ L m P 428—29a γλήνεσι ν: ποικίλμασιν. L m (P) b οὔ μιν ἀφάσσω ν: οὐδαμῶς ἂν τὸν πέπλον ἐκεῖνον ψηλαφῶν ἢ καθορῶν τὴν ἐπιθυμίαν πληρώσειας. L m 432 ἀκροχάλι ξ: ἄκρως μεθύων ἀκράτῳ ἢ νέκταρι. L m (P) 433 Μινωίδο ς: τῆς Ἀριάδνης. L g (P) 445 〈 μέγα στύγο ς:〉 τὸν ἔρωτα εἶναι μέγα στύγημα τοῖς ἀνθρώποις λέγει. L 459—62 οἰόθι δ ’ ἀντικρ ύ: μόνος δὲ πρὸς τὴν Μήδειαν μετιὼν ὁ Ἄψυρτος πεῖραν ἐλάμβανεν, ὡς ἔτι ὢν ἁπαλὸς καὶ δόλων ἄπειρος, εἰ βουληθείη προδοῦναι τοὺς Ἀργοναύτας, τὸν καθ’ αὑτοῦ δόλον οὐκ ἐπιστάμενος L 465—67 ἔμπαλιν ὄμμα τ ’ ἔνεικε ν: ἡ Μήδεια ἀπεστράφη τοῦ Ἀψύρτου ἀναιρουμένου, ἵνα μὴ τὸν φόνον αὐτοῦ ἴδῃ.

286 L 468 〈 τὸν δ ’ ὅγ ε , βουτύπος ὥστ ε:〉 τὸν δὲ Ἄψυρτον ὁ Ἰάσων ἔπληξεν ὥς τις βοῦν καταβάλλων. L 470 Βρυγο ί: ἔθνος Ἰλλυρίας. 471 〈 προδόμ ῳ:〉 καταχρηστικῶς πρόδομον εἶπε τὸ πρόναον. 473—74 〈 τῆς δὲ καλύπτρην : 〉 τῆς δὲ Μηδείας ὁ Ἄψυρτος ἀποθνήσκων τὴν καλύπτραν καὶ τὸν πέπλον ἐρύθηνε τῷ ἑαυτοῦ αἵματι. L 477—79 τάμνε θανόντο ς: οἱ δολοφονοῦντες ἀρχαίως ἀκρωτηριάσματά τινα ἐποίουν τοῦ ἀναιρουμένου καὶ ταῦτα λαβόντες ἐξήρτων τοῦ τραχήλου αὐτοῦ. τῶν δὲ καλουμένων ἀκρωτηριασμάτων 〈...〉 ἄπειρα καὶ πολλὰ ἐξάργματα. ἔπειτα τοῦ αἵματος αὐτοῦ λαβόντες, τρὶς εἰς τὸ στόμα ἀπέπτυον.

287 τοῦτο δὲ ἐποίουν πρὸς τὸ ἐξιλάσασθαι τὴν δολοφονίαν. 481 Ἀψυρτεῖς ἔθνος ἀπὸ Ἀψύρτου εἰρημένον. 495—99 ὁ Πηλεὺς ξυμβουλεύει μετὰ τὸν Ἀψύρτου θάνατον πλεῖν ἐπὶ τοὺς λοιποὺς Κόλχους, λέγων ὅτι ὄρθρου ἰδόντες τὸ πεπραγμένον 〈οὐχ〉 ἑνὶ λόγῳ χρώμενοι διώξουσιν ἡμᾶς. L 500 〈 κεδόωντα ι:〉 σκορπίζονται. L m 505 〈 Ἠλεκτρίδ α:〉 αὕτη ἡ Ἠλεκτρὶς ἐγγύς ἐστι τοῦ Ἠριδανοῦ ποταμοῦ. 507—21 οἱ Κόλχοι ἀφορμηθείσης τῆς Ἀργοῦς οὐκ ἐπανῆλθον φοβούμενοι τὸν Αἰήτην, ἀλλ’ οἱ μὲν αὐτῶν ᾤκησαν ὅπου ὁ Ἄψυρτος ἐδολοφονήθη, μετὰ τῶν κληθέντων ἀπ’ αὐτοῦ Ἀψυρτέων, οἱ δὲ ἐν Ἰλλυρίᾳ, ὅπου οἱ Ἐγχελεῖς περὶ τὰ Κεραύνια ὄρη. L m (P) 524 Ὑλλήω ν: ἔθνος περὶ τὴν Ἰλλυρίαν, ἀπὸ Ὕλλου τοῦ Ἡρακλέους καὶ Μελίτης ὠνομασμένον. 531 ἱρὴν πευσόμε〈νοσ 〉 : πεῦσιν, χρησμὸν αἰτησόμενος παρὰ τοῦ Ἀπόλλωνος. 532—33 ὅπῃ χθονὸς ἱδρυθ〈εῖεν 〉 : οἱ Ὑλλεῖοι λαβόντες παρὰ Ἰάσονος τρίποδα μισθὸν τῆς μηνύσεως τῆς ὁδοῦ, ἔκρυψαν ὑπὸ γῆν, ἐπεὶ ὁ χρησμὸς ἐκέλευσεν, ἔνθα ἂν ὁ τρίπους ᾖ, ἀπόρθητον εἶναι τὴν πόλιν.

288 LG m S m P 534 ὅδ ε: ὁ τρίπους δηλονότι. L m (P) 540—49a Μάκριν τ ’ εἰσαφίκα〈νε 〉 : Μάκρις τὸ παλαιὸν ἐλέγετο ἡ Σχερία, ὠνομασμένη ἀπὸ τῆς Διονύσου τροφοῦ. ἔνθα φησὶ τὸν Ἡρακλέα παραγενόμενον, τὸν τῶν παίδων αὑτοῦ φόνον καθαρθησόμενον, Μελίτην τὴν Αἰγαίου τοῦ ποταμοῦ θυγατέρα γεγαμηκέναι, ἐξ ἧς ἔσχε τὸν Ὕλλον· ὃς ἀκμάσας οὐκ ἠθέλησε τῷ Ναυσιθόῳ ὑποταγῆναι, ἀλλὰ τοὺς Φαίακας συνήγαγεν εἰς τὴν Κρονίαν θάλασσαν καὶ κατῴκισεν. b ὑ π ’ ὀφρύσ ι: ὠφρυωμένως. L m (P) 552—56a ἀλλ ά , θεα ί , πῶ ς: πυνθάνεται τῆς Μούσης ὁ ποιητής, ποῦ τὸν πλοῦν ἐποίησαν οἱ Ἀργοναῦται μετὰ τὸν Ἀψύρτου θάνατον καὶ πῶς εἰς θάλασσαν ἦλθον. μέμφονται δέ τινες τὸν Ἀπολλώνιον ὡς περὶ τούτους τοὺς χρόνους εἰρηκότα τὴν Ἰταλίαν Αὐσονία ν· ὑστέροις γὰρ χρόνοις τῶν Ἀργοναυτῶν οὕτω κέκληται ἀπὸ Αὔσονος τοῦ Ὀδυσσέως καὶ Καλυψοῦς. ἐροῦμεν δέ, ὅτι ἐπεὶ αὐτὸς ὁ ποιητὴς οὕτως ὠνόμαζεν, εἰ καὶ μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τοὺς ἐκείνων χρόνους ἦν. b νήσους τε Λιγυστίδα ς: περὶ τὴν Ἰταλίαν εἰσὶ τρεῖς Λιγυστιάδες καλούμεναι, διότι οἰκοῦνται ὑπὸ τῶν Λιγύων· Στοιχάδες δὲ διὰ τὸ στοίχῳ τετάχθαι. 557 αὐτόν πο υ: μετὰ τὴν πεῦσιν ἐμπνευσθεὶς ἐντεῦθεν ἄρχεται τοῦ διηγήματος. L m (P) 564—66 ἑξείης πλήθοντ ο: Λίβυρνοι ἔθνος οἰκοῦντες ταύτας τὰς νήσους, Ἴσσαν τε καὶ Δυσκέλαδον καὶ Πιτύειαν· μεθ’ ἃς εἰς Κέρκυραν ἦλθον. τὴν δὲ Πιτυοῦσσαν καλουμένην Πιτύειαν εἶπεν Ὁμήρῳ (B 829) ἑπόμενος. 576 δοιάζοντ ο: ἐστοχάζοντο.

289 L g S m P 577—80a χόλον ἐφράσα θ ’ Ἥρ η: ἡ Ἥρα, φησί, τὴν Διὸς ὀργὴν ἐπισταμένη ἐπὶ τῶν Ἀργοναυτῶν, σφοδροὺς ἀνέμους ἐποίησε κατ’ ἐκείνους τοὺς τόπους, ὅπως ἀποσταῖεν μὲν αὐτῶν, φέροιντο δὲ εἰς τὴν Ἠλεκτρίδα νῆσον. b 〈 ταῖς αὖτι ς: γράφεται〉 τοὶ δ ’ αὖτι ς. L g 585—88 ἡ στεῖρα τῆς Ἀργοῦς, φησί, φωνῆεν ἔχουσα ξύλον μεταδέδωκεν αὐτοῖς τὸν ἐκ Διὸς χόλον φεύγειν καὶ πρὸς Κίρκην ἀφικέσθαι, τὸν Ἀψύρτου θάνατον καθαρθησομένους. 591 δήουσι ν: εὑρήσουσιν. L g P 596—98 εἰς δὲ τὸν Ἠριδανὸν εἰσέβαλλον, ὅς ἐστι τῆς Κελτικῆς ποταμός, εἰς ὃν λέγουσι πεπτωκέναι τὸν Φαέθοντα. L 603—06a λέγεται δέ, ἐκ τῶν Ἡλιάδων θρηνουσῶν τὸν Φαέθοντα καὶ εἰς αἰγείρους μεταβεβλημένων τὸ ἀποστάζον δάκρυον εἶναι ἤλεκτρον. b 〈 ἀείμενα ι: γράφεται〉 ἐφήμεναι. L g 611—17 〈 Κελτοὶ δ ’ ἐπ ί:〉 οἱ Κελτοὶ ἐφήμισαν τὸ ἤλεκτρον δάκρυον εἶναι [εἶναι] μὴ τῶν Ἡλιάδων, ἀλλὰ Ἀπόλλωνος, ἡνίκα ὑπὸ Διὸς ἐκελεύσθη θητεύειν ἐπὶ τῷ φόνῳ τοῦ Ἀσκληπιοῦ καὶ τῷ τῶν Κυκλώπων. 618 κεκλήιστα ι: πεφήμισται, ᾄδεται. L m P 625—26a θρηνουσῶν δὲ τῶν Ἡλιάδων τὸ δάκρυον 〈οὐκ〉 ἀναμίσγεται τοῖς ὕδασιν ὡσεὶ σταγόνες ἐλαίου. b ὡς ἀπὸ τοῦ στὰξ σταγός, στάγε ς. L m (P) 627—34a Ῥοδανὸς ποταμὸς τῆς Κελτικῆς, τῷ Ἠριδανῷ συμμιγνύμενος· καὶ σχιζόμενος τῇ μὲν εἰς ὠκεανὸν φέρεται, τῇ δὲ εἰς τὸν Ἰόνιον κόλπον, τῇ δὲ εἰς τὸ Σαρδόνιον πέλαγος. b 〈 κόλπο ν: γράφεται〉 πόντο ν.

290 L g 640 Ἑρκύνιον ὄρος Κελτῶν ἢ δρυμός. 647a ἀδήιο ι: ἀνενόχλητοι. L m P b 〈 ἀδήιο ι:〉 πολέμους μὴ ἔχοντες. G g 650—51 〈 εἵνεκα κούρων Ζηνό ς:〉 τῶν Διοσκούρων, οἵτινες ηὔξαντο ὑπὲρ αὐτῶν. 653 πόρε νῆα ς: σῴζειν δηλονότι· ὁ τρόπος ἔλλειψις. L m (P) 657 〈 τεύχε α: γράφεται〉 τρύχε α. L g 661 〈 Αἰαίης λιμέν α:〉 ἔοικεν Ἀπολλώνιος ἐκδεδέχθαι τὴν Ὀδυσσέως πλάνην περὶ Τυρρηνίαν καὶ Ἰταλίαν· ἐκεῖ γὰρ ὑποτίθεται τὴν Κίρκην οἰκεῖν. 662—66 ἡ Κίρκη, φησί, κατελήφθη ἐπὶ θαλάσσης ἡμέρας γενομένης, ἀποτρεπομένη φοβερὸν ὄναρ, ὅτι νυκτὸς εἶδεν αἵματι τὸν οἶκον αὐτῆς μεμολυσμένον. 678 〈 πιληθεῖσ α:〉 ἀναπαγεῖσα ἡ γῆ. L m 680 〈 αἰνυμέν η:〉 ἀπολαβοῦσα. S m 694 ἧτε δίκη λυγροῖ ς: ὡς νόμος ἐστὶ τοῖς ἱκέταις, ὥστε αὐτοὺς ἐπὶ τῆς ἑστίας καθημένους μὴ φθέγγεσθαι. 698—99a ἔγνω, φησίν, ἡ Κίρκη τὸν Ἰάσονα φόνον δεδρακότα. L b Φύξιος μὲν Ζεὺς ὁ βοηθῶν τοῖς φυγάσι καὶ πρὸς ὃν καταφεύγουσι· φύξιος δὲ οἶτος ἐνταῦθα ὁ θάνατος, δι’ ὃν καταφεύγουσιν. P 704—07 πρῶτα μὲν ἀτρέπτοιο λυτή〈ριον 〉 : τὸ καθάρσιον λέγει, ὅ ἐστι χοιρίδιον μικρόν, ὅπερ οἱ ἁγνίζοντες θύσαντες, τὰς χεῖρας τοῦ ἁγνιζομένου τῷ αἵματι αὐτοῦ βρέχουσιν.

291 708 ἀγκαλέουσ α: ἐπικαλουμένη. L g P 709a παλαμναῖον λέγει τὸν φόνον εἰργασμένον. b ἐνταῦθα δὲ παλαμναίας ἱκεσίας λέγει τὰς ὑπὲρ φόνου γιγνομένας· ὧν τὸν Δία τιμήορον ἤγουν τιμητήν φησι. P c 〈 ἱκεσιάω ν: γράφεται〉 ἱκεσίῃσ ι. L g 712—13 ἡ δὲ Κίρκη πέμματά τινα ἐπέκαιεν, ὕδωρ ἐπιχέουσα κατὰ τὸν νόμον. L m (P) 718—20a ὅτι καθαρίσασα αὐτοὺς ἐκάθισεν ἐπὶ θρόνων, καὶ αὐτὴ ἐναντίον αὐτῶν ἐκαθέσθη. b ἐνωπαδί ς: κατόψιν, ἐξεναντίας. L g P 725—26 ἵετο δ ’ αὖ κούρη ς: φωνὴν ἀκοῦσαι [ἀκοῦσαι] προεθυμεῖτο συμβάλλουσα, ὅτι ἀπὸ Ἡλίου ἐστιν, ἀπὸ τῆς τῶν ὀφθαλμῶν διαυγείας. 728—29a ἐπεὶ βλεφάρων ἀποτηλόθ ι: ἐπεὶ πάνυ πόρρω ἀπὸ τῶν ὀμμάτων ἔλαμπον ταῖς λαμπηδόσιν. b ὥσπερ χρυσῆν ἀκτῖνα ἐξεναντίας ἔπεμπον. L m (P) 734—36 ἐπλάσατο ἡ Μήδεια, λέγουσα διὰ τοῦτο πεφευγέναι, διὰ τὸ φοβεῖσθαι τὸν πατέρα, ὅτι ἐβοήθησε τῷ Ἰάσονι κατ’ ἔλεον τῆς ἀδελφῆς Χαλκιόπης. 746 ἄιστο ν: ἀφανῆ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄγνωστον. L g S m P 747 ἐφέστιο ς: ἐπὶ τοῦ οἴκου μου οὖσα. L g (P) 761—65a ὅθι τ ’ ἄκμονες Ἡφαίστοι ο: αἱ τοῦ Αἰόλου νῆσοι ἑπτά. τούτων ἐν τῇ Λιπάρᾳ καλουμένῃ ἢ τῇ Στρογγύλῃ ὁ Ἥφαιστος δοκεῖ διατρίβειν καὶ ἀκούεσθαι βρόμον πυρὸς καὶ ἦχον σφυρῶν. τὸ δὲ παλαιὸν ἐλέγετο τὸν βουλόμενον ἀργὸν σίδηρον ἐπιφέρειν καὶ τῇ ἑξῆς ἡμέρᾳ ἢ ξίφος λαμβάνειν ἢ εἴ τι ἄλλο ἤθελεν κατασκευάσαι, καὶ τὸν μισθὸν ἀπεδίδου.

292 ταῦτα ἱστορεῖ Πυθέας ἐν Περιόδῳ γῆς (fg 4 A. Schmekel Progr. gymn. Merseb. 1848, 13 ), καὶ τὴν θάλασσαν λέγων ζεῖν. εἰσὶν δὲ αἱ τοῦ Αἰόλου νῆσοι ζ′ αἵδε· Στρογγύλη, Εὐώνυμος, Λιπάρα, Ἱέρα, Διδύμη, Ἐρικώδης, Φοινικώδης. b ἐλθεῖν εἰς ἀκτά ς: Ἀγαθοκλῆς ἐν τοῖς Ὑπομνήμασι (fg 9 M. IV 290), περὶ τῶν χαλκείων τοῦ Ἡφαίστου λέγων, φησὶ κατὰ Σικελίαν δύο εἶναι νήσους, ὧν ἡ μὲν καλεῖται Ἱέρα, ἡ δὲ Στρογγύλη, αἵτινες ἡμέρας καὶ νυκτὸς πῦρ ἀφιᾶσιν. ὁ δὲ αὐτός φησιν [ἐν] ζ′ ἐν Σικελίᾳ νήσους ὑπάρχειν· τούτων δύο πῦρ ἀφιᾶσι, καλεῖται δὲ ἡ μὲν Αἰόλου, ἡ δὲ Ἡφαίστου· ἐν ᾗ πυρὸς ποταμοὺς ἀνιέναι. c 〈 τάσγ ε:〉 ἀκτάς. S m d αἰθρηγενέεσσιν ἀνά 〈σσει 〉 : τοῖς αἴθραν καὶ ψῦχος ποιοῦσιν. ὅτι δὲ Αἴολος ἐξουσίαν εἶχεν ἀνέμων, καὶ Ὅμηρός φησιν (κ 21)· ‘κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων.‘ ὅτι δὲ αἴθραν τὸ ψῦχος λέγουσιν, ὁ αὐτός φησι ποιητής (ξ 318)· ‘αἴθρῃ καὶ καμάτῳ δεδμημένον‘. καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ ὑπαίθριά φαμεν τὰ ὑπὸ ἀνέμου καταπνεόμενα. 786—87 πλαγκταὶ πέτραι ἐν τῷ πορθμῷ εἰσιν, ὡς Τίμαιος (fg 5 M. I 194) καὶ Πεισίστρατος ὁ Λιπαραῖος (fg 1 M. IV 478). ἐν ὑπερβατῷ δὲ ἀναγνωστέον· ἔστι γὰρ διαπερῶντα ς. 788 περιβλύε ι: περικλύζει, κατὰ μίμησιν ἤχου. σπιλάδες δὲ αἱ πέτραι ἀπὸ τοῦ συμπεπιλῆσθαι. 803 τὸ ἑοῦ ἀντὶ τοῦ ἕο. L g 807 φιτύσαι ο: φυτεύσοις ἢ βλαστήσοις. L g (P) 808—09 αὐτὴ δὲ σέλας χ 〈είρεσσιν 〉 : ὅτι τὸ παλαιὸν τὰ μητέρας τῶν γαμούντων ἐν τοῖς γάμοις δᾳδουχεῖν ἔθος ἦν, καὶ Εὐριπίδης ἐν Φοινίσσαις φησίν (344—46)· ‘ἐγὼ δὲ οὔτε σοι πυρὸς ἀνῆψα φῶς νόμιμον, ὡς πρέπει μητρὶ μακαρίᾳ.

293 ‘ ἡ Ἥρα οὖν φησι δᾳδουχῆσαι τῇ Θέτιδι, διὰ τὴν πρὸς αὐτὴν εὔνοιαν μητρὸς ἔργον ἐπιτελουμένη. 810 〈 νημερτέ α: γράφεται〉 θυμηδέα. L g 813a Νηιάδες κομέουσ ι: τὴν Χαρικλὼ λέγει καὶ τὴν Φιλύραν, ὑφ’ ὧν ἐτράφη ὁ Ἀχιλλεύς· ὧν ἡ μὲν Χαρικλὼ γυνὴ Χείρωνος, Φιλύρα δὲ μήτηρ. b λίπτοντ α: ἐπιθυμοῦντα. L g P 814—15a χρειώ μιν κούρη ς: Ἀναξαγόρας φησίν, ὅτι ταῖς ἀληθείαις τὸν Ἀχιλλέα ὡς θεὸν τετιμήκασιν οἱ περὶ τὴν Λακωνικὴν οἰκοῦντες· ἔνιοι δέ φασιν, ὅτι συμπαθήσαντες οἱ θεοὶ τῇ Θέτιδι ἀπηθανάτισαν αὐτόν. ὅτι δὲ Ἀχιλλεὺς εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος ἔγημε Μήδειαν, πρῶτος Ἴβυκος (fg 37 B. III 248) εἴρηκε, μεθ’ ὃν Σιμωνίδης (fg 213 B. III 527). b ἄρηγ ε: βοήθει. L g (P) c 〈 νυ ῷ:〉 τῇ νύμφῃ. L mr 816 ἠ δ ’ αὐτῷ Πηλῆ ι: ὁ τὸν Αἰγίμιον ποιήσας ἐν β′ (Hesiodi fg 185 Rz. 2 ) φησίν, ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ἔβαλλεν τοὺς ἐκ Πηλέως γεννωμένους, γνῶναι βουλομένη εἰ θνητοί εἰσιν, ἕτεροι δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιός (IV 869 sqq.) φησι· καὶ δὴ πολλῶν διαφθαρέντων ἀγανακτῆσαι τὸν Πηλέα καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς (fg 151 Pearson) φησιν ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν. Στάφυλος δὲ ἐν τρίτῳ τῶν Περὶ Θεσσαλίας (fg 2 M. IV 505) φησὶ Χείρωνα σοφὸν ὄντα καὶ ἀστρονομίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψαι 〈Φιλομήλαν〉 τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος καὶ λόγους διασπεῖραι, ὅτι μέλλει γαμεῖν τὴν Θέτιν Πηλεὺς Διὸς διδόντος αὐτῷ, οἱ δὲ θεοὶ μετ’ ὄμβρου καὶ χειμῶνος ἥξουσιν.

294 ταῦτα φημίσας παρετήρει τὸν χρόνον, ἐν ᾧ ὕδατα πολλὰ καὶ πνεύματα ἐξαίσια, καὶ δίδωσι Πηλεῖ Φιλομήλαν· καὶ οὕτως ἐπεκράτησεν ἡ φήμη. 820 ἀνέμων ἄικα ς: αἱ ἐν τῷ πολέμῳ ἐφ’ ἑκάτερα κλίσεις· ὁ δὲ Ἀπολλώνιος τὰς ἀντιπνοὰς τῶν ἀνέμων εἴρηκεν. 825—31a μηδὲ σύ γ ’ ἠὲ Χάρυβδι ν: ἡ Σικελία ἀντικρὺ κεῖται τῆς Ἰταλίας, ἔστι δὲ τούτων μέσος πορθμὸς ἔχων σταδίους διακοσίους 〈...〉 ἀπὸ Σικελίας εἰς Ἰταλίαν. 〈...〉 τὸ οὖν ἓν ἄκρον, τὸ Πέλωρον, ἀφορᾷ εἰς Ἰταλίαν, ἐφ’ ᾧ ἐστι κάτω ἡ καλουμένη Χάρυβδις, ἡ δὲ Σκύλλα πάλιν ἐν τῇ Ἰταλίᾳ ἀντικρὺ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πελώρου. αὕτη ἡ Σκύλλα ἀκρωτήριόν ἐστιν ἐξέχον εἰς θάλασσαν, ὁμοίωμα καὶ πρόσωπον ἔχον γυναικός. κάτω δὲ τοῦ ἀκρωτηρίου εἰσὶ πέτραι ἄγαν καὶ πολλαὶ καὶ μεγάλαι, ἔχουσαι κοίλους τόπους καὶ σπήλαια, ἐν οἷς θαλάσσια θηρία μένουσιν, ἅτινα τῶν πλοίων ἐκεῖ εἰς τὰς πέτρας ἀκοντιζομένων 〈...〉 . b 〈 Χάρυβδι ν: .

295 ...〉 ὑπὸ τῆς Χαρύβδεως θάλασσαν εἰσροφεῖσθαι. 〈... ἢ〉 συνέρχονται τῇ θαλάσσῃ καὶ φθείρονται, ἢ ὠθούμεναι εἰς τὴν θάλασσαν καὶ αὗται ἔρχονται εἰς τὰς πέτρας κάτω τῆς Σκύλλης οὔσας ὑφάλους καὶ συγκλῶνται οὕτως· εἶτα ἐξιόντες θαλάσσιοι κύνες καὶ ἕτερα διάφορα θηρία ἐσθίουσι τοὺς ἐν ταῖς ναυσὶν ἄνδρας. δοκεῖ δὲ ἡ Σκύλλα καὶ λέγεται παρὰ τοῖς ποιηταῖς ἔχειν κύνας ἐξέχοντας ἀπὸ τῶν πλευρῶν καὶ τοῦ στήθους καὶ ἀναιρεῖν τοὺς δι’ αὐτῆς πλέοντας, ἐπεὶ κάτωθεν ἐκ τῶν κοίλων μερῶν τῶν πετρῶν, ἐφ’ ὧν μένουσιν, ἄνω ἀνιόντες ὁρῶνται, καὶ ὑπονοοῦνται ὡς ἐξιόντες ἐκ τοῦ στήθους αὐτῆς ἔσωθεν καὶ τῶν πλευρῶν. c 〈 Χάρυβδι ν: ...〉 τὸ δὲ καταιβάσιον τοῦτο ἐν Ταυρομενίῳ ὁ ποιητὴς (μ 101 sqq.) ἐκάλεσεν Χάρυβδιν. d ἔστι 〈δὲ〉 κάτω τοῦ ἀκρωτηρίου τῆς Σικελίας τοῦ λεγομένου Πελώρου, ὃ ἀφορᾷ εἰς τὴν Ἰταλίαν καὶ τὴν Σκύλλαν. L e 〈 νέεσθα ι: λείπει〉 ἐάσῃς. S m f Σκύλλης Αὐσονίη ς: τὸ σπήλαιον τῆς Σκύλλης ἐλέγετο εἶναι περὶ τὴν Ἰταλίαν, ὅ ἐστιν ἐν τῷ πορθμῷ. L γ ἣν τέκε Φόρκ ῳ: Ἀκουσίλαος (2 fg 42 J.) Φόρκυνος καὶ Ἑκάτης τὴν Σκύλλαν λέγει, Ὅμηρος (μ 124) δὲ οὐχ Ἑκάτην ἀλλὰ Κράταιιν. ἀμφοτέροις οὖν Ἀπολλώνιος κατηκολούθησεν. ἐν δὲ ταῖς Μεγάλαις Ἠοίαις (Hesiodi fg 150 Rz. 2 ) Φόρβαντος καὶ Ἑκάτης ἡ Σκύλλα. Στησίχορος δὲ ἐν τῇ Σκύλλῃ (fg 13 B. III 210) εἶδός τινος Λαμίας τὴν Σκύλλαν φησὶ θυγατέρα εἶναι. 834 εἰ μὲν δὴ μαλεροῖο πυρό ς: περὶ τὸν πορθμὸν ἐν τῇ θαλάσσῃ πυρὸς ἀναφυσήματα γίνεται, ὥστε καὶ τὴν θάλασσαν θερμαίνεσθαι, ὥς φησι καὶ Μητρόδωρος ἐν α′ Περὶ ἱστορίας (184 fg 2 J.

296 ) καὶ Θεόφραστος ἐν Ἱστορικοῖς ὑπομνήμασιν (fg 165 Wimmer). καί φησι τὸν βρόμον τὸν ἀπὸ τῶν Αἰόλου νήσων ἀκούεσθαι ἕως ͵α σταδίων· περὶ Ταυρομένιον γοῦν ἀκούεσθαι βροντῇ παραπλήσιον ψόφον. 839—41a ἀπέρχομαι δέ, ὅπου τὰ ἀπόγεια σχοινία τῆς Ἀργοῦς δέδεται, ὅπως ἑωθινοὶ τῆς ἐπανόδου μνήμην ποιήσωνται, ὅπως αὐτοὺς ἕωθεν ποιήσω ἀποπλεῦσαι ἐκ τῆς γῆς τῶν Τυρσηνῶν. L b ὑπηῷοι δὲ κατὰ τὸν καιρὸν τῆς ἠοῦς, ἤγουν ἕωθεν· ὄνομα ἀντὶ ἐπιρρήματος. P 847—48 ὑπερβολικῶς· οὐδεὶς γὰρ ἀκτίνων βολὴν καταλαβέσθαι δύναται οὔτε τὴν λεγομένην μαρμαρυγήν, ἥτις ἐστὶ λαμπηδόνος συνεχοῦς ὅρμησις. 850 〈 Τυρσηνίδα 〉 εἴρηκεν τὴν τῆς Κίρκης νῆσον διὰ τὸ πρόσχωρον αὐτῇ εἶναι. L m 852 ὀρεξαμέν η: ἐπιλαβομένη. L g P 855 ἐείσατ ο: ἐφάνη. L g P 856 μηκέτι νῦν ἀκταῖ ς: μηκέτι καθέζεσθε ἐν ταῖς ἀκταῖς τῆς Αἰαίας νήσου ταῖς οὔσαις πλησίον τῶν Τυρσηνῶν, περιμένοντες καὶ ὑπερτιθέμενοι τὸν πλοῦν ὑμῶν. L 859—61a πανσυδίῃ κοῦρα ι: πᾶσαι ὁμοῦ ἀπαντῶσι τὴν ναῦν φυλάξουσαι ἐκ τῶν πετρῶν, αἵτινες καλοῦνται Πλαγκταί. L b ἀντιόωσι δὲ ἀντὶ τοῦ ἔρχονται. P c 〈 ῥυσόμενα ι:〉 περιφυλάττουσαι καὶ διασῶσαι ὀφείλουσαι. L m d τὸ δὲ ῥυσέμεναι ἀντὶ τοῦ σώσειν. P e κείνη γὰρ ἐναίσιμο ς: ἐκεῖνος γὰρ ὑμῖν ὁ πλοῦς αἴσιος καὶ καθήκων ἐστὶν ὁ διὰ τῶν Πλαγκτῶν πετρῶν. L f ἐναίσιμος δὲ ἡ καθήκουσα καὶ πρέπουσα. P 862—63 ἀλλὰ σὺ μή τῳ ἐμὸν δ 〈είξῃσ 〉 : μή τινι τῶν Ἀργοναυτῶν ἀποδείξῃς με, ἡνίκα με ἴδῃς σὺν ταῖς Νηρεΐσιν ὑπαντήσασάν σοι.

297 L 864 ἀπηλεγέω ς: ἀναμφιλέκτως. L g P 865—66 ἀίδηλος ἐδύ〈σατο 〉 : ἀφανὴς γενομένη κατέδυ εἰς τὸ βάθος τῆς θαλάσσης. τὸν δὲ Πηλέα δεινῶς ἡ λύπη ἔπληξεν. L 868a 〈 νηπιάχοντο ς:〉 νηπίου ὄντος καὶ νήπια φρονοῦντος. L g b νηπιάχειν δὲ τὸ νηπιάζειν. P 871a ἀμβροσίῃ χρίεσκε ν: θειοτάτῳ ἐλαίῳ περιέχριε τὸ ἁπαλὸν αὐτοῦ σῶμα. L b ἀμβροσίαν δέ φησι τὸ ἀμβρόσιον ἔλαιον. P 872a καί οἱ στυγερὸν χρο ΐ: καὶ αὐτῷ τὸ μισητὸν γῆρας ἀπὸ τοῦ σώματος ἀποσοβήσοι. L b τὸ δὲ ἀλαλκεῖν τὸ ἐκβάλλειν δηλοῖ. P 874 σπαίροντα διὰ φλογό ς: ἁλλόμενον καὶ σαλευόμενον ἐπὶ τοῦ πυρός. 876 τὸν μὲν ἅ ρ ’ ἁρπάγδη ν: ἀπὸ τοῦ πυρὸς ἀναρπάξασα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔρριψεν ἐπὶ τοῦ ἐδάφους κράζοντα. L 879—80a παλίσσυτο ς: μετὰ δὲ ταῦτα οὐκέτι ἐξ ὑποστροφῆς παρεγένετο πρὸς τὸν Πηλέα· ὅθεν τὰς φρένας αὐτοῦ κατέδησεν ἡ ὀλιγωρία. L b ἀμηχανία δὲ ἡ ἀπορία καὶ λύπη. P 884 τῇς ἔνι δαισάμε〈νοι 〉 : ἐν ταύταις δὲ εὐωχηθέντες καὶ δειπνήσαντες ἐκοιμήθησαν τὴν νύκτα ὡς καὶ πρότερον, οἷον ὡς καὶ ἑτέραν νύκτα. L 886a 〈 κατηλυσί ῃ:〉 καθόδῳ. L g b κατηλυσία δὲ ἡ κάθοδος καὶ ἐπέλευσις. P 887—89a βαῖνον ἐπὶ κληῖδ〈ας 〉 : ἀνέβαινον ἐπὶ τὰ σανιδώματα τῆς νηὸς καὶ τὰς ἑαυτῶν καθέδρας. b ἐκ δὲ βυθοῖο εὐναία ς: ἐκ δὲ τοῦ βυθοῦ ἀνέφερον ἢ ἀνεῖλκον τὰ σίδηρα, χαίροντες τῇ ἐλεύσει τοῦ ζεφύρου, καὶ τὰ ἄρμενα δὲ ὡς ἔδει ἐσώρευον καὶ εὐτρέπιζον.

298 890a τανύσαντες ἐν ἱμά〈ντεσσ ι:〉 ἁπλώσαντες τοῖς ἱμᾶσι τὸ κέρας καὶ ἀναγαγόντες αὐτὸ σὺν τῷ ἀρμένῳ. L b ἱμάντας δὲ τῆς κεραίας λέγει, οἷς τὸ ἱστίον προσδέδεται τῇ κεραίᾳ. P 892 καλὴν Ἀνθεμόεσσα ν: ἠκολούθησεν Ἡσιόδῳ οὕτως ὀνομάζοντι τὴν νῆσον τῶν Σειρήνων (fg 68 Rz. 2 )· ‘νῆσον ἐς Ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων.‘ ὀνόματα δὲ αὐτῶν Θελξιόπη ἢ Θελξινόη, Μόλπη, Ἀγλαόφωνος. 897 〈ἀδμῆ τ ’ ἔτι〉 πορσύνεσκο ν: ἔτερπον, ἐπιμελείᾳ ἠξίουν καὶ ηὔξανον παρθένον ἔτι οὖσαν καὶ ἄζευκτον. L m (P) 900—02 〈 αἰεὶ δ ’ εὐόρμο υ:〉 ἀεὶ δὲ περιβλεπόμεναι καὶ θεωροῦσαι ἀπὸ τοῦ ὑψηλοῦ καὶ εὐορμίστου τόπου, πολλῶν παριόντων τὴν ἡδεῖαν ἐπάνοδον ἥρπασαν, τῇ τηκεδόνι φθίνειν ποιοῦσαι. L m (P) 907a 〈 ἐυτροχάλοι ο:〉 τῆς τροχαλῆς ᾠδῆς τὸ μέλος ἐκίνησεν. L m b εὐτρόχαλος δὲ ἡ εὐκόλως καὶ ὁμαλῶς καὶ ἐμμελῶς ῥέουσα. P c τὸ δὲ κανάχησε τὸ ᾖσε καὶ ἐκίνησε δηλοῖ. P 909 κρεγμ ῷ: τῇ κρούσει, ὑπὸ τοῦ κρούματος. 917 Ἔρυκος μεδέουσ α: Ἔρυξ ὄνομα πόλεως, ἔνθα τιμᾶται ἡ Ἀφροδίτη· οἱ δὲ τὴν Σικελίαν. 920 〈 ὄπαζο ν:〉 ἐδίωκον. S m 921 μιξοδίῃσιν ἁλό ς: μιξοδίαν καλεῖ τὸν τόπον, καθ’ ὃν ἦν ἡ Σκύλλα καὶ ἡ Χάρυβδις, διὰ τὸ ἀντικρὺ εἶναι ἀλλήλων. 923 ἄμοτο ν: ἀκατάπαυστον. L g P 926 πυριθαλπέο ς: τῆς ὑπὸ πυρὸς καιομένης. L m (P) 936 παρβολάδη ν: παρεμβεβλημένως.

299 L m (P) 937 ἐπήτριμο ι: ἐκ πλαγίων ἢ ὁμοῦ πρὸς ἀλλήλας κατανηχόμεναι ἑκατέρωθεν. 940—42a αὐτί κ ’ ἀνασχόμε〈να ι:〉 εὐθέως ἀνελκύσασαι ἐπὶ τῶν λευκῶν γονάτων τὰ ἱμάτια [ἄνωθεν] καὶ τοῦ ζωναρίου ἀναρτήσασαι αὐτά, ἐρρωμένως ἄνωθεν τῶν πετρῶν καὶ τῆς τοῦ κύματος κλάσεως ἐκινοῦντο. b 〈 ἀγῆ ς: γράφεται〉 αὐγῆ ς. S m 947a ἠρήρειντ ο: ἐπλησίαζον, ἥδραζον. L m (P) b 〈 κῦμ α:〉 γράφεται οἶδμ α . G g 954 [ τὴν δὲ παρηορίη ν ] 〈διηερίη ν:〉 μετέωρον· ἐβάσταζον γὰρ αὐτὴν αἱ Νηρεΐδες ἄνωθεν τῶν πετρῶν, ἀλλήλαις ὡς σφαῖραν ἀκοντίζουσαι. 957 ὀρθὸς ἐπὶ στελεῇ : στελεῇ τῇ λαβῇ, τυπίδος δὲ τῆς σφύρας· ἐπὶ τοῦ ξύλου ἐπερεισθεὶς τῆς σφύρας. 960 〈 βάλλ ε:〉 ἔκρουσε. S m 961 ὅσση δ ’ εἰαρινο ῦ: ὅσον ἐστὶ διάστημα ἐαρινῆς ἡμέρας καὶ ὥρας· ἀντὶ τοῦ [καὶ] διαστήματος 〈 αἶσα καὶ〉 μοῖρα. ἐαρινὴν δὲ εἴρηκεν ἡμέραν τὴν ἰσημερίαν. 965 Θρινακίης λειμῶ〈να 〉 : Τίμαιος (fg 1 M. I 193) Θρινακίαν φησὶ καλεῖσθαι τὴν Σικελίαν, ὅτι τρεῖς ἄκρας ἔχει· οἱ δὲ ἱστορικοὶ Θρίνακόν φασιν ἄρξαι τῆς Σικελίας 〈...〉 Μύλας δὲ χερσόνησον Σικελίας, ἐν ᾗ αἱ τοῦ Ἡλίου βόες ἐνέμοντο. 972a ἀργύρεον χαῖο ν: χαῖόν ἐστι καμπύλη βακτηρία, ᾗ οἱ ποιμένες χρῶνται· Ἀμερίας δὲ ψιλὴν ἀπέδωκε ῥάβδον. Καλλίμαχος (fg 125 Schn. = 4 Kapp)· ‘ἔπρεπέ τοι προέχουσα κάρης εὐρεῖα καλύπτρη, ποιμενικὸν πίλημα· καὶ ἐν χερὶ χαῖον ἔχουσα.

300 ‘ καὶ τὸ παρ’ Ἀλκμᾶνι (fg 24 B. III 45) δὲ λεγόμενον ἐρυσίχαιον, τῷ χαίῳ ἐρύοντα καὶ ποιμαίνοντα. πηχύνουσα δὲ ἀντὶ τοῦ τῷ πήχει τῆς χειρὸς προσηρτηκυῖα. b 〈 χαῖο ν:〉 καλαύροπα. S m 973 ὀρειχάλκοιο φα〈εινοῦ 〉 : ὀρείχαλκος εἶδος χαλκοῦ, ἀπὸ Ὀρείου τινὸς γενομένου εὑρετοῦ ὠνομασμένος. Ἀριστοτέλης δὲ ἐν Τελεταῖς (fg 10 Rose Arist. pseudep. 1863, 619) φησι μηδὲ ὑπάρχειν τὸ ὄνομα μηδὲ τὸ τούτου εἶδος· τὸν γὰρ ὀρείχαλκον ἔνιοι ὑπολαμβάνουσι λέγεσθαι μέν, μὴ εἶναι δέ. τῶν δὲ εἰκῇ διαδεδομένων καὶ τοῦτο· οἱ γὰρ πολυπραγμονέστεροί φασιν αὐτὸν ὑπάρχειν. μνημονεύει καὶ Στησίχορος (fg 88 B. III 231) καὶ Βακχυλίδης (fg 68 B. III 588 = 51 Blass—Snell), καὶ Ἀριστοφάνης δὲ ὁ γραμματικὸς (fg 79 Nauck)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σεσημείωται τοῦτο. ἄλλοι δὲ ἀνδριαντοποιοῦ λέγουσιν ὄνομα, ὡς Σωκράτης (fg 18 M. IV 500) καὶ Θεόπομπος ἐν κε′ (115 fg 158 J.). οὕτως ἦν ἐν τῇ Κωμικῇ λέξει τῇ συμμίκτῳ (Didymi fg I 5, 34 a Schmidt 70). 974 καλαύροπ α: ἀντὶ τοῦ καλόροπον, ῥάβδον βουκολικήν. Ὅμηρος (Ψ 845)· ‘καλαύροπα βουκόλος ἀνήρ‘. 982—92a ἔστι δέ τις πορθμοῖο ἕως τοῦ εἰν ἁλὶ νῆσο ς: τούτων ὁ νοῦς οὗτός ἐστιν· εἰς τὸν Ἰόνιον κόλπον εἰσπλέουσι 〈...〉 νῆσος εὐλίμενος καὶ πεπιασμένη, ὑφ’ ᾗ κεῖσθαι τὸ δρέπανον τοῦ Κρόνου φασίν, ᾧ τὰ τοῦ πατρὸς αἰδοῖα ἀπέτεμεν. οἱ δέ φασι Δήμητρος εἶναι τοῦτο, ᾧ τοὺς Τιτᾶνας ἐδίδαξε σταχυοτομεῖν· κατῴκησε γὰρ ἡ θεὸς τότε τὴν νῆσον ἐκείνην, ἀγαπήσασα τὴν Μάκριδα.

301 〈...〉 ἣν Φαίακες κατῴκουν, ἀπὸ θεῶν ὄντες τὸ γένος. b παροιτέρ η: ἔμπροσθεν. L g P c ἀμφιλαφή ς: ἀμφοτέρωθεν πρόσορμον ἔχουσα. d 〈 πορθμοῖο παροιτέρη Ἰονίοι ο:〉 [καὶ] τὸ Ἰόνιον πέλαγος, διότι τὴν Ἰταλίαν ἀπὸ τῆς Ἠπείρου διορίζει. 〈 Κεραυνίη δὲ ἅλς .. . 〉 κεῖται δὲ ἐν αὐτῇ νῆσος Κέρκυρα· αὕτη πρότερον Σχερία ἐκαλεῖτο. ἀμφιλαφῆ δὲ τὸν λιμένα εἴρηκεν τὸν ἀμφοτέρωθεν πρόσορμον ἔχοντα, ὃν Καλλίμαχος (fg 336 Schn.) ἀμφίδυμον εἶπεν. ἱστορικῶς δὲ Ἀπολλώνιος ἀμφιλαφῆ τὸν λιμένα φησὶ πανταχόθεν πρόσορμον ἔχοντα· ἱστορεῖ δὲ περὶ τοῦ λιμένος τῶν Φαιάκων Ἀπολλωνίδης ἐν τῷ Περίπλῳ τῆς Εὐρώπης (M. IV 309). e. τινὲς δὲ τὸ ἀμφιλαφὴς ἀντὶ τοῦ ξυλώδης ἀπέδωκαν· ᾧ οἰκείως ἐπισυνάπτει τὸ πίειρα, δηλονότι λιπαρὰ καὶ εὔγειος. P f 〈 πίειρ α:〉 λιπαρά, εὔγειος. L g g 〈νῆσος ,〉 ᾗ ὕπο δὴ κεῖσθαι δρέπ 〈ανον 〉 : [ἡ] νῆσος ἡ Κέρκυρα· αὕτη πρότερον Σχερία ἐκαλεῖτο. ἀποδίδωσι δὲ τὴν αἰτίαν Ἀριστοτέλης ἐν τῇ Κερκυραίων πολιτείᾳ (fg 469 Rose 1555a 35)· φησὶ γὰρ τὴν Δήμητρα φοβουμένην, μὴ οἱ ἐκ τῆς ἠπείρου ἐρχόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι Ποσειδῶνος, ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα· ἐπισχεθέντων οὖν τούτων ἀντὶ Δρεπάνης Σχερίαν ὀνομασθῆναι. 〈...〉 διὰ τὸ τὴν Δήμητρα αἰτησαμένην δρέπανον παρ’ Ἡφαίστου τοὺς Τιτᾶνας διδάξαι θερίζειν, εἶτα αὐτὸ κρύψαι εἰς τὸ παραθαλάσσιον μέρος τῆς νήσου· προσκλυζούσης δὲ τῆς θαλάσσης ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς δρεπάνη.

302 Τίμαιος (fg 54 M. I 203) δέ φησιν, ᾧ ἐξέτεμεν [τοῦ Οὐρανοῦ ἢ] τοῦ Κρόνου τὰ αἰδοῖα ὁ Ζεύς, τοῦτο κεκρύφθαι [φασίν]. h. Μάκριν δὲ ἀπὸ Μάκριδος τῆς Διονύσου τροφοῦ, Κέρκυραν δὲ ἀπὸ Κερκύρας τῆς Ἀσωποῦ θυγατρός. P i στάχυν ὄμπνιο ν· πολύν, δαψιλῆ. Φιλητᾶς ἐν Ἀτάκτοις γλώσσαις (fg 44 Kuchenmueller) ἀπέδωκεν ὄμπνιον στάχυν τὸν εὔχυλον καὶ τρόφιμον. Κυρηναίων δέ τινες τὸν πλούσιον καὶ εὐδαίμονα ὄμπνιον καλοῦσιν. ἄμεινον δὲ τὸν φερέσβιον εἰπεῖν, οἱονεὶ ἔμπνοόν τινα ὄντα καὶ ὄμπνιον. k ἐκλήιστα ι: πεφήμισται. L g (P) l αἵματος Οὐρα 〈νίοιο 〉 : Ἀκουσίλαος ἐν τῇ γ′ (2 fg 4 J.) φησίν, ὅτι ἐκ τῆς ἐκτομῆς τοῦ Οὐρανοῦ ῥανίδας ἐνεχθῆναι συνέπεσεν, τουτέστι σταγόνας, κατὰ τῆς γῆς, ἐξ ὧν γεννηθῆναι τοὺς Φαίακας· οἱ δὲ τοὺς Γίγαντας. καὶ Ἀλκαῖος (fg 206 Lobel = 116 B. III 185) δὲ λέγει τοὺς Φαίακας ἔχειν τὸ γένος ἐκ τῶν σταγόνων τοῦ Οὐρανοῦ, Ὅμηρος (ε 35. η 56 sqq.) δὲ οἰκείους τοὺς Φαίακας τοῖς θεοῖς φησι διὰ τὴν ἀπὸ Ποσειδῶνος γένεσιν. 993—94 τοὺς Ἀργὼ πολέεσσι ν: οἱ Ἀργοναῦται πολλὰ κακοπαθήσαντες κατηνέχθησαν ἐκ τοῦ Σικελικοῦ πελάγους. 1000 〈 Αἱμονί ῃ:〉 τῇ Θεσσαλίᾳ. L g 1002—03a Κόλχω ν , οἳ Πόντοι ο: τῶν Κόλχων οἱ μετὰ Ἀψύρτου ὄντες κατῴκησαν ἐν ταῖς Βρυγηίσιν, αἵτινές εἰσι τῆς Ἰλλυρίδος, οἱ δὲ διὰ τῶν Κυανέων πετρῶν ἐξελθόντες ᾤκησαν Κέρκυραν. τῶν γὰρ διωκόντων τοὺς ἀριστεῖς Κόλχων, οὐ κατὰ ταὐτὸ τὸν πλοῦν στειλαμένων, οἱ μὲν διὰ τοῦ Ἴστρου, καθάπερ προείρηται (IV 303 sqq.), τὸν πλοῦν ἐποιήσαντο, ὧν ἦρχεν Ἄψυρτος, διὰ τῶν κάτωθεν ἐμβαλόντες εἰς τὸν δεδηλωμένον ποταμόν, καὶ κατέλαβον τοὺς ἥρωας περὶ τὰς καλουμένας Βρυγηίδας νήσους· οἱ δὲ διὰ τῶν Κυανέων τὸν ἔκπλουν ποιησάμενοι Κόλχοι κατήντησαν εἰς τὴν Κέρκυραν νῆσον, ἐν ᾗ καὶ οἱ Ἀργοναῦται ἔτυχον ὄντες.

303

Eulogikon public reading copy · View original HTML at eulogikon.org

b μαστῆρε ς: ζητηταί. L g (P) 1004 ἔξαιτο ν: ἐξαίρετον. L g (P) 1005a 〈 ἵεν τ’:〉 ἐπροθυμοῦντο. G g b ἀπροφάτω ς: χωρὶς προφάσεως, ἀναντιρρήτως. L g (P) 1006 〈 ἀτροπίῃσι ν:〉 κακοτροπίαις, ἀμετατρέπτως. L g 1015—17a εἴ νυ καὶ αὐτὴ ἀνθρώπων γενεῆ ς: περὶ αὑτῆς ἡ Μήδεια· 〈...〉 καὶ σὺ ἄνθρωπος εἶ, οἷς τὸ ἁμαρτάνειν γίνεται ῥᾳδίως. L b ἐν δὲ τῷ εἴ νυ καὶ αὐτὴ ἀνθρώπων γενεῆς σφόδρα πρὸς συμπάθειαν ἕλκει τὴν Ἀρήτην ἡ Μήδεια. καὶ γὰρ καὶ διὰ τὸ τῆς αὐτῆς ἡμᾶς εἶναι φύσεως ἀλλήλους ἐλεεῖν χρή, καὶ διὰ τὸ ὀξυρρεπεῖς εἶναι πρὸς τὰ πάθη. P 1019 Ἠελίοι ο: ἐπεὶ πρόγονος τῆς Μηδείας. L m (P) 1020 ὅρκος παρὰ Κόλχοις ἡ Ἑκάτη καὶ φαρμακίσιν· εὑρέτις γὰρ τοιούτων ἡ θεός. 1024 〈 ἔτι μοι μίτρη μένε ι:〉 ἀντὶ τοῦ· ἔτι παρθένος εἰμί. L g 1027 τελεσφόρο ν: τὸν πάντα τελειοποιοῦντα. L m (P) 1031—35 ἕνεκα τῶν ὑμετέρων ἄθλων ἐγώ, 〈ὦ〉 φέρτατοι, ἐν μεγάλῃ ταραχῇ εἰμι· τῇ γὰρ ἐμῇ γνώμῃ τούς τε ταύρους ἐζεύξατε καὶ τοὺς γηγενεῖς ἐξεθερίσατε καὶ νῦν τὸ δέρος εἰς Θεσσαλίαν ἀποίσετε. 1043a 〈 νέμεσίν τε θεῶ ν:〉 τὴν ἰοῦσαν ἐν ταῖς χερσὶ τῶν θεῶν νέμεσιν, τουτέστι τὸ νεμεσητόν. L m b τὴν δὲ ἐν ταῖς ἱκεσίαις γινομένην νέμεσιν εἰς χεῖρας θεῶν ἰέναι φησίν, ὅτι ὥσπερ ἐνώπιον τῶν θεῶν ἱστάμενοι ἱκετεύομεν· διὸ καὶ αἰδούμεθα τοὺς ἱκετεύοντας. P 1045—46a 〈 οὐ νηού ς:〉 οὐ γὰρ ναός μοί ἐστι βοηθὸς οὔτε πύργος οὔτε ἄλλος οὐδὲ εἷς, ἀλλ’ ὑμεῖς μοι ἀσφάλεια πᾶσα.

304 L m b 〈 οἰόθι προτιβάλλομα ι:〉 μόνη οὖσα προσβάλλομαι ὑμᾶς αὐτοὺς βοηθούς. L g 1047—52a 〈 σχέτλιο ι:〉 χαλεποὶ καὶ ἀνηλεεῖς, καὶ οὐ μετατρέπεσθε ὁρῶντές με γονυπετοῦσαν τῇ βασιλείᾳ. L m (P) b ὁ λόγος· ὅτε τὸ κώδιον λαβεῖν ἠθέλετε, καὶ πᾶσι τοῖς Κόλχοις ἕτοιμοι ἦτε μάχεσθαι, νῦν δὲ ὀλίγους παραγενομένους ἐπὶ τὴν ἀπαίτησιν τὴν ἐμὴν φοβεῖσθε. L m 1057 〈 ἀλιτήμονο ς:〉 ἡμαρτημένης ἤτοι ἀδίκου. G g 1058a στρευγομένοι ς: φθειρομένοις καὶ καταπονουμένοις ἢ καὶ προσδιατρίβουσιν· ὅθεν καὶ στρὰγξ ἡ κατὰ βραχὺ πρόεσις τοῦ ὕδατος. οὕτω Δίδυμος (fg I 5, 34 Schmidt 69). b. ἐντεῦθεν καὶ ἡ στραγγουρία, ἀπὸ τοῦ κατὰ στράγγα οὐρεῖν. P 1059 κατευκήλησ ε: κατέπαυσεν, εἰς ἡσυχίαν ἤγαγεν. L g (P) 1062 κλωστῆρ α: τὸν ἄτρακτον. L g P 1064 σταλάε ι: στάζει· παρ’ ὃ καὶ ὁ σταλαγμός. L g (P) 1065 〈 μυρομένη ς: γράφεται〉 μνωομένη ς. L g 1066 ἰκμαίνοντ ο: ὑγραίνοντο· ἐκ δὲ τούτου τὸ πολὺ κλαίειν δηλοῖ. L g (P) 1072 προσπτύσσετ ο: ἐλιπάρει, παρεκάλει. L g P 1080—83a ῥέζομεν ἀμπλακίῃσι ν: ἀντὶ τοῦ ἁμαρτίαις. ἐὰν δὲ γράφηται ἀτροπίῃσιν, ἀμετατροπίαις. ὁ δὲ νοῦς· ἁμαρτάνουσα [δὲ] τὸ πρῶτον ἡ Μήδεια προέδωκε τοὺς ἰδίους καὶ 〈...〉 ἐφημάρτησε φυγοῦσα, οἷα πολλάκις ποιοῦμεν δι’ ἄνοιαν. b 〈 ἀκειομέν η:〉 ῥωννυμένη. L g c ἀκειομένη δὲ ἀντὶ τοῦ θεραπεύουσα καὶ ἰωμένη. P 1090 οἵα μὲν Ἀντιόπ〈η ν:〉 Ἀντιόπη Νυκτέως ἦν θυγάτηρ, ἣν ὁ Ζεὺς Σατύρῳ ὁμοιωθεὶς φθείρει, καὶ φεύγουσα τοῦ Νυκτέως τὰς ἀπειλὰς καταφεύγει εἰς Σικυῶνα πρὸς Ἐπωπέα.

305 τεκοῦσα δὲ Ἀμφίονα καὶ Ζῆθον ἐξέθηκεν ἐν τῷ Κιθαιρῶνι 〈...〉 βουκόλῳ τινί. ὁ δὲ Νυκτεὺς διὰ τὴν τόλμαν τῆς παιδὸς λυπηθεὶς τελευτᾷ, τοῦ ἀδελφοῦ Λύκου δεηθεὶς μὴ περιιδεῖν τὴν παῖδα, ἀλλ’ ἑλεῖν ἐπελθόντα Σικυῶνι. στρατεύει δὲ ἐπὶ τὴν πόλιν Λύκος καὶ κτείνει τὸν Ἐπωπέα, καὶ λαβὼν τὴν Ἀντιόπην αἰχμάλωτον παραδίδωσι φυλάττειν Δίρκῃ τῇ ἑαυτοῦ γαμετῇ. ἡ δὲ φεύγει, καὶ ληφθεῖσα πάλιν τοῖς ἑαυτῆς παισὶν ἐκδίδοται. ἐνταῦθα δὲ ἐκκαλύπτει ὁ τροφεὺς βουκόλος τὸ γεγονός. οἱ δὲ τὴν μὲν Ἀντιόπην σώζουσιν, τὴν δὲ Δίρκην ἐξ ἀγρίου ταύρου προσδήσαντες διαφθείρουσι. μεταπεμψάμενοι δὲ τὸν Λύκον, ὡς ἐκδώσοντες τὴν Ἀντιόπην, σφάττειν ἔμελλον· Ἑρμῆς δὲ ἐκώλυσε, τῷ Λύκῳ δὲ ἐκχωρεῖν τῆς βασιλείας προσέταξεν. 1091 οἵα δὲ καὶ Δανά η: Φερεκύδης ἐν τῷ [ι] β′ (3 fg 10 J.) ἱστορεῖ, ὡς Ἀκρίσιος γαμεῖ Εὐρυδίκην τὴν Λακεδαίμονος· τῶν δὲ γίνεται Δανάη. χρωμένῳ δὲ αὐτῷ περὶ ἄρσενος παιδὸς ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὲν οὐκ ἔσται παῖς ἄρσην, ἐκ δὲ τῆς θυγατρός, πρὸς οὗ αὐτὸν ἀπολέεσθαι. ὁ δὲ ἀναχωρήσας εἰς Ἄργος θάλαμον ποιεῖ χαλκοῦν ἐν τῇ αὐλῇ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκίας κατὰ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μετὰ τροφοῦ· ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς παῖς μὴ γένηται. ἐρασθεὶς δὲ Ζεὺς τῆς παιδός, ἐκ τοῦ ὀρόφου χρυσῷ παραπλήσιος ῥεῖ, ἡ δὲ ὑποδέχεται τῷ κόλπῳ· καὶ ἐκφήνας αὑτὸν ὁ Ζεὺς τῇ παιδὶ μίγνυται. τῶν δὲ γίνεται Περσεύς, καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη καὶ ἡ τροφὸς κρύπτουσαι Ἀκρίσιον. ὅτε δὲ Περσεὺς τριέτης καὶ τετραέτης ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος, καὶ διὰ τῶν θεραπόντων μετακαλεσάμενος τὴν Δανάην σὺν τῇ τροφῷ, τὴν μὲν ἀναιρεῖ, Δανάη δὲ καταφεύγει σὺν τῷ παιδὶ ἐπὶ τὸν [ὑπὸ τὸ] Ἑρκείου Διὸς βωμόν.

306 μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς· ἡ δὲ ἔφη· ἐκ Διός. ὁ δὲ οὐ πείθεται, ἀλλ’ εἰς λάρνακα ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδός, καὶ κλείσας καταποντοῖ. καὶ φερόμενοι ἀφικνοῦνται εἰς Σέριφον τὴν νῆσον, καὶ αὐτοὺς ἐξέλκει Δίκτυς ὁ Περισθένους, δικτύῳ ἁλιεύων. εἶτα ἡ Δανάη ἀνοῖξαι ἱκετεύει τὴν λάρνακα, ὁ δὲ ἀνοίξας καὶ μαθὼν οἵτινές εἰσιν, ἄγει εἰς τὸν οἶκον καὶ τρέφει, ὡς ἂν συγγενεῖς αὐτοῦ ὄντας· ἦσαν γὰρ ὁ Δίκτυς καὶ ὁ Πολυδέκτης Ἀνδροθόης τῆς Κάστορος καὶ Περισθένους τοῦ Δαμάστορος τοῦ Ναυπλίου τοῦ Ποσειδῶνος καὶ Ἀμυμώνης, ὡς Φερεκύδης ἐν α′ (3 fg 4 J.). ἐν δὲ τοῖς ἑξῆς (3 fg 12 J.) καὶ περὶ τοῦ θανάτου φησὶν Ἀκρισίου, ὅτι μετὰ τὴν ἀπολίθωσιν Πολυδέκτου καὶ τῶν σὺν αὐτῷ ἐκ τῆς κεφαλῆς τῆς Γοργόνος [ἐν Σερίφῳ] Δίκτυν μὲν Περσεὺς ἀπολείπει ἐν τῇ Σερίφῳ βασιλεύειν τῶν λελειμμένων Σεριφίων, αὐτὸς δὲ ἔβη πλέων εἰς Ἄργος σὺν τοῖς Κύκλωψι καὶ τῇ Δανάῃ καὶ τῇ Ἀνδρομέδᾳ· καὶ ἐλθὼν Ἀκρίσιον οὐχ εὑρίσκει ἐν Ἄργει, ὑπεχώρει γὰρ αὐτὸν δείσας εἰς τοὺς Πελασγοὺς εἰς Λάρισσαν. μὴ καταλαβὼν δὲ αὐτόν, τὴν μὲν Δανάην καταλείπει παρὰ τῇ μητρὶ Εὐρυδίκῃ καὶ τὴν Ἀνδρομέδαν καὶ τοὺς Κύκλωπας, αὐτὸς δὲ ἔβη εἰς Λάρισσαν, καὶ ἀφικόμενος Ἀκρίσιον ἀναγνωρίζει καὶ σὺν αὐτῷ ἕπεσθαι εἰς Ἄργος πείθει. καὶ ὅτε δὴ ἔμελλον ἰέναι, συντυγχάνουσιν ἀγῶνι νέων ἐν τῇ Λαρίσσῃ, καὶ ὁ Περσεὺς ἀποδύεται εἰς τὸν ἀγῶνα καὶ λαβὼν τὸν δίσκον δισκεύει· τό 〈τε〉 δὲ πένταθλον οὐκ ἦν, ἀλλὰ ἕνα ἕκαστον τῶν ἄθλων ἤθλουν. ὁ δὲ δίσκος τροχαλισθεὶς ἐπὶ τὸν πόδα τοῦ Ἀκρισίου τιτρώσκει αὐτόν. καμὼν δὲ ἐκ τούτου Ἀκρίσιος ἀποθνήσκει αὐτοῦ ἐν Λαρίσσῃ· καὶ αὐτὸν κατατίθεται Περσεὺς καὶ οἱ Λαρισσαῖοι πρόσθεν τῆς πόλεως, καὶ αὐτοῦ ποιοῦσιν ἡρῷον οἱ ἐπιχώριοι. Περσεὺς δὲ ἀναχωρεῖ τοῦ Ἄργους. 1093—95a ὑβριστὴς Ἔχετο ς: τοῦ Ἐχέτου Ὅμηρος ὡς ὠμοτάτου μέμνηται, ἡ δὲ Ἀρήτη ὡς κατ’ αὐτὴν τοῦ πράγματος γεγενημένου· λέγει γάρ νέον γε μὲν οὐ δ ’ ἀποτηλο ῦ.

307 εὕρομεν δὲ τὸν μῦθον ἐν τῷ ἐπιγραφομένῳ Λυσίππου Ἠπειρώτου Ἀσεβῶν καταλόγῳ. b ὀρφναίῃ ἐνὶ χαλκό ν: τὸ ἑξῆς· ἐν ὀρφναίῃ καλι ῇ. c τὸ δὲ χαλκὸν ἀλιτρεύοντα γράφεται καὶ χαλκὸν ἀλιτεύοντ α. P 1100 ἀλλὰ δέδοικα τὸ δίκαιον παραβῆναι. L m (P) 1108 〈 γενέθλη ν:〉 ἔμβρυον. S m 1115 〈 ἐπιφροσύνησι ν: γράφεται〉 ἐφημοσύνησι ν. L g 1125 Ὑλλικῷ: ἀπὸ τοῦ Ὕλλου τοῦ ἐκ Μελίτης καὶ Ἡρακλέους. L m (P) 1131 ἄντρῳ ἐν ἠγαθέ ῳ: ἐν τῷ μεγάλῳ καὶ θείῳ, ἐν ᾧ Μάκρις κατῴκει. ἐν τούτῳ τῷ ἄντρῳ τὸν Διόνυσον ἔθρεψεν [ὃ καλεῖται Διθυρίτης]. διὰ τοῦτο Διθύραμβος ὁ Διόνυσος ἐκλήθη, διὰ τὸ δύο θύρας ἔχειν τὸ ἄντρον. L m (P) 1136—38 καί ἑ χολωσαμέ 〈νη 〉 : ἡ Ἥρα τὴν Μάκριν τῆς Εὐβοίας ἐξέβαλε διὰ τὸ δέξασθαι παρὰ τοῦ Ἑρμοῦ τὸν Διόνυσον καὶ θρέψαι. ἡ δὲ Εὔβοια ἱερά ἐστι τῇ Ἥρᾳ. 1141 ἔνθα τό τ ’ ἐστόρε 〈σαν 〉 : ἐν τῷ ἄντρῳ 〈τῷ〉 Μάκριδός φησι τὸν γάμον γεγενῆσθαι Μηδείας καὶ Ἰάσονος, Φιλητᾶς δὲ ἐν Τηλέφῳ (fg 9 Kuchenmueller) ἐν τῇ Ἀλκινόου οἰκίᾳ. 1144 〈 ἀμεργόμενα ι:〉 σωρεύσασαι. G g 1146—48 ἴσχε δ ’ ἑκάστην αἰδώ ς: διὰ τούτων τὰς νύμφας φησίν, ἐπιθυμούσας ἅψασθαι τοῦ μαλλοῦ διὰ τὸ κάλλος, ὅμως αἰδουμένας ἀπέχεσθαι διὰ τὸ ἐπ’ αὐτοῦ μέλλειν γίνεσθαι τὴν μῖξιν. περὶ δὲ τοῦ δέρους ὅτι ἦν χρυσοῦν οἱ πλεῖστοι ἱστοροῦσιν, Ἀκουσίλαος δὲ ἐν τῷ Περὶ γενεαλογιῶν (2 fg 37 J.) πορφυρευθῆναί φησιν ἀπὸ τῆς θαλάσσης. 1149—50 αἰ μέν τ ’ Αἰγαίο υ: Αἰγαῖος ποταμὸς περὶ Κέρκυραν· τούτου θυγάτηρ Μελίτη, ἧς καὶ Ἡρακλέους Ὕλλος, ἀφ’ οὗ ἔθνος Ἰλλυριῶν καὶ Ὑλλικὸς λιμὴν (1125) παρὰ Φαίαξι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

308 Πανύασις (fg 17 Kink.) δέ φησιν ἐν Λυδίᾳ τὸν Ἡρακλέα νοσήσαντα τυχεῖν ἰάσεως ὑπὸ Ὕλλου τοῦ ποταμοῦ, ὅς ἐστι τῆς Λυδίας· διὸ καὶ τοὺς δύο υἱοὺς αὐτοῦ Ὕλλους ὀνομασθῆναι. Μελιτήιον δὲ ὄρος Κερκύρας. 1153—54 κεῖν ο: τὸ Μάκριδος, ὃ νῦν ἱερὸν Μηδείας καλεῖται. Τιμαίου (fg 8 M. I 195) λέγοντος ἐν Κερκύρᾳ τοὺς γάμους ἀχθῆναι, Διονύσιος ὁ Μιλήσιος ἐν β′ τῶν Ἀργοναυτῶν (32 fg 3 J.) ἐν Βυζαντίῳ φησίν, Ἀντίμαχος δὲ ἐν Λύδῃ (fg 11 B. II 291) ἐν Κόλχοις πλησίον τοῦ ποταμοῦ μιγῆναι. 1160 προμολὰς εἴρηκε τοὺς ἐκτὸς τοῦ ἄντρου τόπους. L m P 1167 παρμέμβλωκ ε: πάρεστι. L g P 1170a 〈 φαέεσσι ν:〉 ἀντὶ τοῦ φωτισμοῖς, φύσει γὰρ ὄντα σκοτεινὸν τὸν ἀέρα τοῖς φωτισμοῖς ἐλάμπρυνεν. L m b γράφεται φαρέεσσι ν. F 1174—75a ἀνὰ πτόλι ν: ἡ τῶν Κερκυραίων ἐπὶ χερσονήσου κεῖται. φησὶν οὖν ἱστορικῶς, ὅτι μακρὰν ἀπὸ τῆς πόλεως ἐπὶ τοῦ αἰγιαλοῦ τῆς χερσονήσου ἦσαν· ἐν ᾗ ἐστιν ἡ πόλις, ὡς Ἀπολλωνίδης ἐν τῷ Περίπλῳ τῆς Εὐρώπης (M. IV 309). L m (P) b χερνήσοι ο: τὴν χερσόνησον χέρνησον εἴρηκεν ὡς ἐν τῷ α′ (925). τὴν δὲ ἀντικρύ, τῆς Κερκύρας χερσόνησον εἴρηκε Μακριδίην, ἴσως διὰ τὸ ᾠκηκέναι ἐκεῖ τοὺς Εὐβοεῖς, ἡ δὲ Εὔβοια Μάκρις ἐκαλεῖτο τὸ πρότερον. ταύτην οἱ κατοικοῦντες μετὰ Ἰλίου ἅλωσιν 〈...〉 οἱ μὲν Ἄβαντες 〈...〉 ‘Ἀμαντίνην ᾤκισαν‘ (Call. fg 259 Schn.). 1187 ἄλλοι δ ’ ἀμφιφο〈ρῆασ 〉 : Θεόπομπος (115 fg 405 J.

309 ) ἀμφιφορεῖς λέγεσθαί φησι τοὺς ὑπ’ ἐνίων μετρητάς, Λυσανίας δέ φησι τὸν ἀμφιφορέα ὑπὸ Ἀθηναίων ἀμφορέα καλεῖσθαι. 1188a 〈 θυέω ν:〉 θυμιαμάτων. G g b λιγνύ ς: ἡ καπνώδης ἀναφορά· ἢ τὸ τοῦ φωτὸς ἄκρον, ὃ καὶ ἄμεινον. 1191 ἀγλαΐη ν: κόσμια. L g (P) 1193 εἴδεα καὶ μορφά ς: τὸ μὲν εἶδος κυρίως ἐπὶ προσώπου τέταχεν ὁ Ἀπολλώνιος, μορφὴ δὲ τὸ σχῆμα (Eur. Bacch. 4)· ‘μορφὴν δ’ ἀμείψας ἐκ θεοῦ βροτησίαν.‘ 1194 ἐυκρέκτο υ: εὐήχου. L g (P) 1202 〈 ἐκλήιστ ο:〉 ἐφημίζετο, ᾔδετο. L g 1210 συνήμονα ς: συνήθεις, ἑταίρους, παρὰ τὸ συνῆσθαι. L g (P) 1212—14a εἰσότε Βακχιάδα ι: Βάκχις ἐγένετο υἱὸς Διονύσου, ἐν Κορίνθῳ δὲ διέτριβεν. ἦσαν δὲ εὐγενέστατοι οἱ ἀπ’ αὐτοῦ τὸ γένος ἔχοντες, οἵτινες ἐξεβλήθησαν ἐκ Κορίνθου διὰ τὸν Ἀκταίωνος θάνατον.

310 ἡ δὲ αἰτία ἐστὶν ἥδε. Μέλισσος εὐεργετήσας τοὺς Κορινθίους—μέλλοντας γὰρ ὑπὸ Φείδωνος τοῦ τῶν Ἀργείων βασιλέως διαφθαρῆναι ἐρρύσατο—τιμῆς ἠξιώθη παρ’ αὐτοῖς. 〈...〉 καί ποτε οἱ Βακχιάδαι νυκτὸς ἐπελθόντες τῇ οἰκίᾳ τοῦ Ἀκταίωνος ἐβούλοντο ἀποσπᾶν τὸν παῖδα· τῶν δὲ γονέων ἀντεχόντων συνέβη διασπασθῆναι τὸν Ἀκταίωνα. μελλόντων δὲ τῶν Ἰσθμίων ἄγεσθαι, στὰς ἐπὶ τοῦ βωμοῦ ὁ Μέλισσος πολλὰ τοῖς Κορινθίοις κατηράσατο, ἐὰν μὴ τὸν τοῦ παιδὸς ἐκδικήσωσι θάνατον· ταῦτα εἰπὼν εἰς τὸν ὑποκείμενον κρημνὸν ἑαυτὸν ἔβαλεν. οἱ δὲ Κορίνθιοι, εὐλαβούμενοι ἀνεκδίκητον καταλιπεῖν τὸν τοῦ Ἀκταίωνος θάνατον, ἅμα μὲν καὶ τοῦ θείου κελεύοντος, ἐξέβαλον τοὺς Βακχιάδας. Χερσικράτης δέ, εἷς τῶν Βακχιαδῶν, ἔκτισε Κέρκυραν, ἐκβαλὼν τοὺς ἐνοικοῦντας Κόλχους· ἐκβληθέντες δὲ εἰς Ἤπειρον παρεγένοντο. b Ἐφύρηθε ν: Ἐφύρα ἡ Κόρινθος, ἀπὸ Ἐφύρας τῆς Ἐπιμηθέως θυγατρός· Εὔμηλος (fg 1 Kink. 187) δὲ ἀπὸ Ἐφύρας τῆς Ὠκεανοῦ καὶ Τηθύος, γυναικὸς δὲ γενομένης Ἐπιμηθέως. 1215 Νεσταίους τ ε: τοὺς Νεσταίους Σκύλαξ (Peripli maris interni fg 4 M. geogr. gr. min. I, XXXV ) φησὶν ἔθνος Ἰλλυρικόν· ἀπὸ τούτων παράπλους ἐστὶν εἰς τὸν κόλπον 〈...〉. καὶ Ἐρατοσθένης ἐν γ′ Γεωγραφουμένων φησί (fg III B 112 Berger)· ‘μετὰ Ἰλλυριοὺς Νεσταῖοι, καθ’ οὓς νῆσος Φάρος Παρίων ἄποικοσ‘. 1216 ἀλλὰ τὰ μὲν στείχ〈οντοσ 〉 : ἀντὶ τοῦ μετὰ πολὺν χρόνον.

311 Τίμαιος δέ φησι μετὰ ἔτη ἑξακόσια τῶν Τρωικῶν Χερσικράτη ἀπόγονον τῶν Βακχιαδῶν κατῳκηκέναι τὴν νῆσον (fg 53 M. I203)· ‘Κόλχοι δὲ διαβάντες εἰς τὴν πλησίον νῆσον καὶ μετὰ ταῦτα εἰς τὰ Κεραύνια ὄρη ὁρμήσαντες, εἴς τε τοὺς Ἄβαντας καὶ Νεσταίους καὶ Ὠρικὸν ἀπῳκίσθησαν· ἔστι δὲ ὁ τὴν ἀποικίαν ἀγαγὼν τῶν Βακχιαδῶν Χερσικράτης, ἀποστερούμενος τῶν τιμῶν ὑπὸ Κορινθίων.‘ 1217—19a Μοιράων δέ τε κεῖσ ε: Τιμῶναξ ἐν α′ τῶν Σκυθικῶν (fg 2 M. IV 522) ἐν Κόλχοις φησὶν Ἰάσονα Μήδειαν γῆμαι Αἰήτου αὐτῷ ἐγγυήσαντος. ὁ δὲ αὐτός

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φησι· ‘δείκνυνται δὲ παρὰ τὸν παράπλουν ἔνδον τοῦ Πόντου κῆποί τινες Ἰασόνιοι καλούμενοι, καθ’ ὧν τὰς ἀποβάσεις αὐτὸν ποιήσασθαι, καὶ κατὰ τὴν Αἶαν γυμνάσια καὶ δίσκοι, καὶ τῆς Μηδείας θάλαμος, καθ’ ὃν ἐνυμφεύθη ποτέ, καὶ πρὸς τῇ πόλει ἱερὸν ἱδρυμένον 〈ὑπ’〉 Ἰάσονος καὶ πρὸς τούτοις ἱερὰ πολλά‘. b 〈 θύη ἐπέτει α:〉 Τίμαιος (fg 7 M. I 194) περὶ τῆς θυσίας ἱστορεῖ, ἔτι καὶ νῦν λέγων ἄγεσθαι κατ’ ἐνιαυτόν, Μηδείας πρῶτον θυσάσης ἐν τῷ Ἀπόλλωνος ἱερῷ· καὶ βωμοὺς δέ φησι μνημεῖα τῶν γάμων ἱδρύσασθαι σύνεγγυς μὲν τῆς θαλάσσης, οὐ μακρὰν δὲ τῆς πόλεως· ὀνομάζουσι δὲ τὸν μὲν Νυμφῶν, τὸν δὲ Νηρεΐδων. ὅ γε μὴν Ἀπολλώνιος τὸν μέν φησι Νυμφῶν εἶναι τῶν βωμῶν, τὸν δὲ τῶν Μοιρῶν. c 〈 θύ η:〉 θυμιάματα. G m d ἐπέτει α: ἐνιαυσιαῖα. L g (P) e Νομίοι ο: διὰ τὸ κατὰ νόμον γενέσθαι τὴν κρίσιν τοῦ Ἀλκινόου, διὰ τοῦτο Νομίου Ἀπόλλωνος ἱερὸν ἱδρύσασθαι τὴν Μήδειαν. 1226 〈 αἴσιμο ν:〉 μεμοιραμένον. g g 1235 〈 Σύρτι ν:〉 δύο εἰσὶν ἐν τῇ Λιβύῃ Σύρτεις. εἰσὶ δὲ πηλώδεις, γίνονται δὲ ἀμπώτεις εἰς αὐτὰς ὡς καὶ ἐν τῷ ὠκεανῷ. εἰσὶ 〈δὲ〉 τόποι, ὅπου κατασύρονται οἱ πλέοντες καὶ ἀπόλλυνται. 1237a τέναγο ς: πηλώδης τόπος.

312 L g P b μνιόεντ α: σύμφυτα. L g P 1238 κωφ ή: ἀκίνητος, διὰ τὸ πηλώδη εἶναι. 1239 ἠερί η: πᾶν τὸ πολὺ καὶ δαψιλὲς ἠερόεν λέγομεν. L m P 1243a 〈 ἐνέωσ ε:〉 ὤθησεν. L g b τάχιστ α: γράφεται ἄγεσθα ι. F 1247 ἀρδμό ν: ποτισμόν. LG g (P) 1248 πάτο ν: περίπατον. L g (P) 1258 διωλυγίη ς: σκοτεινῆς. ἢ διωλυγίης ἀντὶ τοῦ ἐπιπολὺ διηκούσης. L m (P) 1260 ἰθυντή ρ: κυβερνήτης. L g P 1264 τεναγώδε α: πηλώδη. τέναγος δέ ἐστι κυρίως γῆ ἐπιπόλαιον ὕδωρ ἔχουσα, ἢ πηλῶδες ὕδωρ. 1270 〈 ἄλμ η:〉 πλημμυρίς. S m 1271 〈 ὅσσο ν:〉 ὀλίγον. S g 1279 παχνώθ〈η 〉 : ἀντὶ τοῦ ἐπάγη, ἐλυπήθη· ὁ τρόπος εἴληπται ἀπὸ τῆς πάχνης. 1284 ἢ ὅ τ ’ ἂν αὐτόματα ξόανα ῥ〈έῃ 〉 : ὅταν μέλλῃ τι συμβαίνειν χαλεπό ν , εἴωθεν τὰ ἀγάλματα ἱδροῦ ν , ὥσπερ καὶ ἐν Θήβαι ς , ὅτε συνίστατο ὁ περὶ Χαιρώνειαν πόλεμος Φιλίππῳ πρὸς Θηβαίου ς . 1285 καὶ μυκαὶ σηκοῖ ς: καὶ ἦχοι ἐν τοῖς ναοῖς φαντασίαν ποιήσωσι καὶ δόκησιν· ἢ ὅταν μυκήσεις δοκῶσι γίνεσθαι περὶ τὰ ἀγάλματα. 1295 〈 ἄκμηνο ι:〉 ἄφαγοι. καὶ Νίκανδρος (Ther. 116)· ‘ἄκμηνοι σίτων‘. S m 1297 τὸ ἑξῆς· παρ’ Αἰήταο θυγατρὶ ἐστενάχοντ ο. 1299a χηραμο ῦ: καταδύσεως. L g (P) b ἀπτῆνε ς: οἱ μὴ ἵπτασθαι δυνάμενοι. 1300 Πακτωλὸς ποταμὸς Λυδίας, ὁ νῦν Χρυσορρόας λεγόμενος.

313 1304 ἰήλεμο ν: ἀντὶ τοῦ θρῆνον· εἴρηται ἀπὸ Ἰαλέμου τοῦ Μούσης παιδός. 1305 ἐλίασθε ν: ἀντὶ τοῦ ἀπέθανον. L g P 1306 〈 δαῆνα ι:〉 γνωσθῆναι. G g 1309a ἡρῷσσα ι: προπερισπωμένως Ἡρωδιανὸς ἐν τῷ ια′ (I 270, 31 L.) φησίν, ἐκ συναλοιφῆς τοῦ ἡρώισσαι—τοῦ ἥρως δὲ τὸ θηλυκὸν γίνεται ἡρώισσα—· [ἢ] ἀντὶ τοῦ ἡρωῖναι. τιμήοροι δὲ αἱ ἔφοροι τῆς Λιβύης ἢ αἱ ἐν Λιβύῃ τιμώμεναι [ἡρωῖναι]. b τιμήορο ι: ἔκδικοι. L g G g S m P 1310 ἦμος ὅ τ ’ ἐκ πα〈τρόσ 〉 : πρῶτος Στησίχορος (fg 62 B. III 226) ἔφη σὺν ὅπλοις ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναπηδῆσαι τὴν Ἀθηνᾶν. 1311 Τρίτων ποταμὸς Λιβύης, ἔστι δὲ καὶ Βοιωτίας. δοκεῖ δὲ ἡ Ἀθηνᾶ παρ’ ἑτέρῳ αὐτῶν γεγενῆσθαι, ἀφ’ οὗ καὶ Τριτογένεια λέγεται. οὕτω τινές, οἱ δέ· ἡ τὸ τρεῖν, ὅ ἐστι φοβεῖσθαι, τοῖς δι’ ἐναντίας ἐμποιοῦσα. 1312 θέρο ν: ἐθέρμαινον, ἔκαιον. L g P 1314 πέπλο ν: κυρίως τὸν γυναικεῖον. L g (P) 1315 παλιμπετέ ς: παλιγκλινὲς εἰς τοὐπίσω. L g G g (P) 1317 ἀτυζόμενο ν: ἀτύζω· παρὰ τὴν ἄτην γίνεται ῥῆμα ἀτῶ, οὗ παραγωγὸν ἀτύω, ὡς ὀλῶ ὀλύω καὶ ὀλλύω, περισσεύσαντος δὲ τοῦ ζ ἀτύζω, ὡς καὶ παρὰ τὸ ἀτίω ἀτίζω. 1318 ἀμηχανί η: ἀπορίᾳ. L g (P) 1322 οἰοπόλο ι: περὶ τὰς ὄις πολοῦσαι, εἰσὶ δὲ αἱ Ἐπιμηλίδες.

314 χθονίας δὲ εἶπεν αὐτὰς διὰ τὸ θυγατέρας εἶναι τῆς Λιβύης. ἢ χθόνιαι γηγενεῖς, αὐδήεσσαι δὲ αἱ εἰς λόγον ἀνθρώποις ἐρχόμεναι. περὶ δὲ τῶν Νυμφῶν μέμνηται Καλλίμαχος οὕτω λέγων (fg 126 Schn.)· ‘δέσποιναι Λιβύης ἡρωίδες, αἳ Νασαμώνων αὖλιν καὶ δολιχὰς θῖνας ἐπιβλέπετε, μητέρα μοι ζώουσαν ὀφέλλετε.‘ 1327—28 σφετέρ η: ἔδει εἰπεῖν ὑμετέρᾳ. λέγει δὲ τῇ νηί· φέρει γὰρ αὐτοὺς ἐν τῷ κύτει ὡς ἐν γαστρὶ μήτηρ. 1329 Ἀχαιίδ α: Ἀχαιίδα λέγει ἢ τὴν Θεσσαλίαν ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν Ἑλλάδα. βέλτιον δὲ τὴν Θεσσαλίαν· οἱ γὰρ οἰκοῦντες Ἀχαιοὶ λέγονται. Ὅμηρος (Β 681)· ‘νῦν αὖ τούς, ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον,‘ εἶτα (684)· ‘Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.‘ L 1333 ἵλα τ ’ ἐρημονόμο ι: ἱλάσθητε αἱ νεμόμεναι ἐν τῇ ἐρήμῳ. 1339 ὠρύετα ι: ἀντὶ τοῦ βοᾷ· ἔστι δὲ τῆς τῶν λεόντων φωνῆς. 1342 βουπελάτα ι: οἱ βουκόλοι. εἴρηται ἤτοι τοῦ π περισσεύοντος—βουελάται γάρ εἰσιν—ἢ παρὰ τὸ πέλας τῶν βοῶν εἶναι, ὃ καὶ βέλτιον. 1348 στέρφεσ ι: τοῖς δέρμασιν· ἔνθεν καὶ στερφῶσαι. Ἴβυκος (fg 59 B. III 252) δὲ στερφωτῆρα στρατὸν εἴρηκε τὸν ἔχοντα δέρματα. ὅθεν καὶ παρ’ Αἰσχύλῳ (fg 370 N.

315 2 ) ἀξιοῦσι γράφειν ‘μελανστέρφων γένοσ‘, οὐχ, ὥς τινες, ‘μελανστέρνων‘· οὐ γὰρ μόνα τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα. ὅθεν καὶ τὸ κεράμιον στέρφος λέγεται. 1366 ἀμφιλαφή ς: ἀντὶ τοῦ ποικίλος ἢ μέγας ἢ ἀμφοτέρωθεν θριξὶ στεγαζόμενος. 1367 νήχυτο ν: τὴν πολύχυτον. L g (P) 1380 ἐπήβολο ς: ἐπιβάλλουσα, ἐπιτυχής. 1381—82 Μουσάων ὅδε μῦθο ς: καθὸ πέπλασται, φησίν· Μουσῶν ὅδε μῦθος, ἐγὼ δ’ ὑπηρέτης τῶν Μουσῶν. ἐμπέπνευσται γὰρ πρὸς αὐτῶν, ὥστε διηγήσασθαι. 1384 θῖνας 〈ἐρήμουσ〉 : σωροὺς τῆς ἄμμου. L m (P) 1396—99a ᾧ ἔνι Λάδω ν: Πείσανδρος (16 fg 8 J.) τὸν δράκοντα ὑπείληφεν ἀπὸ τῆς Γῆς γεγενῆσθαι, Ἡσίοδος 〈...〉 δὲ ἐκ Τυφῶνός φησιν. Ἀγροίτας δὲ ἐν γ′ Λιβυκῶν (fg 3 M. IV 295) φησι μὴ μῆλα, ἀλλὰ πρόβατα κάλλιστα, ἃ χρυσᾶ ὠνομάσθη· ἔχειν δὲ ταῦτα ποιμένα ἄγριον, ὃν διὰ τὸ ἀνήμερον δράκοντα ὠνομάσθαι. b Φερεκύδης ἐν β′ (3 fg 16a J.) τῆς Ἥρας γαμουμένης φησὶ τὴν Γῆν ἀναδοῦναι μηλέας χρυσοῦν καρπὸν φερούσας, καὶ ὅτι αἱ Νύμφαι αἱ Διὸς καὶ Θέμιδος, οἰκοῦσαι ἐν σπηλαίῳ περὶ τὸν Ἠριδανόν, ὑπέθεντο Ἡρακλεῖ ἀποροῦντι, μαθεῖν παρὰ Νηρέως, ποῦ ἔλῃ τὰ χρύσεα μῆλα· καὶ λαβὼν αὐτὸν βίᾳ, πρῶτον μὲν μεταμορφούμενον εἰς ὕδωρ καὶ πῦρ, εἶτα εἰς τὴν παλαιὰν ὄψιν καταστάντα καὶ δηλώσαντα, ἀφίησιν. ὁ δὲ ἔρχεται οὕτως ἐπὶ τὰ χρυσᾶ μῆλα. 〈...〉 ἀφικόμενος δὲ εἰς Ταρτησσὸν πορεύεται εἰς Λιβύην, ἔνθα ἀναιρεῖ Ἀνταῖον τὸν Ποσειδῶνος, ὑβριστὴν ὄντα.

316 εἶτα ἀφικνεῖται ἐπὶ τὸν Νεῖλον εἰς Μέμφιν παρὰ Βούσιριν τὸν Ποσειδῶνος, ὃν κτείνει καὶ τὸν παῖδα αὐτοῦ Ἰφιδάμαντα καὶ τὸν κήρυκα Χάλβην καὶ τοὺς ὀπάονας πρὸς τῷ βωμῷ τοῦ Διός, ἔνθα ἐξενοκτόνει. ἀφικόμενος δὲ εἰς Θήβας ᾔει διὰ τῶν ὀρῶν εἰς τὴν ἔξω Λιβύην, ἣς ἐν τοῖς ἐρήμοις πολλὰ τῶν θηρίων τοξεύων ἀναιρεῖ. καθάρας δὲ τὴν Λιβύην κατέβη ἐπὶ τὴν θάλασσαν τὴν ἔξω κειμένην, καὶ λαβὼν χρυσοῦν δέπας παρὰ Ἡλίου διαβαίνει ἐν αὐτῷ εἰς πέρην, [διά τε τῆς γῆς καὶ τῆς θαλάσσης καὶ] διὰ τοῦ ὠκεανοῦ πλέων. ἐξελθὼν δὲ παρὰ Προμηθέα καὶ ὀφθεὶς ὑπ’ αὐτοῦ, οἰκτείρει ἱκετεύοντα καὶ κτείνει τὸν ἀετόν, ὃς αὐτοῦ τὸ ἧπαρ ἤσθιε, τοξεύσας προσπετόμενον. ἀντὶ δὲ τούτου Προμηθεὺς μὴ ἀπιέναι ἐπὶ τὰ μῆλα ὑποτίθεται, ἐλθόντα δὲ πρὸς Ἄτλαντα κελεύειν ἐνέγκαι αὐτῷ, καὶ ἀντὶ Ἄτλαντος αὐτὸν ἔχειν τὸν οὐρανόν, ἕως ἂν ἐνέγκῃ τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων. Ἡρακλῆς δὲ ἀκούσας ἔρχεται πρὸς Ἄτλαντα καὶ κελεύει αὐτὸν ἐνεγκεῖν τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων τρία λαβόντα, διηγησάμενος τὸν ἆθλον. δοὺς δὲ Ἄτλας ἐπὶ τῶν ὤμων Ἡρακλεῖ τὸν οὐρανὸν καὶ ἐλθὼν πρὸς τὰς Ἑσπερίδας, δεξάμενος παρ’ αὐτῶν τὰ μῆλα ἐλθών τε πρὸς τὸν Ἡρακλέα, τὰ μὲν μῆλα αὐτός φησιν ἀποίσειν Εὐρυσθεῖ, τὸν δ’ οὐρανὸν ἐκέλευεν ἐκεῖνον ἔχειν ἀντ’ αὐτοῦ. ὁ δὲ Ἡρακλῆς ὑποσχόμενος, δόλῳ ἀντεπέθηκεν αὐτὸν τῷ Ἄτλαντι· ἦν γὰρ εἰπὼν αὐτῷ ὁ Προμηθεύς, ὑποθέμενος κελεύειν δέξασθαι τὸν οὐρανόν, ἕως οὗ σπεῖραν ἐπὶ τὴν κεφαλὴν ποιήσηται. ὁ δὲ καταθεὶς τὰ μῆλα εἰς τὴν γῆν ὑποδέχεται τὸν οὐρανόν, Ἡρακλῆς δὲ λαβὼν τὰ μῆλα, χαίρειν εἰπὼν τῷ Ἄτλαντι ἀπέρχεται εἰς Μυκήνας παρ’ Εὐρυσθέα καὶ δεικνύει αὐτῷ ταῦτα. οὕτως ὁ αὐτὸς Φερεκύδης ἐν β′ (3 fg 17 J.) ἱστορεῖ. c ὅτι τῷ Διὶ γαμοῦντι Ἥραν δῶρα τὰ χρυσᾶ μῆλα ἐπὶ τῷ ὠκεανῷ ἀναδέδωκεν ἡ Γῆ, Φερεκύδης ἐν β′ (3 fg 16 b J.

317 ) φησίν. ἐφύλασσεν δὲ αὐτὰ ὄφις ὁ Τυφῶνος καὶ Ἐχίδνης, ἔχων κεφαλὰς ρ′ καὶ φωνὰς παντοίας. d Ἑσπερίδες ποίπνυο ν: ἀπὸ τοῦ ἑσπέρας ἐπιφαίνεσθαι ἢ ἀπὸ τοῦ ἐν τῇ Ἑσπερίᾳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατοικεῖν. ἦσαν δὲ Φόρκου καὶ Κητοῦς αἱ Ἑσπερίδες. 〈...〉. ἀπὸ μιᾶς δὲ αὐτῶν εἴρηται ἡ νῆσος, ἣν κατῴκει Γηρυονεύς, ἔχων κύνα Ὄρθον, ἀδελφὸν Κερβέρου, ὃν Ἡρακλῆς ἀπέκτεινεν· οἱ δὲ Ἄτλαντος λέγουσιν. 1401 στύπο ς: στέλεχος. L g G g P 1404 χόλο ν: ἀντὶ τοῦ τὴν χολήν. Ὅμηρος (Π 203)· ‘χόλῳ ἄρα ς’ ἔτρεφε μήτηρ‘. L m (P) 1405 μυῖαι πυθομέ〈νοισιν〉: πυθομένοις ἀντὶ τοῦ σηπομένοις· ὅθεν καὶ ἡ Πυθία ἀπὸ τοῦ ἐκεῖ σαπῆναι τὸν δράκοντα. (ἢ ἀπὸ τοῦ πευστικῶς ἔχοντας ἐπὶ τοὺς χρησμοὺς ἔρχεσθαι· ἢ ἀπὸ παιδός τινος Πυθικῆς, ᾗ ὄνομα Πυθίς, θυγατρὸς Δελφοῦ.) Λύκος δὲ ὁ Νεαπολίτης καὶ τὸ πῦον ἐντεῦθέν φησιν εἶναι· ἔστι γὰρ τοῦτο σεσηπὸς αἷμα. 1408 〈ταὶ δ ’ αἶψα κόνις καὶ γαῖα〉 [ἐσσυμένως ἐγένοντ ο]: διὰ τούτου σημαίνει, ὅπως ἀφανεῖς ἐγένοντο. 1412—14 εἴ τ ’ οὖν οὐρανίαι ς: τοῦτό φησιν, ἐπεὶ τῶν Νυμφῶν αἱ μέν εἰσιν οὐράνιαι, αἱ δὲ ἐπίγειοι, αἱ δὲ ἐπιποτάμιοι, αἱ δὲ λιμναῖαι, αἱ δὲ θαλάσσιαι. καὶ καθόλου δὲ τὸ τῶν Νυμφῶν γένος εἰς πολλὰ διῄρηται, ὥς φησι Μνησίμαχος ὁ Φασηλίτης ἐν Διακόσμοις (fg 2 M. IV 453). 1415 ἐνωπαδί ς: φανερῶς, κατόψιν.

318 L g P 1418 λωφήσομε ν: ἀντὶ τοῦ παύσομεν. κυρίως δὲ λέγεται λωφῆσαι τὸ βάρος ἀπὸ τοῦ τραχήλου ἀποβαλέσθαι· λόφος γὰρ ὁ τράχηλος. 1421 εἰλαπίνα ς: νῦν θυσίας. L g (P) 1422 ἀδιν ῇ: ἀσθενεῖ, διὰ τὴν δίψαν. L m (P) 1433 κύντατο ς: ὁ χείριστος, ὁ αἴσχιστος. L m P 1442a παίφασσ ε: ἐψηλάφα, ἐνθουσιωδῶς ἐφέρετο. L m P b 〈παίφασσ ε:〉 ὥρμα. S m 1452 〈περὶ〉 χηραμό ν: περὶ τὴν ἑαυτῶν κατάδυσιν. L m (P) 1453a γειομόρο ι: οἱ περὶ τὴν γῆν κακοπαθοῦντες. L m (P) b 〈ἠύτε μυῖα ι:〉 ἐπὶ τῇ παραβολῇ ἑτέρα παραβολή. S m 1454 λίβ α: σταγόνα. L g (P) 1460 δήοιμε ν: εὕροιμεν. L m P 1463 ἐπηλίνδητ ο: ἐκεκάλυπτο. L m G g P 1470 Εἰλατίδην Πολύφη〈μον〉: Πολύφημος ἐν Μυσίᾳ καταλειφθεὶς ἔκτισε πόλιν Κίον, τὴν οὕτως ὀνομασθεῖσαν ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ· μαχόμενος πρὸς Χάλυβας οὗτος ἐτελεύτησεν, ὥς φησι Νυμφόδωρος (fg 18 M. II 380). ὅτι δὲ τὴν Κίον ἔκτισεν, εἴρηκεν Αὐτόχαρις ἐν α′ Χρόνων (249 fg 1 J.). 1471 οὗ ἔθε ν: ἀντὶ τοῦ ἑαυτοῦ. L g P 1487 αὐλείτη ς: ὁ ἀπὸ τῆς ἐπαύλεως, ὁ ἀγροῖκος. ἔστι δὲ παρὰ τὴν αὖλιν τὸ ὄνομα. 1490—94a Λυκωρείοι ο: ἀντὶ τοῦ Δελφικοῦ· οἱ γὰρ Δελφοὶ τὸ πρῶτον Λυκωρεῖς ἐκαλοῦντο ἀπό τινος κώμης Λυκωρείας. b βαρὺ κῦμ α: ἀντὶ τοῦ κύημα.

319 Ἀλέξανδρος δὲ ἐν α′ Κρητικῶν (fg 32 M. III 231) τῇ Ἀκακαλλίδι συνελθεῖν φησι τὸν Ἑρμῆν καὶ τὸν Ἀπόλλωνα, καὶ ἐκ μὲν Ἀπόλλωνος γενέσθαι Νάξον, ἐκ δὲ Ἑρμοῦ Κύδωνα, ἀφ’ οὗ ἡ πόλις Κυδωνία καλεῖται ἐν Κρήτῃ. c Γαράμαντες ἔθνος Λιβύης. d 〈Γαράμαντα:〉 ἄδηλον, πότερον ἀπὸ τοῦ Γαράμαντος τούτου οἱ ἐν τῇ Λιβύῃ Γαράμαντες ὠνομάσθησαν ἢ οὗτος ἀπὸ τοῦ ἔθνους. ἔστι δὲ καὶ ναὸς παρ’ αὐτοῖς, καὶ Γαράμας μνημονεύεται θεός. 1515a Γοργόνος ἀρτίτομο ν: Περσέως ἐν Σερίφῳ μετὰ τῆς μητρὸς διάγοντος παρὰ Δίκτυι καὶ ἡβήσαντος, Πολυδέκτης ὁ Δίκτυος ὁμομήτριος, βασιλεὺς Σερίφου τυγχάνων, ἰδὼν τὴν Δανάην ἠράσθη αὐτῆς, ἠπόρει δὲ συγκοιμηθῆναι· καὶ παρασκευάσας ἄριστον ἐκάλει ἄλλους τε πολλοὺς καὶ αὐτὸν Περσέα. Περσέως δὲ πυθομένου, ἐπὶ τίνι ὁ ἔρανος εὐωχεῖται, τοῦ δὲ φήσαντος ἐπὶ ἵππῳ, Περσεὺς εἶπεν ἐπὶ τῇ τῆς Γοργόνος κεφαλῇ. μετὰ δὲ τὸν ἔρανον τῇ ἑξῆς ἡμέρᾳ, ὅτε οἱ ἄλλοι ἐρανισταὶ τὸν ἵππον ἀπεκόμιζον καὶ Περσεύς, ὁ δὲ οὐκ ἐδέχετο, ἀπῄτει δὲ τὴν τῆς Γοργόνος κεφαλὴν κατὰ τὴν ὑπόσχεσιν· ἐὰν δὲ μὴ κομίσῃ, τὴν μητέρα αὐτοῦ λήψεσθαι ἔφη. ὁ δὲ ἀνιαθεὶς ἀπέρχεται ὀλοφυρόμενος τὴν συμφορὰν εἰς τὸ ἔσχατον τῆς νήσου. Ἑρμῆς δὲ αὐτῷ ὀφθεὶς καὶ πεῦσιν αὐτῷ προσαγαγών, μανθάνει τὴν αἰτίαν τοῦ θρήνου. ὁ δὲ ἡγεῖται, θαρρεῖν εἰπών, πρῶτον παρὰ τὰς Φόρκου Γραίας, Πεμφρηδὼ καὶ Ἐνυὼ καὶ Δεινώ, Ἀθηνᾶς φθασάσης· καὶ αὐτῶν ὑφαιρεῖται τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα ὀρεγουσῶν ἀλλήλαις, αἱ δὲ αἰσθανόμεναι βοῶσιν καὶ ἱκετεύουσι τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα ἀποδοῦναι· ἑνὶ γὰρ αἱ τρεῖς ἐκ διαδοχῆς ἐκέχρηντο.

320 ὁ δὲ Περσεύς φησιν αὐτὸς ἔχειν, καὶ ἀποδώσειν, ἐὰν αὐτῷ ὑποδείξωσι τὰς Νύμφας, αἳ ἔχουσι τὴν Ἄϊδος κυνέην καὶ τὰ πέδιλα τὰ ὑπόπτερα καὶ τὴν κίβισιν. αἱ δὲ αὐτῷ φράζουσι, καὶ ὁ Περσεὺς ἀποδίδωσιν. καὶ ἀπελθὼν πρὸς τὰς Νύμφας σὺν Ἑρμῇ, αἰτήσας τε καὶ λαβὼν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑποδεσμεῖται τὰ ὑπόπτερα πέδιλα καὶ τὴν κίβισιν περιβάλλει κατὰ τῶν ὤμων καὶ τὴν Ἄϊδος κυνῆν τῇ κεφαλῇ περιτίθησιν. εἶτα ἔρχεται πετόμενος πρὸς τὸν ὠκεανὸν καὶ τὰς Γοργόνας συνεπομένων αὐτῷ Ἑρμοῦ τε καὶ Ἀθηνᾶς· ταύτας δὲ κοιμωμένας εὑρίσκει. ὑποτίθενται δὲ αὐτῷ οὗτοι οἱ θεοί, πῶς χρὴ τὴν κεφαλὴν ἀποτεμεῖν ἀπεστραμμένον, καὶ δεικνύουσι Μέδουσαν, ἣ μόνη ἦν θνητὴ τῶν Γοργόνων. ὁ δὲ πλησίον γενόμενος ἀποτέμνει, καὶ ἐνθεὶς εἰς τὴν κίβισιν φεύγει. αἱ δὲ αἰσθόμεναι διώκουσι καὶ αὐτὸν οὐχ ὁρῶσιν. Περσεὺς δὲ εἰς Σέριφον γενόμενος ἔρχεται παρὰ Πολυδέκτην καὶ κελεύει συναθροῖσαι τὸν λαόν, ὅπως δείξῃ αὐτοῖς τὴν τῆς Γοργόνος κεφαλήν, εἰδὼς ὅτι, ἐὰν ἴδωσιν, λίθοι ἔμελλον ἔσεσθαι. ὁ δὲ Πολυδέκτης ἀολλίσας τὸν ὄχλον κελεύει αὐτὸν δεικνύειν. ὁ δὲ ἀποστρεφόμενος ἐξαιρεῖ ἐκ τῆς κιβίσεως καὶ δείκνυσιν, οἱ δὲ ἰδόντες λίθοι ἐγένοντο. ἡ δὲ Ἀθηνᾶ παρὰ Περσέως λαβοῦσα τὴν κεφαλὴν ἐντίθησιν εἰς τὴν ἑαυτῆς αἰγίδα· τὴν δὲ κίβισιν Ἑρμῆς ἀποδίδωσι καὶ τὰ πέδιλα καὶ τὴν κυνῆν ταῖς Νύμφαις. ἱστορεῖ Φερεκύδης ἐν τῇ β′ (3 fg II J.). ἄλλοι δέ φασι τὸν Περσέα καρατομήσαντα τὴν Γοργόνα ὑπὲρ τῆς Λιβύης πετασθῆναι, ἐκ δὲ τῶν κατενεχθέντων σταγόνων τοῦ αἵματος γενέσθαι θηρία· διὸ καὶ τὴν Λιβύην πολύθηρον εἶπε (1561).

321 τὸ αὐτό φησι καὶ 〈Λυκόφρων〉 ἐν τῇ Ἀλεξάνδρᾳ (838). b 〈 βασιλῆ ι:〉 τῷ Πολυδέκτῃ ἢ τῷ Δίκτυϊ. G g S m 1523 ὑπέρβιο ν: ἀντὶ τοῦ χαλεπῶς καὶ ὑπερβίως. γράφεται δέ· ἐπεὶ οὔ μιν ὑπέρβιον ἕλκος ἔτειρε ν. L m P 1524 〈 κῶμ α:〉 θάνατος. S m 1532 〈 χαλκείῃσ ι:〉 τοῖς χαλκείοις σκαφίοις ἐλάχαινον, ὅ ἐστιν ἔσκαπτον. L m (P) 1533 ἡ δὲ μάκελλα τὴν δίκελλαν σημαίνει. P 1536 εὖ κτερέων ἴσχοντ α: ἀντὶ τοῦ λαβόντα. χυτὴν δὲ Ὁμηρικῶς τὴν ἐπὶ τοῖς νεκροῖς χεομένην γῆν. 1537 πρήσσοντος 〈ἀήτεω 〉 : φυσῶντος τοῦ ἀνέμου. L g (P) 1543 ῥοίζ ῳ: ἀντὶ τοῦ μετὰ συριγμοῦ. 1544 σπινθαρύγεσσ ι: σπινθῆρσι. σπινθῆρές εἰσιν αἱ λαμπηδόνες. L m (P) 1545 ῥωχμοί εἰσιν αἱ κατὰ τὴν γῆν ῥήξεις. L m (S m) ( P) 1549 μείλι α: τὰ ἐκμειλίξασθαι δυνάμενα δῶρα, τὰ ἱλαστήρια. L m (P) 1552 καὶ Πίνδαρος ἐν Πυθιονίκαις ἐν τῇ εἰς Ἀρκεσίλαον ᾠδῇ (IV 20 sq.) τὴν τοῦ Τρίτωνος ἐπιφάνειαν λέγει. ἔστι δὲ παρὰ τοῖς γεγραφόσι τὰ Περὶ Κυρήνης καὶ Λιβύης. L m P 1558 δὴ γάρ με πατὴρ ἐπιίστορ α: ἀντὶ τοῦ κριτήν. ὅταν δ’ αὖ Ὅμηρος περὶ Ἀγαμέμνονος λέγῃ (Ψ 486) ‘ἴστορα δ’ Ἀτρείδην Ἀγαμέμνονα‘, ἀντὶ τοῦ μάρτυρα, συνθηκοφύλακα. λέγει δὲ νῦν ἐπιμελητήν, κατάσκοπον. 1561a Λιβύῃ μηλοτρόφ ῳ: ἀντὶ τοῦ Λιβύης μηλοτρόφου ἐκγεγαῶτα.

322 L b τὸ δὲ θηροτρόφῳ γράφεται καὶ μηλοτρόφ ῳ. P c Εὐρύπυλον Λιβύη ς: Εὐρύπυλος Ποσειδῶνος υἱὸς καὶ Κελαινοῦς τῆς Ἄτλαντος, βασιλεὺς δὲ Κυρήνης. Φύλαρχος δὲ ἐν ζ′ (81 fg 15 J.) Εὔρυτον αὐτὸν καλεῖ, καὶ ἀδελφὸν αὐτοῦ ἀναγράφει Λυκάονα. Ἀκέσανδρος δὲ ἐν α′ Περὶ Κυρήνης [τῆς Ὑψέως] (fg 4 M. IV 285) μετ’ αὐτὸν βασιλεῦσαί φησι Λιβύης Κυρήνην τὴν Ὑψέως. μνημονεύει τοῦ Εὐρυπύλου καὶ Καλλίμαχος, λέγων (Hymn. II 92) ‘βοῶν σίνιν Εὐρυπύλοιο‘, περὶ Κυρήνης ποιούμενος τὸν λόγον. 1562—63a πρόφρων ὑπερέσχεθ ε: τὸν Εὔφημον ἐποίησε δεχόμενον τὴν βῶλον δι’ οἰκειότητα, ἐπεὶ Ποσειδῶνος καὶ Εὐρώπης τῆς Τιτυοῦ. καὶ Εὐρύπυλος δέ, οὗ εἰς τὴν χώραν παρεγένοντο, Ποσειδῶνός ἐστιν υἱός. λέγεται δὲ καὶ παρὰ Πινδάρῳ (Pyth. IV 22), ὅτι ἐδέξατο τὴν βῶλον ὁ Εὔφημος. b καὶ τοῖα παραβλή 〈δην 〉 : Παλαμήδης ἐξ ἀντιβολῆς ἢ παραλογιστικῶς, νῦν δὲ ἐξ ἀποκρίσεως. 1564a Ἀτθίδα καὶ πέλα 〈γοσ 〉 : γράφεται Ἀπίδα καὶ πέλαγος Μινώιο ν. Ἀπὶς νῆσος κειμένη πρὸ τῆς Κρήτης· Μινώιον δὲ πέλαγος πρὸ τῆς Κρήτης, αὕτη γὰρ Μίνωος ἦν βασιλεία· ἢ ἐπεὶ θαλαττοκρατῶν ὑφ’ αὐτὸν τὰς νήσους ἐποίησε. μετὰ δὲ τὸ Κρητικὸν τὸ Αἰγύπτιον. b 〈 Ἀπίδ α: γράφεται〉 Ἀτθίδ α. S m 1569 χεῦμα δ ι ’ ἠπείρου βεβαρημέ 〈νοι 〉 : ἄδηλον, πότερον κατὰ τὸ κοινὸν ἤπειρον εἴρηκε τὴν γῆν ἢ 〈τὴν Λιβύην〉 , ὅτι πᾶσα ἡ οἰκουμένη εἰς ἠπείρους τρεῖς διῄρηται, Ἀσίαν, Εὐρώπην, Λιβύην· ἡ δὲ Αἴγυπτος κατὰ μέν τινας τῆς Ἀσίας ἐστί, κατὰ δέ τινας τῆς Λιβύης. 1571

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄπωθε ν: ἀπὸ διαστήματος. L g P 1573 διήλυσι ς: διεξέλευσις, ἔξοδος. L g P 1575 φρίσσουσ ι: εἰς ὕψος αἴρονται.

323 L g P 1581 περιρρήδη ν: ἀντὶ τοῦ κατὰ περιφέρειαν. L g P 1589 εἴσατ ο: ὥρμησεν. L g G g S m P 1599 ἁλοσύδνα ι: θαλάσσιαι, ἀπὸ τοῦ ἐν ἁλὶ δύνειν 〈...〉, ὅ ἐστιν ἐν τῇ θαλάσσῃ ὁρμᾶν. 1608 ὀδακτάζοντ ι: δάκνοντι. L g S m P 1609 ὁλκήιον Ἀργοῦ ς: τὸ κάτω τοῦ πλοίου ξύλον τὸ πρὸς τῇ τρόπιδι, οὗ ἡ ναῦς ἕλκεται, ὃ πήσσεται πρῶτον ἐπὶ γῆς, κατασκευαζομένου πλοίου. 1613—16a αὐτὰρ ὑπαὶ λαγόνων δίκραιρά ο ἱ: διπλῆ· τοιαύτη γὰρ ἡ τοῦ Τρίτωνος οὐρά, διῃρημένη εἰς δύο. ἔτεμνε δὲ τὸ ἄκρον τοῦ ὕδατος ταῖς ἀκάνθαις, αἵτινες κάτωθεν ἐπὶ τοῖς κέντροις τοῖς σκαμβοῖς ἐδιχάζοντο, ὅμοιαι οὖσαι τοῖς τῆς σελήνης κέρασιν, ἅτινα ἡμικύκλιά ἐστι· τοιούτῳ δὲ σχήματι καὶ τὰ ἄκρα τῆς οὐρᾶς τῶν ἰχθύων ἐστίν, ἡμικύκλια. b κήτεος ἀλκαί η: 〈ἡ〉 οὐρά. κυρίως ἀλκαία λέγεται ἡ τοῦ λέοντος οὐρά, ἀπὸ τοῦ δι’ αὐτῆς εἰς ἀλκὴν τρέπεσθαι. καὶ ὁ ποιητής (Υ 170)· ‘οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται.‘ Καλλίμαχος δὲ κακῶς ἐπὶ τῶν μυῶν τέθεικεν (fg 317 Schn..)· ‘ἀλκαίας ἀφύσσα‘. ἢ ἀπὸ τοῦ ἀλαλκεῖν, ὅ ἐστι βοηθεῖν· ὥσπερ καὶ οὐρὰ ἢ παρὰ τὸ οὐρεῖν, ὅ ἐστι φυλάττειν, ἢ διὰ τὸ ὀρίνειν ἑαυτὰ τὰ ζῷα τῇ οὐρᾷ, ὡς ὁ λέων καὶ ὁ ταῦρος καὶ ὁ κύων καὶ τὰ λοιπά.

324 c 〈 ἀλκαί η:〉 κυρίως [δὲ] ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία λέγεται, ἡ εἰς ἀλκὴν παρορμῶσα. ἐν δὲ τῇ Κωμικῇ λέξει (Didymifg 1 5, 35 Schmidt 71) οὐ μόνον ἡ τοῦ λέοντος, ἀλλὰ καὶ ἵππου καὶ βοὸς καὶ τῶν ἐμφερῶν, ὅσα ὥσπερ ἀλεξητηρίῳ τῇ οὐρᾷ χρῆται. 1619 ἥρωε ς , τέρα ς: τὸν Τρίτωνα λέγει τέρας, ἐπεὶ τὰ μὲν ἀνδρὸς ἔχει, τὰ δὲ κήτους. 1620 Ἀργῷός τε λιμή ν: παρὰ τῇ Τριτωνίδι λιμήν ἐστιν Ἀργῷος καλούμενος. 1630 αὔλιο ς: ὁ ἕσπερος· ἢ παρὰ τὸ αὐλίζεσθαι, ὅ ἐστι κοιμᾶσθαι, ἢ παρὰ τὸ ἐν αὐλαῖς διατρίβειν κατ’ ἐκείνην τὴν ὥραν, ὅτε ὁ ἕσπερος ἀνατέλλει. 1633 ἐπερρώοντ ο: ἐρρωμένως ἤλαυνον. L m P 1636 Κάρπαθο ς: νῆσός ἐστι τῶν Σποράδων πλησίον τῆς Κῶ. ταύτην Ὅμηρος εἴρηκεν (Β 676) ‘Κάρπαθόν τε Κάσον τε‘. ἄλλοι δὲ Κράπαθον αὐτὴν καλοῦσιν. 1638 〈 Τάλως : 〉 ὄνομα κύριον. L g 1640 ἐπιωγή ν: σκέπην, ὑφ’ ἧς ὁ ἄνεμος ἄγνυται. LS m (P) 1646—48 [ τοὺς δὲ Τάλω ς ] 〈ὑπαὶ δέ οἱ ἔσκε 〉 : ὁ Τάλως ἐπὶ τοῦ σφυροῦ σύριγγα εἶχεν ὑμένι περιεχομένην. σύριγξ δὲ λέγεται ἡ περόνη, ἧς ῥαγείσης εἵμαρτο αὐτῷ ἁλῶναι.

325 ὅτι δὲ εἵμαρτο αὐτῷ τελευτῆσαι, λέγει καὶ Σοφοκλῆς ἐν Δαιδάλῳ (fg 161 Pearson). 1659 βελέω ν: τῶν πετρῶν· καὶ γὰρ Ὅμηρος (ι 495) βέλος εἴρηκε τὴν πέτραν τὴν ὑπὸ τοῦ Κύκλωπος βληθεῖσαν. καὶ πᾶν τὸ πεμπόμενον βέλος φασίν. 1661 ἀνωίστω ς: ἐξαίφνης. 1667a 〈 ἠέρ α:〉 σκοτασμόν. S m b ἐπὶ ζωοῖσιν ἄγοντα ι: διὰ τῶν φαρμάκων τοῖς ζῶσιν ἐπάγονται. L m P 1671 〈 πρῖε ν:〉 ἔπριεν. L g 1672 δίκηλ α: εἴδωλα, φαντάσματα. L m (P) 1673 ἄητα ι: φέρεται, κεκίνηται. L m (P) 1677 βρίμ η: τῇ ἰσχύι. παρὰ δὲ τὸ βρι πέπτωκε ῥῆμα τὸ βρίθω, οὗ ὁ μέλλων βρίσω καὶ ῥηματικὸν ὄνομα βρίμη. τὰ γὰρ εἰς μη λήγοντα καὶ ἑνὶ φωνήεντι παραληγόμενα βαρύνεται, οἷον χρήμη φήμη κνήμη· τὰ δὲ ἔχοντα πρὸ τοῦ μ ἕτερον σύμφωνον ὀξύνεται, οἷον γραμμή. 1679 πετραίῳ στόνυχ ι: στόνυξ ἐστὶ κυρίως τὸ ἄκρον τοῦ δόρατος, καταχρηστικῶς δὲ πᾶν τὸ εἰς ὀξὺ λῆγον. 1693 Σαλμωνὶς ἢ Σαλμώνιον ἀκρωτήριον Κρήτης. 1695 〈 κατουλάδ α:〉 ἡ σκοτεινὴ νὺξ κατουλὰς καλεῖται παρὰ τὸ ὀλοόν.

326 καὶ παρὰ Σοφοκλεῖ ἐν Ναυπλίῳ (fg 433 Pearson) ‘νυκτὶ 〈τῇ〉 κατουλάδι‘. 1698 μυχάτω ν: τῶν ἐσχάτων. L g P 1700 ἠείδει ν: ἀντὶ τοῦ ἠείδεον. 1707 ἀριήκοο ς: λίαν ἐπήκοος. Μελάντιοι δὲ δύο σκόπελοι πρὸς τῇ Θήρᾳ οὕτως ὀνομαζόμενοι, ἀπὸ Μέλανος τοῦ κατασχόντος τὴν χώραν τὴν προσηγορίαν ἔχοντες. 1711 Σποράδων βαι ή: νῆσος βαιὴ ἡ Ἀνάφη κληθεῖσα πλησίον Θήρας. 1712 [ νῆσος ἰδεῖ ν ] 〈Ἱππουρίδος ἀντία νήσου 〉 : νῆσος ἡ Ἱππουρὶς πλησίον Θήρας. μνημονεύει δὲ αὐτῆς καὶ Τιμοσθένης (fg 24 E. A. Wagner Die Erdbeschr. d. T., Diss. Lips. 1888, 68 ) καὶ Πυθαίνετος ἐν α′ Περὶ Αἰγίνης (fg 3 M. IV 487). 1725 ἐπεστοβέεσκο ν: ἔπεσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλοιδοροῦντο, ὕβριζον. 1726 〈 τοῖσι ν: γράφεται〉 μέσσ ῳ. L g 1733 〈 ἁζόμενος Μαίης υἷ α:〉 τὸν Ἑρμῆν φησιν ἐξιλάσασθαι τὸν Εὔφημον διὰ τὸ θεάσασθαι ὄνειρον.

327 οὗτος γὰρ ἐπὶ τῶν ὀνείρων ὁ θεός· τοὺς γὰρ ὀνείρους Ἑρμῇ ἀνατιθέασιν. 1734 〈 δαιμονίη βῶλαξ ἐπιμάστιο ς:〉 ἡ τοῦ Τρίτωνος βῶλος ἐπὶ τῶν μαστῶν· δαίμονα γὰρ τοῦτον εἶπεν (v. 1597). 1745 〈 νεπόδεσσι ν:〉 υἱέσιν ὤφειλε. G g S m 1748 πεμπάζω ν: ἀναλογιζόμενος. L g (P) 1750—57 Εὔφημος ᾤκει τὴν Λακωνικὴν παρὰ τὸν αἰγιαλόν. εἷς δέ τις αὐτοῦ τῶν ἀπογόνων Σάμος ᾤκησεν Θήραν, οὗ ἀπόγονος γέγονεν Ἀριστοτέλης, ὃς τῆς περὶ Κυρήνην ἀποικίας ἡγήσατο. ἱστορεῖται ταῦτα παρὰ Πινδάρῳ ἐν Πυθιονίκαις (IV et V c. sch.), ἐπιμελέστερον δὲ παρὰ Θεοχρήστῳ ἐν α′ Λιβυκῶν (M. II 87) καὶ παρὰ Ἀκεσάνδρῳ ἐν α′ Κυρήνης (fg 6 M. IV 286). λέγει δὲ τὴν Θήραν ὡς ἐκ τῆς τότε ῥιφείσης βώλου γεγενημένην ἐν αὐξήσει καὶ ἀναπεφυκυῖαν ἐν τῇ θαλάσσῃ. καὶ Πίνδαρος (Pyth. IV 40—43) δὲ τακεῖσάν φησι τὴν βῶλον, κατὰ τὴν νῦν καλουμένην Θήραν νῆσον διαρρυῆναι ἐπιλαθομένων τῶν θεραπόντων. ὁ δὲ Ἀπολλώνιος ἑκουσίως φησὶ τὸν Εὔφημον ἐπὶ τὴν θάλασσαν τὴν βῶλον βαλεῖν συμβουλίᾳ Ἰάσονος. 1758 〈 Καλλίστ η:〉 ἡ καὶ Θήρα κληθεῖσα ὕστερον. S m 1760—64a 〈 ἐξελαθέντε ς:〉 ἐκβληθέντες ὑπὸ Τυρσηνῶν ἀπῆλθον εἰς Σπάρτην ἔποικοι. L m b [ Καλλίστην ἐπὶ νῆσο ν ] 〈ἀμείψατο δ ’ οὔνομα 〉 : ἤλλαξε δὲ τὸ ὄνομα ἡ Καλλίστη νῆσος, καὶ ὠνομάσθη Θήρα ἀπὸ σοῦ, ὦ υἱὲ Αὐτεσίωνος Θήρα, ἐκεῖ σοῦ ἀπὸ Σπάρτης ἀποικίαν ποιήσαντος καὶ μείναντος. c ἦν δὲ ὁ Θήρας ἀπὸ Οἰδίποδος ἔχων τὸ γένος· Αὐτεσίωνος γὰρ ἦν τοῦ Τεισαμενοῦ τοῦ Θερσάνδρου τοῦ Πολυνείκους τοῦ Οἰδίποδος.

328 d [ ἐξ ἔθε ν ] 〈ἀλλὰ τὰ μὲν μετόπιν γένε τ ’ Εὐφήμιο 〉 : ἀπὸ Εὐφήμου γενόμενος καὶ αὐτὸς εἰς Λιβύην τὴν ἀποικίαν ἠγάγετο Ἀριστοτέλης. L 1765 ἀπτερέω ς: ταχέως. L g (P) 1767 ὑδρείη ς: ὑδρεύσεως. L g (P) 1768 φθαί η: πρῶτος. L g (P) 1776—81a ἐπεὶ οὔ γέ τις ὔμμιν ἄεθλος ἔως τέλους: ἐπεὶ οὐδεὶς ὑμῖν ἕτερος ἆθλος καὶ ἀγὼν ἀναχωρήσασιν ἀπὸ τῆς Αἰγίνης γέγονεν καὶ συνέβη· ἀλλ’ οὔτε σφοδροὶ ἄνεμοι ἐκινήθησαν καὶ ἔπνευσαν, ἀλλ’ ἥσυχοι παραπλεύσαντες τήν τε Ἀττικὴν καὶ τὴν Αὐλίδα καὶ τὴν Εὔβοιαν καὶ τὰς πόλεις τῶν Λοκρῶν, χαριέντως καὶ εὐγαλήνως εἰς τοὺς λιμένας τῶν Παγασῶν εἰσήλθετε, ὅθεν καὶ ἀπεπλεύσατε ἀπιόντες ἐπὶ Σκυθίαν διὰ τὸ χρυσοῦν δέρας. b ἐριωλα ί: αἱ τῶν μεγάλων ἀνέμων καταιγίδες καὶ συστροφαί. c ἡ δὲ Αὐλὶς πόλις Βοιωτίας καταντικρὺ τῆς Εὐβοίας κειμένη. P d Ὀπούντιά τ ’ ἄστε α: τὰ ὑπὸ τοῦ Ὀποῦντος περιεχόμενα· Ὀποῦς δὲ ποταμὸς Λοκρίδος καὶ πόλις. L e Ὀπούντια δὲ ἄστη τὰ τῶν Λοκρῶν λέγει ἀπὸ Ὀποῦντος τοῦ Διὸς καὶ Πρωτογενείας, οὗ πόλις ἐπώνυμος Λοκρική, ἡ Πατρόκλου πατρίς.

329 καὶ ποταμὸς δὲ Ὀποῦς κατά τινας, ῥέων διὰ τῆς Λοκρίδος. P f ἀσπασίως ἀκτὰς Παγασηίδα ς: εἰς τοὺς αἰγιαλοὺς τῶν Παγασῶν εἰσήλθετε, ὅθεν καὶ τὴν ἀρχὴν ἀπεπλεύσατε. L g Παγασηίδας δὲ ἀκτὰς λέγει τὰς τῶν Παγασῶν· Παγασαὶ δὲ πόλις Μαγνησίας. P Παράκειται τὰ σχόλια ἐκ τῶν Λουκίλλου Ταρραίου καὶ Σοφοκλείου καὶ Θέωνος. [Τάρρα πόλις Κρήτης, ὥς φησι Λογγῖνος ἐν τοῖς Φιλολόγοις (fg philol. 18 Vauch. 307).] L

Eulogikon public reading copy · View original HTML at eulogikon.org